659

ΣΥΝΤΑΓΜΑ
ΤΩΝ ΘΕΙΩΝ
ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ
ΤΩΝΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ
ΑΠΟΣΤΟΛΩΝ,
ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ
ΣΥΝΟΔΩΝ,
ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ
ΠΑΤΕΡΩΝ,

ΕΚΔΟΘΕΝ,

Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,

ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,

Καὶ διαφόρων ἀναγνωσμάτων,

ΥΠΟ

Γ. Α. ΡΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,

Ἐγκρίσει τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

1


ΤΟΜΟΣ ΠΡΩΤΟΣ,

Περιέχων τὸν Νομοκάνονα τοῦ Φωτίου.

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1852.



Bibl. Cam. I. 25

ΣΥΝΤΑΓΜΑ

ΤΩΝ ΘΕΙΩΝ

ΚΑΙ ΙΕΡΩΝ ΚΑΝΟΝΩΝ

ΤΩΝ ΤΕ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ

ΑΠΟΣΤΟΛΩΝ,

ΚΑΙ ΤΩΝ ΙΕΡΩΝ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΚΑΙ ΤΟΠΙΚΩΝ

ΣΥΝΟΔΩΝ,

ΚΑΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΑΓΙΩΝ

ΠΑΤΕΡΩΝ,

ΕΚΔΟΘΕΝ,

Σὺν πλείσταις ἄλλαις τὴν ἐκκλησιαστικὴν κατάστασιν διεπούσαις διατάξεσι,

ΜΕΤΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΞΗΓΗΤΩΝ,

Καὶ διαφόρων ἀναγνωσμάτων,

ΥΠΟ

Γ. Α. ΡΑΛΛΗ ΚΑΙ Μ. ΠΟΤΛΗ,

Ἐγκρίσει τῆς Ἁγίας καὶ Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1852.

BX 343
.R 17

ΜΝΗ Β. 21-7-41

ΦΩΤΙΟΥ
ΠΑΤΡΙΑΡΧΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΝΟΜΟΚΑΝΩΝ,

ΜΕΤΑ ΤΩΝ ΣΧΟΛΙΩΝ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ.

Τούτοις προσετέθησαν

ΚΑΙ ΤΑ ΠΕΡΙ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩΝ

ΣΥΝΟΔΩΝ,

ΥΠΟ ΤΕ

ΓΕΡΜΑΝΟΥ ΚΑΙ ΦΩΤΙΟΥ,

ΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

ΚΑΙ ΝΕΙΛΟΥ,

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΡΟΔΟΥ, κτλ.

ΣΥΝΟΠΤΙΚΩΣ ΙΣΤΟΡΟΥΜΕΝΑ.

ΑΘΗΝΗΣΙΝ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Γ. ΧΑΡΤΟΦΥΛΑΚΟΣ.

1852.

« *Τοὺς ἱεροὺς θεσμοὺς εὕρημα μὲν καὶ δῶρον εἶναι*
» *Θεοῦ, δόγμα δὲ φρονίμων τε καὶ θεοφόρων ἀνθρώπων,*
» *ἐπανόρθωμα δὲ τῶν τε ἑκουσίων, καὶ παρὰ βούλησιν*
» *ἁμαρτημάτων, καὶ πολιτείας εὐσεβοῦς τε καὶ πρὸς ἀτε-*
» *λεύτητον ζωὴν ἀγούσης κανόνα — πέπεισμαι.* »

(*Φωτίου Πρόλογος εἰς τὸν Νομοκάνονα*).

Περὶ τῆς παρούσης ἐκδόσεως.

Μολονοτι τὸ Σύνταγμα τοῦ Πατριάρχου Φωτίου, ὅπερ ἀπαρτίζει τὸ κυριώτατον τῆς παρούσης ἐκδόσεως μέρος, καὶ περὶ οὗ πλατύτερον ἐν τοῖς Προλεγομένοις πραγματευόμεθα 1), ἔσχεν ἀποκλειστικὸν σχεδὸν κῦρος ὡς Συλλογὴ τῶν ἱερῶν κανόνων τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, κατὰ προτίμησιν τῶν λοιπῶν προγενεστέρων αὐτοῦ συλλογῶν, διά τε τὴν μείζονα τοῦ συγγράμματος ἀκρίβειαν, καὶ τὴν ποικίλην ἐσωτερικήν τε καὶ ἐξωτερικὴν παιδείαν τοῦ συγγραφέως, οὗ τὴν ὑπόληψιν καὶ ὡς θεολόγου, καὶ ὡς φιλοσόφου, καὶ ὡς μαθηματικοῦ, καὶ ὡς ῥήτορος, καὶ ὡς πολιτικοῦ, οὐδ' οἱ ἔχθιστοι αὐτῷ ἀντίπαλοι ἐτόλμησαν νὰ διαμφισβητήσωσι 2)· μολαταῦτα ἡ πλείστου λόγου αὕτη Συλλογὴ διέμεινεν, ὁμοῦ μὲ τὰς εἰς αὐτὴν ἐξηγήσεις Ἰωάννου τοῦ Ζωναρᾶ, καὶ Θεοδώρου τοῦ Βαλσαμῶνος, ἕως αὐτοῦ τοῦ δεκάτου ἕκτου αἰῶνος, ἄγνωστος σχεδὸν εἰς τὴν δυτικὴν Εὐρώπην. Κατὰ πρῶτον δὲ, ἐπὶ τῆς ἐν Τριδέντῳ συνόδου, Ἰωάννης ὁ Τίλιος, ἐπίσκοπος Βριόκου τῆς Γαλλίας,

---

1) Περιστάσεις ἀνεξάρτητοι τῆς θελήσεως ἡμῶν, ἰδίως δὲ ἡ ἔφεσις τοῦ νὰ ἐπισκεφθῶμεν καί τινα τῶν ἐν ταῖς πρωτίσταις τῆς Εὐρώπης βιβλιοθήκαις σωζομένων ἀρχαίων χειρογράφων τοῦ Συντάγματος τοῦ Φωτίου, μᾶς ἀναγκάζουσι σήμερον ν' ἀναβάλωμεν τὴν δημοσίευσιν τῶν εἰς τον παρόντα τομον ἀνηκόντων Προλεγομένων, ἐν οἷς ἐκθέτομεν ἐν ἐκτάσει τὸ ἱστορικὸν τῶν πηγῶν τοῦ ἐκκλησιαστικοῦ δικαίου τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, ἰδίως δὲ τοῦ Συντάγματος τοῦ Φωτίου. Ἀλλὰ ταῦτα θέλουσι διανεμηθῆ πρὸς τοὺς φιλομούσους ἡμῶν συνδρομητὰς μετὰ τοῦ τρίτου τόμου, ἂν καὶ, ὡς ἀνήκοντα εἰς τὸν πρῶτον, ὀφείλουσι μετ' αὐτοῦ νὰ βιβλιοδετηθῶσι.

2) Εἷς τῶν μᾶλλον δυσμενῶς περὶ Φωτίου συγγραψάντων, Νικήτας, ὁ Παφλαγονίας ἐπίσκοπος, ἐν τῷ βίῳ τοῦ Ἰγνατίου, λέγει πρὸς τοῖς ἄλλοις τὰ ἑξῆς· «Ἦν δὲ οὗτος ὁ Φώτιος οὐ τῶν ἀγενῶν τε καὶ ἀνωνύμων, ἀλλὰ τῶν εὐγενῶν κατὰ σάρκα, καὶ περιφανῶν, ὥστε καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέτρεχεν ἐπ' αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδὴ, ὁ πλοῦτος, δι' ὃν καὶ βίβλος ἐπ' αὐτὸν ἔῤῥει πᾶσα· πλέον δὲ πάντων ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι [ἦγοντο], περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἐσχολακότι. Ὅρα καὶ ἱστορίαν τοῦ Φωτίου ὑπὸ τοῦ Ἀββᾶ Ἰαγήρου (Histoire de Photius par l' Abbé Jager), ἰδίως σελ. 394 κτλ.

προέτρεψε τὸν κατὰ τὴν αὐτὴν σύνοδον παρευρεθέντα Γεντιανὸν τὸν Ἕρβετον, ἄνδρα διασήμου ἐκκλησιαστικῆς παιδείας, νὰ μεταφράσῃ λατινιστὶ τὸ Σύνταγμα τοῦ Φωτίου μετὰ τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος, ἐκ χειρογράφου ἀνήκοντος εἰς αὐτὸν τὸν Ἰωάννην Τίλιον· τὴν δὲ μετάφρασιν ταύτην ἐξέδωκε κατὰ τὸ ἔτος 1561 ἐν Παρισίοις ὁ Οὐϊλέλμος Μορέλλιος. Κατὰ τὴν αὐτὴν σχεδὸν ἐποχὴν Ἐρρίκος ὁ Ἀγυλαῖος μετέφρασεν ἐν Γερμανίᾳ Λατινιστὶ τὸν Νομοκάνονα τοῦ Φωτίου, ἀπὸ χειρογράφου ἀνήκοντος εἰς τὴν βιβλιοθήκην τοῦ Βονιφατίου Ἀμερβαχίου, ὁμοῦ μὲ τὰ ἐπ' αὐτοῦ σχόλια τοῦ Βαλσαμῶνος, ἀλλ' ἄνευ τῆς Συλλογῆς τῶν κανόνων, ἐκδοὺς αὐτὸν μόνον λατινιστὶ, ἐν Βασιλείᾳ κατὰ τὸ ἔτος 1561 παρὰ Ἰωάννῃ τῷ Ὀπωρινῷ. Κατὰ τὸ ἔτος 1615 ὁ σοφὸς Χριστόφορος Ἰουστέλλος, εὑρὼν Ἑλληνικὸν χειρόγραφον τοῦ Νομοκάνονος ἐν τῇ Παλατινῇ βιβλιοθήκῃ, ἐξέδωκεν αὐτὸν ἑλληνιστὶ μετὰ τῆς διαληφθείσης Λατινικῆς τοῦ Ἀγυλαίου μεταφράσεως, παρὰ τῷ Ἀβραὰμ. Πακάρδῳ ἐν Παρισίοις, ὡς ταῦτα δηλοῦνται ἐκ τῆς πρὸς Φρεδερῖκον τὸν πέμπτον, Κόμητα Παλατῖνον, Δοῦκα τῆς Βαυαρίας, ἀφιερωτικῆς αὐτοῦ ἐπιστολῆς. Κατὰ δὲ τὸ ἔτος 1620, ἐξεδόθη ἐν Παρισίοις ὁλόκληρον τὸ Σύνταγμα τοῦ Φωτίου, ἤτοι ὅ,τε Νομοκάνων καὶ ἡ συναγωγὴ τῶν κανόνων, μετὰ τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος, ἐκ χειρογράφου ἀγνώστου σήμερον, τοῦ ὁποίου αἱ παρ' αὐτῶν τῶν ἐκδοτῶν ὁμολογούμεναι ἐλλείψεις ἀνεπληρώθησαν ὁπωσοῦν ἐκ τῶν χειρογράφων τῆς Οὐατικανῆς βιβλιοθήκης, καί τινος μικρὸν πληρεστέρου χειρογράφου ἐκ τῆς βιβλιοθήκης τοῦ ἐνδόξου προέδρου τοῦ ἀνωτάτου δικαστηρίου τῆς Γαλλίας Ἀχιλλέως Ἀρλαίου. Ἀλλὰ μ' ὅλα ταῦτα τὰ ἐπίσημα βοηθήματα, οἱ Γάλλοι ἐκδόται συνομολογοῦσιν ὅτι δὲν ἐπέτυχον πλῆρες καὶ ἀκριβὲς χειρόγραφον, ὅπερ νὰ ἀντιστοιχῇ εἰς τὴν πληρεστέραν Λατινικὴν τοῦ Ἑρβέτου μετάφρασιν 1). Τοῦτ' αὐτὸ

---

1) Et tamen, ut ingenue rem fateamur, vix industria et labore omni consequi potuimus, ut lacunas omnes, et quæ deerant in exemplari Græco supplereemus. Neque enim in perfectum ullum et expletum incidimus, quod Herveti latinam versionem æquaret. Qui in Italia, cum Tridentino Concilio adfuisset, ad quod ex omni orbe terrarum Præsu-

βεβαιοῖ καὶ ὁ Κύριος Βερνάρδος Μορτρέλιος, ὅστις, ἐν τῇ περὶ τῆς ἱστορίας τοῦ Βυζαντινοῦ δικαίου σοφωτάτῃ αὐτοῦ συγγραφῇ ἐπιφέρει· « Ἀλλ' ἐπειδὴ ὁ Ἔρβετος εἶχεν ὑπ' ὄψιν χειρόγραφον πολλῷ ἐντελέστερον τῶν εἰς τοὺς Γάλλους ἐκδότας χρησιμευσάντων, πλεῖστα τῆς Λατινικῆς μεταφράσεως χωρία ἐλλείπουσιν ἐκ τοῦ Ἑλληνικοῦ κειμένου· καὶ ἐζητήθη εἰς μάτην χειρόγραφον δυνάμενον νὰ συμπληρώσῃ τὰ κενὰ ταῦτα (1). Ὁ Νομοκάνων τοῦ Φωτίου, μετὰ τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος, ἐξεδόθη τὸ δεύτερον κατὰ τὸ ἔτος 1661 ἐν Παρισίοις, ἐν τῷ δευτέρῳ τόμῳ τῆς Βιβλιοθήκης τοῦ ἀρχαίου κανονικοῦ δικαίου, ὑπὸ Οὐιλέλμου Βοέλλου καὶ Ἐρρίκου Ἰουστέλλου, σελ. 787—1140 (2).

Τὴν τετάρτην καὶ τελευταίαν τοῦ Φωτιανοῦ Νομοκάνονος ἔκδοσιν ὀφείλομεν εἰς τὸν ἀκάματον ὑπὲρ τῆς παιδείας ζῆλον τοῦ κλεινοῦ Καρδιναλίου Κ. Ἀγγέλου τοῦ Μαΐου, τοῦ ἀληθοῦς τούτου εὐεργέτου τῶν γραμμάτων, ὅστις δὲν ἀπηύδησεν ἀνακαλύπτων πρὸ ἐτῶν, εἰς τὸ ἀχανὲς πέλαγος τῆς παρ' αὐτοῦ ἐφορευομένης Οὐατικανῆς βιβλιοθήκης, ἀξιολογώτατα ἀνέκδοτα συγγράμματα, καὶ καταπλουτίζων διὰ τῆς ἐκδόσεως αὐτῶν τὴν φιλολογίαν καὶ τὰς ἐπιστήμας. Τὸν Νομοκάνονα τοῦ Φωτίου ἐξέδωκεν οὗτος ἐν Ῥώμῃ κατὰ τὸ ἔτος 1842 ἐν τῷ Ζ'. τόμῳ τῆς οὕτω παρ' αὐτοῦ καλεσθείσης Ῥωμαϊκῆς Σταχυολογίας (Spicilegium Romanum). Ἀλλ' ἡ ἔκδοσις αὕτη δὲν διακρίνεται τῶν προηγουμένων διὰ μόνης τῆς μείζονος τῶν κειμένων ἀκριβείας· τὸ μέγιστον αὐτῆς πλεονέκτημα εἶναι, ὅτι ὁ ἀναγνώ-

---

les vita et sapientia facile omnium clarissimi accesserant, exemplar est nactus amplissimum. In hoc tamen omnia deficiunt, quod non semper Photii in Nomocanone verba à Theodori scholiis et commentatione distinguant.

(1) Mais comme Hervet avait fait usage d' un manuscrit beaucoup plus complet que ceux dont se servirent pour le texte grec les libraires de Paris, plusieurs parties de la traduction latine manquèrent du texte grec correspondant, et on chercha vainement un manuscrit pour combler ces lacunes.

(2) Bibliotheca iuris canonici veteris insigniores antiquorum Canonum collectores Græcos complectens, qui nunc primum in lucem eduntur ex Bibliotheca Christophori Justelli, opera et studio Gulielmi Voelli, theologi ac Socii Sorbonici, et Henrici Justelli, Christophori F.

στης εὑρίσκει ἐν αὐτῇ τοὺς ἱεροὺς κανόνας ὁλοσχερῶς ἐκτεθειμένους, ἐνῷ ἐν ταῖς λοιπαῖς τοῦ Νομοκάνονος ἐκδόσεσιν ἁπαντᾷ τις μόνον τοὺς ἐνδεικνύοντας αὐτοὺς ἀριθμοὺς, ὀφείλων νὰ ἀναζητήσῃ τὰ κείμενα αὐτῶν ἐντὸς τῆς ἐν τοῖς χειρογράφοις, συνήθως μετὰ τὸν Νομοκάνονα, ἐνίοτε δὲ πρὸ αὐτοῦ εὑρισκομένης συναγωγῆς τῶν κανόνων. Ὁ Νομοκάνων τοῦ Φωτίου μετὰ τοῦ προλόγου αὐτοῦ ἐξεδόθη, ἀλλὰ μόνον Ῥωσσιστὶ, καὶ ἐντὸς τοῦ Κώδικος τῶν Κανόνων τῆς Ῥωσσικῆς ἐκκλησίας.

Κατὰ τὸ ἔτος 1558, ὁ Ἰωάννης Κουϊντῖνος, καθηγητὴς τοῦ κανονικοῦ δικαίου ἐν τῷ Πανεπιστημείῳ τῶν Παρισίων, ἐξέδοτο τοὺς ὀγδοήκοντα πέντε Ἀποστολικοὺς κανόνας μετὰ μόνης τῆς Λατινικῆς μεταφράσεως τῆς εἰς αὐτοὺς ἑρμηνείας Ἰωάννου τοῦ Ζωναρᾶ 1). Ὁλόκληρον δὲ τὴν Λατινικὴν μετάφρασιν τῆς εἰς τοὺς συνοδικοὺς κανόνας ἑρμηνείας τοῦ Ζωναρᾶ μετὰ τῶν κανόνων, ἐξέδοτο ὁ Ἀντώνιος Σαλμάτιος ἐν Μεδιολάνοις, κατὰ τὸ 1613 ἔτος 2). Τέλος οἵ τε Ἀποστολικοὶ κανόνες, καὶ οἱ συνοδικοὶ, μετὰ τῆς ἑρμηνείας τοῦ Ζωναρᾶ, ἐξεδόθησαν Ἑλληνιστὶ καὶ Λατινιστὶ ἐν Παρισίοις κατὰ τὸ ἔτος 1618, ἔκ τινος χειρογράφου τῆς Βασιλικῆς βιβλιοθήκης 3). Προσέθεντο δὲ οἱ ἐκδόται καὶ τὰ πρακτικὰ τῆς ἐπὶ τοῦ οἰκουμενικοῦ πατριάρχου Μηνᾶ ἐν Κωνσταντινουπόλει συνελθούσης συνόδου, καὶ τὰς

---

1) Octoginta quinque regulae seu Canones Apostolorum græce et latine, cum vetustis Joannis monachi Zonaræ in eosdem commentariis latine; ex editione Joannis Quintini. Parisiis, Andreas Wechelus, 1558, 4ον.

2) Joannis Zonarae commentarii in Canones veterum conciliorum, numquam antea editi, nunc primo de graeco in latinum translati, ex interpretatione et cum annotationibus Antonii Salmatiæ; adjectus est Canonum contextus ex Gentiani Herveti editione. Mediolani, Melchior Tradatus, 1613, 4ον.

3) Canones SS. Apostolorum et SS. Conciliorum, cum commentariis Joannis Zonarae, a viris doctissimis latinitate donati et annotationibus illustrati, nunc primum graece et latine conjunctim editi; adjectum est Concilium Constantinopoli sub Menna patriarcha, una cum Constitutionibus Apostolorum utraque lingua pariter erutum ex regis christianissimi et aliarum Bibliothecarum codicibus, studio et labore Joannis Quintini Haedui, Lutetiae Parisiorum. Typis regiis, 1618, in fol.

Ἀποστολικὰς Διαταγὰς μετά τινων ἐκκλησιαστικῶν ἐπιστολῶν. Ἀλλ' ἡ ἑρμηνεία τοῦ Ζωναρᾶ εἰς τὰς κανονικὰς ἐπιστολὰς τῶν ἁγίων Πατέρων δὲν συμπεριελήφθη ἐν τῇ προκειμένῃ ἐκδόσει, δημοσιευθεῖσα κατὰ πρῶτον Ἑλληνιστί τε καὶ Λατινιστὶ κατόπιν τῶν ἐπιστολῶν τοῦ ἁγίου Γρηγορίου τοῦ Νεοκαισαρείας, ἢ Θαυματουργοῦ, Μακαρίου τοῦ Αἰγυπτίου καὶ Βασιλείου τοῦ Σελευκείας, κατὰ τὸ ἔτος 1621 καὶ 1622 ἐν Παρισίοις 1).

Τὰς τῇδε κἀκεῖσε ἐσκορπισμένας ταύτας πηγὰς τοῦ ἐκκλησιαστικοῦ δικαίου τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας, μετὰ τῆς εἰς αὐτὰς ὁλοσχεροῦς ἑρμηνείας τῶν δύο ἀρχαίων Ἐξηγητῶν, Ἰωάννου τοῦ Ζωναρᾶ καὶ Θεοδώρου τοῦ Βαλσαμῶνος, συνῆψε πρῶτος εἰς ἓν ὁ Οὐιλέλμος Βευερήγιος, πρεσβύτερος τῆς Ἀγγλικανῆς ἐκκλησίας, ἐπεξεργασθεὶς ἐξ ὑπαρχῆς καὶ τὴν Λατινικὴν μετάφρασιν συμφωνότερον πρὸς τὸ σωζόμενον Ἑλληνικὸν κείμενον, ὅπερ ἐν γένει κατέστησεν ἐντελέστερον διὰ τῆς προσθήκης πλείστων ἕως τότε ἀνεκδότων μερῶν τῆς ἑρμηνείας τοῦ τε Ζωναρᾶ καὶ ἰδίως τοῦ Βαλσαμῶνος. Ὁ κυριώτατος χειρόγραφος κώδιξ, ἐφ' οὗ ἐστηρίχθη ἡ ἐργασία τοῦ Βευερηγίου, ὑπῆρξεν ὁ ἐν τῇ Ὀξωνείᾳ βιβλιοθήκῃ Βοδληϊάνειος, ὑπ' ἀριθ. μὲν 194 ὡς πρὸς τὴν εἰς τοὺς Ἀποστολικοὺς κανόνας ἑρμηνείαν τοῦ Ζωναρᾶ καὶ τοῦ Βαλσαμῶνος, ὑπ' ἀριθ. δὲ 205 ὡς πρὸς τὴν εἰς τὸ σύνολον τοῦ Συντάγματος ἐξήγησιν. Ὁ κώδιξ οὗτος, ὄν, ὡς ἐκ τοῦ χάρτου, τῆς γραφῆς, τῆς βιβλιοδετήσεως καὶ ἄλλων παρομοίων τῆς ἀρχαιότητος σημείων, τεκμαίρεται γραφέντα ὁ Βευερήγιος κατὰ τὴν ιγ'. ἑκατονταετηρίδα, καὶ τὸν ὁποῖον ὀνομάζει τιμιώτατον τοῦ κανονικοῦ δικαίου κειμήλιον, δὲν ἦτον θεμιτὸν, λέγει, νὰ διαμένῃ εἰσέτι κεκρυμμένος ἐν μιᾷ βιβλιοθήκῃ 2).

---

1) S. Gregorii Thaumaturgi sive Neocæsar ; Macarii Ægyptii et Basilii Seleuciæ opera omnia, nunc primum graece et latine conjunctim edita (a Ger. Vossio); acc J. Zonarae expositio canonicarum epistolarum, Paris. 1621 (et 1622) seu 1626, in fol.

2) Neque enim fas erat, ut tam preciosum juris canonici κειμήλιον in una Bibliotheca diutius lateret; quo non modo omnes, quæ in priori fuerunt editione, lacunæ suppletæ sunt ; verum etiam alia quamplurima ibi desiderata, hic interseruntut, et omnia ferè usque adeo emen-

Ἐκτὸς δὲ τῶν κωδίκων τούτων, ὁ Βευερήγιος ἔκαμε χρῆσιν καὶ δύο ἑτέρων, ὧν ὁ μὲν ἀνῆκεν εἰς τὸν Ῥιχάρδον Ἀλλέστρην, καθηγητὴν τῆς Θεολογίας ἐν τῇ Ὀξωνείᾳ Ἀκαδημίᾳ, καὶ διευθυντὴν τοῦ Αἰτωνείου γυμνασίου, ὁ δὲ εἰς τὴν ἐν Βασιλείᾳ τῆς Ἑλβετίας βιβλιοθήκην, κληροδοτηθεὶς ὑπὸ Βασιλείου τοῦ Ἀμερβαχίου, κατὰ τὸ 1593 ἔτος. Ἀλλὰ τὰ ἐκ τοῦ τελευταίου χειρογράφου πηγάζοντα διάφορα ἀναγνώσματα δὲν ἐπρόφθασαν νὰ τυπωθῶσιν εἰμὴ εἰς τὸ τέλος τοῦ β'. τόμου, ἐν παραρτήματι, ὅπερ καθίστησιν οὐκ ὀλίγον δυσχερῆ τὴν χρῆσιν αὐτῶν, ὡς ἐξ οἰκείας πείρας τὸ ἐβεβαιώθημεν. Ἰδίως δὲ ὡς πρὸς τὴν ἑρμηνείαν τοῦ Ζωναρᾶ, ἐγένετο χρῆσις τοῦ ἐν τῇ βιβλιοθήκῃ τῶν Παρισίων ὑπ' ἀριθ. 1322 Κώδικος, φέροντος τὰ παράσημα Ἐρρίκου τοῦ Β'., καὶ ἑτέρου ἀνήκοντος εἰς τὸν ἐν Παρισίοις δικηγόρον Αὔγουστον Γαλλάνδην, νῦν δὲ εἰς τὴν Κοισλιανὴν βιβλιοθήκην ὑπ' ἀριθ. 39. Μολονότι ἐν γένει ὁ Νομοκάνων εὑρίσκεται ἐν τοῖς χειρογράφοις κώδιξι, μετὰ τῆς συναγωγῆς τῶν κανόνων, συνήθως μὲν προηγούμενος αὐτῆς, ὅθεν καὶ ὡς ἐκ τούτου παρά τισι καλούμενος προκάνων, ἐνίοτε δὲ ἑπόμενος μετὰ τοὺς κανόνας, ὁ Βευερήγιος δὲν περιέλαβεν αὐτὸν ἐν τῷ Συνοδικῷ. Ἀλλ' ἀντ' αὐτοῦ ἐπλούτισε τὴν ἔκδοσίν του διὰ τῆς καὶ ἐν τῷ Β'. τόμῳ τῆς βιβλιοθήκης τοῦ ἀρχαίου κανονικοῦ δικαίου τοῦ Βοέλλου καὶ Ἰουστέλλου προεκδοθείσης Ἐπιτομῆς τῶν κανόνων, γνωστῆς ὑπὸ τὸ ὄνομα, Σύνοψις Ἀλεξίου τοῦ Ἀριστηνοῦ, σελ. 673—709, ἢ Ἐπιτομὴ αὐτῶν ὑπὸ Συμεῶνος τοῦ Μαγίστρου καὶ Λογοθέτου, σελ. 710—748, κατατάξας αὐτὴν, κατὰ τὸ σύστημα τοῦ Ζωναρᾶ, ὑφ' ἕκαστον τῶν ἀντιστοιχούντων κανόνων, καὶ διατηρήσας τὸ ὄνομα τοῦ Ἀριστηνοῦ, οὐχὶ, ὡς ὁ ἴδιος λέγει, καθὸ συγγραφέως τῆς διαληφθείσης Ἐπιτομῆς, ἀλλ' ὡς σχολιαστοῦ αὐτῆς, προσθεὶς καὶ τὴν μέχρι τότε ἀνέκδοτον εἰσέτι ταύτην ἑρμηνείαν τοῦ Ἀριστηνοῦ. Ἐχρήσατο δὲ πρὸς τοῦτο τέσσαρσι κώδιξι χειρογράφοις, ὧν ὁ μὲν, ἐκ τῆς βιβλιοθήκης τοῦ εἰς τὴν Ἀκαδημίαν τῆς Κανταβριγίας ὑπαγομένου γυμνασίου τῆς ἁγίας Τριάδος· ὁ δὲ

---

dantur, ut vera Balsamonis Antiocheni in canones Commentaria nunc primum in lucem emissa videantur. Bever. Prolegomena, σελ. XIV.

ἐκ τῆς ἐν τῷ Πανεπιστημείῳ τῆς Ὀξωνίας Βοδληϊανῆς βιβλιοθήκης ὑπ' ἀριθ. 221, οὗπερ ἀντίγραφόν ἐστι ὁ προηγούμενος, ὁ τρίτος, ἐκ τῆς ἰδιαιτέρας βιβλιοθήκης τοῦ Θωμᾶ Βράονος, καθηγητοῦ τῆς Θεολογίας, καὶ ὁ τέταρτος πάλιν ἐκ τῆς Βοδληϊανῆς βιβλιοθήκης ὑπ' ἀριθ. 716, τοῦ ὁποίου ὅμως, ὡς ἀργότερον εὑρεθέντος, ἂν καὶ τῶν λοιπῶν πλουσιωτέρου, δὲν ἠδυνήθη νὰ κάμῃ χρῆσιν ἀπ' ἀρχῆς τοῦ ἔργου του, εἰμὴ μόνον ὡς πρὸς τὰς κανονικὰς τῶν Πατέρων ἐπιστολάς.

Ὁ Βευερήγιος δὲν διετήρησεν ἀκριβῶς τὴν ἐν τοῖς χειρογράφοις παραδεδεγμένην κατάταξιν τῆς ὕλης, ἀλλ' ἐπενεγκὼν μικράς τινας εἰς αὐτὴν τροποποιήσεις, ἐξέδοτο κατόπιν ἑκάστου τῶν κανόνων τὴν ἑρμηνείαν τοῦ Βαλσαμῶνος, εἶτα τὴν τοῦ Ζωναρᾶ, καὶ τέλος τὸ ἀντιστοιχοῦν μέρος τῆς Ἐπιτομῆς τῶν κανόνων, μετὰ τῶν σημειώσεων τοῦ Ἀριστηνοῦ 1). Ἐπιθυμῶν δὲ νὰ καταστήσῃ τὴν ὡραίαν ταύτην ἔκδοσιν ἀληθῆ, ὡς καὶ ὠνόμασεν αὐτὴν, Πανδέκτην τοῦ κανονικοῦ δικαίου, καὶ νὰ μὴ παραλείψῃ οὐδὲν λόγου ἄξιον μνημεῖον τῆς Ἐκκλησιαστικῆς νομολογίας, ἐξέδοτο ἐν τῷ δευτέρῳ τοῦ Συνοδικοῦ τόμῳ καὶ τὸ κατὰ στοιχεῖον Σύνταγμα Ματθαίου τοῦ Βλάσταρη.

Τὸ κανονικὸν τοῦτο εὑρετήριον εἶχε καταστῇ, διὰ τὸ εὐμέθοδον καὶ εὐσύνοπτον αὐτοῦ, γενικωτάτης μεταξὺ τῶν διδασκάλων τῆς Ἀνατολικῆς Ἐκκλησίας χρήσεως, ὅπως τὸ πρόχειρον τῆς ἑξαβίβλου τοῦ Ἁρμενοπούλου, μεταξὺ τῶν νομοδιδασκάλων τοῦ πολιτικοῦ δικαίου· ἡ δὲ καθημερινὴ αὐτοῦ χρῆσις βεβαιοῦται καὶ ἐκ τοῦ μεγάλου ἀριθμοῦ τῶν σωζομένων αὐτοῦ ἀντιγράφων· ἰδίως δὲ καὶ ἐκ τῆς περιστάσεως,

---

1) Συνοδικὸν sive Pandectæ Canonum SS. Apostolorum et Conciliorum ab Ecclesia Græca receptorum, nec non Canonicarum SS. Patrum Epistolarum; una cum scholiis antiquorum singulis eorum annexis, et scriptis aliis huc spectantibus; quorum plurima e Bibliothecæ Bodleianæ aliarumque MSS. Codicibus nunc primum edita; reliqua cum iisdem MSS. summa fide et diligentia collata. Totum opus in duos tomos divisum, Guilielmus Beveregius, Ecclesiæ Anglicanae Presbyter, recensuit, Prolegomenis munivit, et annotationibus auxit Oxonii, e Theatro Sheldoniano, sumptibus Guilielmi Wells et Roberti Scott Bibliop. Lond. MDCLXXII.

ὅτι κατὰ τὸ ἔτος 1498 μετεφράσθη καὶ εἰς τὴν καθομιλουμένην γλῶσσαν, ὑπό τινος Νικολάου Κουνάλη, ἢ Κρητοπούλου· τῆς δὲ μεταφράσεως ταύτης σώζονται διάφορα ἀντίγραφα ἢ ἐπιτομαί. Κατὰ τὸ ἔτος 1567 ἐδημοσιεύθη διὰ τοῦ τύπου ἀπόσπασμα τῆς ἱστορικῆς αὐτοῦ εἰσαγωγῆς παρὰ τοῦ Ἀντωνίου Αὐγουστίνου, ἐν τῇ Συλλογῇ τῶν Ἑλληνικῶν Διατάξεων(1). Κατὰ δὲ τὸ ἔτος 1596, ὁ Φρέερος ἐξέδωκεν ἐν τῇ Συλλογῇ τοῦ Ἑλληνο-Ῥωμαϊκοῦ δικαίου τοῦ Λεϋγκλαβίου τὰ κεφάλαια 8 καὶ 9 ἐκ τοῦ στοιχείου Β, περὶ τῶν βαθμῶν, καὶ τὰ κεφ. 2, 4, 9, 11, 13, 15, 19, ἐκ τοῦ στοιχείου Γ, ἐκ τῶν περὶ τοῦ γάμου, ὑπὸ τὴν ἐπιγραφὴν Ματθαίου τοῦ Μοναχοῦ ζητήματα καὶ ὑποθέσεις γαμικαί(2).

Ὡσαύτως μικρὸν μέρος αὐτοῦ ἐξεδόθη ὑπὸ τοῦ Λαββαίου(3). Καὶ τέλος ἡ ἱστορία τῶν πολιτικῶν νόμων, τὸ δεύτερον δηλονότι μέρος τῆς εἰσαγωγῆς τοῦ Βλάσαρη, εὑρίσκεται δημοσιευμένον ἐν τῇ Ἑλληνικῇ Βιβλιοθήκῃ τοῦ Φαβρικίου, τὸ δὲ ἀφορῶν τὰ Βασιλικὰ μέρος τῆς ἱστορίας ταύτης, ἐν ἀρχῇ τῆς ἐκδόσεως τοῦ Φαβρώτου.

Διάφοροι σοφοὶ τῆς Εὐρώπης προέθεντο κατὰ τὴν ιζ'. ἑκατονταετηρίδα νὰ ἐκδώσωσι τὸ Σύνταγμα τοῦ Βλάσταρη. Ἰδίως μεταξὺ τῶν ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ τῶν Παρισίων χειρογράφων, σώζεται ἀντίγραφον τοῦ Συντάγματος ὑπ' ἀριθ. 406, πρὸς τὸν σκοπὸν τοῦτον παρεσκευασμένον διὰ χειρὸς Ἰακώβου τοῦ Γοάρου, μετὰ μεταφράσεως Λατινικῆς καὶ σημειώσεων· ἀγνοεῖται δὲ ὁ λόγος τῆς μὴ ἐκτελέσεως τοῦ ἔργου τούτου. Ὁμοίαν ἐργασίαν ὑπ' ἀριθ. 1340 ἐν τῇ αὐτῇ Βιβλιοθήκῃ εὑρίσκομεν γενομένην ὑπὸ Ἰωάννου τοῦ Κοτελέρου καὶ Κλαυδίου τοῦ Ἰολίου.

Πρῶτος ὁ Βευερήγιος ἐξέδωκε πλῆρες τὸ Σύνταγμα τοῦτο ἐν τῷ δευτέρῳ τόμῳ τοῦ Συνοδικοῦ σελ. 1—272. Ἡ ἔκδοσις αὕτη ἐνεργήθη ἐπὶ τῇ βάσει δύο Κωδίκων χειρογράφων, τοῦ

---

(1) Collectio Constitutionum Græcarum.
(2) Ὅρα Λεϋγκλ. Τόμ. 1. Σελ. 478—490,
(3) Observationes in Synopsin Σελ. 200—207.

μὲν ἐν τῆς Βοδληϊανείου Βιβλιοθήκης ὑπ' ἀρ. 158, τοῦ δὲ, ἐκ τῆς ἰδιαιτέρας Βιβλιοθήκης Ἰσαακίου τοῦ Οὐοσσίου, μετὰ μεταφράσεως Λατινικῆς, παρασκευασθείσης ὑπό τινων σοφῶν τῆς Ὀξωνίας. Ὡς παράρτημα δὲ τοῦ Συντάγματος ἐξέδοτο πραγματείαν τινὰ τοῦ αὐτοῦ Βλάσταρη «Περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, ἥτις ἀπεκατέστησε Φώτιον τὸν Πατριάρχην εἰς τὸν θρόνον Κωνσταντινουπόλεως, καὶ διέλυσε τὰ σκάνδαλα τῶν δύο Ἐκκλησιῶν τῆς Παλαιᾶς καὶ Νέας Ῥώμης, ἀπὸ τοῦ λόγου τοῦ Βέκκου, οὗ ἡ ἀρχὴ, Ἦν ἂν μακάριον, πρὸς τούτοις καὶ τὰ πρακτικὰ αὐτῆς ταύτης τῆς Συνόδου.»

Εἶναι ἀδύνατον εἰς ὅντινα ἀνερευνᾷ τοὺς ἀτρύτους πόνους, μεθ' ὧν ὁ Βευερήγιος ἀνήγειρε τὸ περικαλλὲς τοῦτο εἰς τὴν ἐπιστήμην τοῦ κανονικοῦ δικαίου τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας μνημεῖον, νὰ μὴ κυριευθῇ ὑπὸ αἰσθήματος βαθυτάτης πρὸς τὴν μνήμην τοῦ σοφοῦ τούτου ἀνδρὸς εὐγνωμοσύνης. Θεολόγος ἄριστος, κάτοχος βαθυτάτων περὶ τὴν ἐκκλησιαστικὴν ἀρχαιολογίαν γνώσεων, Ἑλληνιστὴς διακεκριμένος, ἂν καὶ ἑτέρας θρησκευτικῆς ὁμολογίας, ἀπηλλαγμένος ὅμως πάσης ἀδίκου πρὸς τὴν μητέρα τῶν Χριστιανικῶν Ἐκκλησιῶν προλήψεως, φλεγόμενος ὑπὸ θείου πρὸς τὴν ἐπιστήμην ζήλου, ζῶν ἐν ἑνὶ λόγῳ κατὰ τὴν ἐποχὴν τῆς ἐν τῇ Εὐρώπῃ ἀναγεννήσεως τῶν γραμμάτων, ὅτε ἁπάντων τῶν ἐθνῶν οἱ πεπαιδευμένοι ἠμιλλῶντο νὰ κορεσθῶσιν ἀπὸ τὰ νάματα τῆς Ἑλληνικῆς σοφίας, τίς ἄλλος παρὰ τὸν Βευερήγιον ἠδύνατο ἐπιτυχέστερον νὰ ἀντλήσῃ εἰς τὰς περὶ αὐτὸν πλουσίας πηγὰς τῶν πρωτίστων τῆς Εὐρώπης βιβλιοθηκῶν, *πρὸς ἃς*, διὰ νὰ εἴπω *κατὰ* Νικήταν, *βίβλος ἔρρει πᾶσα*; Τὸ λέγω δὲ θαρραλέως, εἰς τὸ ὡραῖον καὶ δίκαιον τοῦτο αἴσθημα τῆς εὐγνωμοσύνης οὐδεὶς φίλος τῆς ἐκκλησιαστικῆς παιδείας, οὐδεμία ἀληθῶς Ἑλληνικὴ ψυχὴ ὑπάρχει ἀλλοτρία. Τὸ Συνοδικὸν τοῦ Βευερηγίου εὑρίσκεται, καθόσον ἡ σπάνις τοῦ βιβλίου τὸ ἐπιτρέπει, εἰς τὰς χεῖρας ἁπάντων τῶν ποιμενάρχων καὶ διδασκάλων τῆς ἡμετέρας Ἐκκλησίας, θεωρούμενον παρ' αὐτῶν ὡς θησαυρὸς πολύτιμος. Ἀλλ' εἰς ἐποχὴν, καθ' ἣν ἡ ἐκκλησιαστικὴ παιδεία ἀναζωπυρεῖται ἐπὶ μᾶλλον ἐν τῇ ἀρχαίᾳ αὐτῆς ἐσίᾳ, πόσον ἐπαισθητὴ, ἢ μᾶλλον ἐπιζήμιος εἰς τὴν σπουδὴν

τοῦ ἐκκλησιαστικοῦ δικαίου ἀποβαίνει ἡ σπάνις, ἢ ἀληθέστερον, ἡ παντελὴς ἤδη ἐν τῇ βιβλιεμπορίᾳ ἔλλειψις τοῦ προκειμένου βιβλίου! Τοῦτο πρὸ πολλοῦ συνησθάνετο ὁ Ἀνατολικὸς κλῆρος, καὶ ἐν γένει ὅσοι καλῶς γνωρίζουσι τὸν μεταξὺ τῆς μελέτης τῶν θείων καὶ τῆς τῶν πολιτικῶν νόμων ὑφιστάμενον στενὸν σύνδεσμον, καὶ ὡς ἀφ' ἑνὸς στόματος ἅπαντες συνομολογοῦντες τὴν κατεπείγουσαν ἀνάγκην, ἐπεκαλοῦντο νέαν τοῦ Συνοδικοῦ ἔκδοσιν. Ἀλλ' ἅπαντες οὗτοι οἱ λόγοι δὲν ἦσανικανοὶ νὰ μᾶς πείσωσι ν' ἀναδεχθῶμεν τὸν κατὰ πολὺ τὰς προσωπικὰς ἡμῶν δυνάμεις ὑπερτεροῦντα ἀγῶνα τῆς ἐκτελέσεως τηλικούτου ἔργου, ὅπερ πολὺ ἐπιτυχέστερον ἠδύναντο βεβαίως νὰ καταρτίσωσιν ἄνδρες εἰδικώτεροι, καὶ ἡμῶν πολλῷ κάρρονες, (τοιούτων δὲ οὐκ ἀμοιρεῖ τὸ ἔθνος μας)· ἐὰν ἰδιάζουσά τις περίστασις, εὐτυχέστατος διὰ τὴν ἐπιστήμην τοῦ ἐκκλησιαστικοῦ δικαίου οἰωνὸς, δὲν μᾶς ἐπέβαλλε τὴν ἠθικὴν ὑποχρέωσιν νὰ τρέξωμεν τοῦτο τὸ στάδιον. Εἰς τὴν βιβλιοθήκην τοῦ ἐν μακαρίᾳ τῇ λήξει μητροπολίτου Ἀργολίδος, πρώην Αἰγίνης, Κυρίου Γερασίμου (1), ἀνεύρομεν κειμήλιον ὄντως, ὡς ἐκφράζεται ὁ Βευερήγιος, τοῦ ἐκκλησιαστικοῦ δικαίου, Κώδικα χειρόγραφον, περιέχοντα ὁλοσχερὲς τὸ Σύνταγμα τοῦ Πατριάρχου Φωτίου μετὰ τοῦ Νομοκάνονος, καὶ τῶν ἐξηγήσεων Ἰωάννου τοῦ Ζωναρᾶ καὶ Θεοδώρου τοῦ Βαλσαμῶνος. Ὁ Κώδιξ οὗτος, συγκείμενος ἐκ 490 φύλλων ὡραίου χάρτου, καθαρώτατα καὶ μετὰ πλείστης ἐπιμελείας τε καὶ κομψότητος γεγραμμένος, κατηρτίσθη ἐν Τραπεζοῦντι κατὰ τὸ σωτήριον ἔτος ᾳψοθ'. τὴν 21 τοῦ Ἰουνίου, διὰ χειρὸς τοῦ ἀκολούθως διευθύναντος τὴν τῆς πόλεως ταύτης Ἑλληνικὴν σχολὴν Ἠλίου τοῦ Νικολάου Καντίλογλη, κατὰ διαταγὴν τοῦ πανιερωτάτου μητροπολίτου Τραπεζοῦντος Κ. Δωροθέου(2), ἀπὸ

---

(1) Πρὸς μητρὸς θείου τοῦ ἑτέρου τῶν ἐκδοτῶν Κ. Γ. Α. Ῥάλλη.

(2) Ἐκ τῆς ἐν τῷ τέλει τοῦ περὶ οὗ ὁ λόγος Κώδικος ἐξῆς σημειώσεως ἠρύσθην τὰς ἀνωτέρω πληροφορίας· «Δαπάνῃ καὶ εὐχῇ τοῦ πανιερωτάτου μου αὐθέντου καὶ δεσπότου, μητροπολίτου Τραπεζοῦντος καὶ ὑπερτίμου Κ. Δωροθέου, εἴληφε τέρμα τὸ παρὸν Νομοκάνονον, κατὰ τὸ ᾳψοθ'. σωτήριον ἔτος, Ἰουνίου κά, διὰ χειρὸς ἐμοῦ τλιπαθοῦς Ἠλία τοῦ Νικολάου Καντίλογλη, Τραπεζουντίου. » Ὅτι δὲ ὁ Ἠλίας τοῦ Νικολάου Καντίλογλης ἐχρημάτισε διδάσκαλος τῆς ἐν Τραπεζοῦντι Ἑλληνικῆς Σχολῆς,

τοῦ ἐν τῇ βιβλιοθήκῃ τῆς Μητροπόλεως ἐκείνης σωζομένου ἀρχαίου Κώδικος τοῦ ἔτους 1311, ὡς τοῦτο βεβαιοῦται ἐκ τῆς ἐπὶ κεφαλῆς τοῦ ἡμετέρου χειρογράφου εὑρισκομένης προσφωνητικῆς πρὸς τὸν ἤδη μνησθέντα μητροπολίτην Τραπεζοῦντος Κ. Δωρόθεον ἐπιστολῆς τοῦ Σουμελίτου Χ. Ἰωάννου (1). Τὸν Κώ-

---

τὸ ἐπληροφορήθην ὑπὸ δύο νέων Τραπεζουντίων, φοιτησάντων εἰς τὰς παρὰ τῷ Ὀθωνείῳ Πανεπιστημείῳ περὶ Ἐμπορικοῦ Δικαίου παραδόσεις μου, τῶν Κυρίων Πλάτωνος Παρασκευᾶ, λέγω, καὶ Γ. Παρηγόρη, γινωσκόντων αὐτὸν ἐκ παραδόσεως, καθὸ συμπολίτην, καὶ μάλιστα συγγενῆ τῶν γονέων τοῦ ἑτέρου αὐτῶν.

(1) Ἰδοὺ πῶς περὶ τούτου ἐκφράζεται ἡ διαληφθεῖσα προσφωνητικὴ ἐπιστολή, τὴν ὁποίαν ἐθεωρήσαμεν καθῆκον ἡμῶν νὰ δημοσιεύσωμεν ἐνταῦθα, καθὸ βεβαιοῦσαν τὴν ἐπισημότητα τῆς ἀντιγραφῆς τοῦ παρ' ἡμῖν χειρογράφου.

«Πρὸς τὸν Κυριάρχην τῆς παρούσης Ἱερᾶς Βίβλου Μητροπολίτην Τραπεζοῦντος Κ.Κ. Δωρόθεον.»

Πόθεν ἄρξασθαι τῶν σῶν πλεονεκτημάτων τὸ πέλαγος, ὦ ἱερὰ κεφαλή, διεξιέναι ἀμηχανῶ, ὧν ἕνεκα οὐ διέλειψας εἰς πέρας ἀγαγέσθαι οὗπερ ἥψω θείου ἐπιχειρήματος, ταύτην τὴν ἱερὰν Βίβλον τῶν Νομοκανόνων, ἐκ τοῦ παλαιοῦ ὑπολειφθέντος τῇ σῇ Μητροπόλει βιβλίου, ἀντίγραφον δι' ἰδίου αὐτῆς παιδὸς καλογράφου ποιήσασθαι, καὶ τοῖς βουλομένοις ῥᾳδίως ὑπεξελθεῖν, καὶ ἀνάγνωσιν ποιήσασθαι πρόχειρον. Καίπερ οὖσα ἡ ὑμετέρα θεοφρούρητος πανιερότης πιεζομένη ὑπὸ νέφους διαφόρων μεριμνῶν, ὅπως καταρτίσαι τὰ λογικὰ αὐτῆς ποίμνια δυνηθείη, οὓς μὲν τῇ πνευματικῇ σου διδασκαλίᾳ ἀρδευομένη, οὓς δὲ καὶ εἰς βέλτιον ἀποκαταστῆσαι τῇ τῶν ἠθῶν κοσμιότητι, ὑπὲρ ὧν ἕνεκα οὐκ ἠνέσχου, κατὰ τὸ Κυριακὸν ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ῥητὸν, τεθῆναι τὸν λύχνον ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ἵνα λάμπῃ καὶ δαδουχῇ τὰς ψυχὰς τῶν μετερχομένων ταύτην τὴν ἱερὰν βίβλον, καὶ τοῦτο δαπάνῃ καὶ ἀναλώμασιν οὐκ ὀλίγοις τῆς αὐτῆς πανιερότητος.

Ἐν γὰρ τῇ ἱερᾷ ταύτῃ βίβλῳ, προτροπῇ τε καὶ ἀξιώσει τοῦ ἐν τοῖς παρῳχηκόσιν εὐδαίμοσιν αἰῶσιν ἀναδειχθέντος ἀοιδίμου τε καὶ φιλοχρίστου βασιλέως κυροῦ Ἐμμανουὴλ τοῦ Κομνηνοῦ, καὶ συνοδικῇ ἀποφάσει, ὁ ἁγιώτατος τῶν Θεουπολιτῶν πρόεδρος Κ.Κ. Θεόδωρος ὁ Βαλσαμὼν, ὡς ἄλλος ὑπόπτερος ἀετὸς, πάντας τοὺς κατὰ πάροδον ἱερούς τε καὶ θείους κανόνας ἐκτεθειμένους τῶν τε πανσέπτων Ἀποστόλων, καὶ πνευματεμφόρων διδασκάλων, τοὺς παρὰ τῶν ἁγίων ἑπτὰ οἰκουμενικῶν συνόδων, καὶ τῶν κατὰ μέρος τοπικῶν Κανόνας, καθ' ἕνα ἕκαστον, συνῳδὰ τῷ Ἰωάννῃ Ζωναρᾷ, ἀνδρὶ ἐλλογίμῳ, καὶ πρωτοασηκρήτῃ τῆς εὐαγοῦς βασιλίδος τῶν πόλεων διεξῆλθεν, ἐκδοὺς τῇ τοιαύτῃ ἑρμηνείᾳ. Ἔμπης ἕτερον τῶν σῶν πλεονεκτημάτων τῇ λήθῃ παραδραμεῖν μὴ ἀνεχόμενος, διεξέρχομαι. Ἀφ' οὗ τούτου τοῦ ἀποστολικοῦ θρόνου ἐγκρατὴς διεγένου, οὐδενὸς ἧψω πράγματος, ἀλλὰ πάσῃ σπουδῇ καὶ ἐπιμελείᾳ τὴν τῶν Ἑλληνικῶν μαθημάτων σχολὴν τῇ σῇ ἐπαρχίᾳ ἠνέωξας, ὑφ' ἧς οἱ πλείονες τῶν ἐκ τοῦ ποιμνίου σου παίδων τῇ ἐπιδόσει τῶν Ἑλληνικῶν μαθημάτων ἐφωτίσθησαν τε καὶ ἐπὶ τὸ βέλτιον καὶ κόσμιον τῶν ἠθῶν μετηνέχθησαν, ἀφ' ὧν εἷς ὑπάρχει καὶ ὁ ταύτην τὴν βίβλον καλῶς ἀντιγραψάμενος. Ὅθεν

δικα τοῦτον ἐπεσκέφθη, κατὰ τὴν ἐν τῇ Ἀνατολῇ ἐπιστημονικὴν περιοδείαν του, ὁ κλεινὸς τῆς Γερμανίας Νομοδιδάσκαλος Κύριος Ζαχαρίας, εἰς ὃν ἡ ἐπιστήμη τοῦ δικαίου ἐν γένει, καὶ ἡ Ἑλλὰς ἰδίως, πλείστην ὀφείλουσιν εὐγνωμοσύνην, διὰ τὰς περὶ τὸ Βυζαντινὸν δίκαιον ἀτρύτους αὐτοῦ ἐρεύνας, καὶ πλείστου λόγου ἀξίας ἀνακαλύψεις (1). Ὅτι δὲ ὁ Κώδιξ οὗτος εἶναι τοῦ ἔτους 1311, βεβαιοῦται ὑπὸ τοῦ Κ. Μορτρελίου, ἐν τῷ περὶ τοῦ Βυζαντινοῦ δικαίου ἀξιολόγῳ αὐτοῦ συγγράμματι (2).

Μετὰ τὴν προμνησθεῖσαν προσφωνητικὴν ἐπιστολήν, ἐν ἀρχῇ τοῦ Κώδικος τούτου, εὑρίσκεται ἡ διὰ στίχων πολιτικῶν πρὸς τὸν Οἰκουμενικὸν πατριάρχην Γεώργιον τὸν Ξιφιλίνον προσφώνησις τοῦ Βαλσαμῶνος, ἧς τὴν Λατινικὴν μετάφρασιν ἀναγινώσκομεν ἐν τῇ ἐκδόσει τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος ὑπὸ τοῦ Γεντιανοῦ Ἑρβέτου, τοῦ ἔτους 1620, καὶ ἐν τοῖς Προλεγομένοις τοῦ Βευερηγίου σελ. XII, γενομένην βεβαίως ἀπὸ τοῦ Τιλιανείου κώδικος, ὃν εἶχεν ὑπ' ὄψιν ὁ Ἕρβετος. Τὸ Ἑλληνικὸν κείμενον τῶν στίχων τούτων, οἵτινες, ὡς ἐκ τῶν ἀνωτέρω ἐξάγεται, δὲν εὑρίσκοντο ἐν τοῖς διαφόροις χειρογράφοις, ὧν ἔκαμε χρῆσιν ὁ Βευερήγιος, εὑρίσκει ὁ ἀναγνώστης σελ. 3 τοῦ παρόντος τόμου. Μετὰ ταῦτα, ἕπεται ὁ πίναξ, οὐχὶ ἐντελὴς, τῶν ἐν τῷ χειρογράφῳ περιεχομένων, μεθ' ὃν οἱ σελ. 1—3 δημοσιευόμενοι στίχοι

ἡ παντουργικὴ τε καὶ τελεταρχικὴ τοῦ παναγίου Πνεύματος χάρις ἐπιβραβεύσοι σοι ἀμοιβαίας τὰς δωρεάς τε καὶ χάριτας, ὑπὲρ οὗ ἠγωνίσω ὑπὲρ τῆς ἱερᾶς ταύτης βίβλου, ἐν τῷ παρόντι αἰῶνι, ἐν δὲ τῷ μέλλοντι ἀξιώσοι σε τῆς αἰωνίου τε καὶ ἀληκτου αὐτοῦ βασιλείας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ἀμήν.

ᾳψπ'. Νοεμ.

Ὁ τῶν εἰλικρινεστάτων κατὰ πνεῦμα αὐτῆς υἱῶν ἐλάχιστος Σουμελίτης Χ. Ἰωάννου, ὁ Τραπεζούντιος.

(1) C. E. Zachariæ D. Historiae Juris Græco-Romani delineatio. Ita in Bibliotheca τῆς μονῆς τοῦ ἁγίου Γεωργίου τοῦ Περιστεριώτου prope Trapezuntem est Codex, Photii Nomocanonem et Syntagma cum commentariis Zonarae et Balsamonis continens, jussu metropolitae Trapezuntini ex Codice, qui nunc quoque in bibliotheca metropoleos extat, anno 1774 descriptus. Σελ. 87 σχόλ.

(2) Mortreuil, Histoire du droit Byzantin Τόμ. γ'. σελ. 439. Σημειωτέον ὅτι ὁ K. Mortreuil μνημονεύει αὐτόθι καὶ ἑτέρου χειρογράφου εὑρισκομένου ἐν Τραπεζοῦντι ἐν τῇ Ἱερᾷ Μονῇ τοῦ ἁγίου Γεωργίου, ἀντιγραφέντος, ὡς καὶ τοῦ ἡμετέρου, κατὰ τὸ ἔτος ᾳψοδ', κατὰ διαταγὴν τοῦ τότε Μητροπολίτου Τραπεζοῦντος.

τοῦ Βαλσαμῶνος, περὶ τῆς ἐξηγήσεως αὐτοῦ εἰς τὸν Νομοκάνονα· ἐπέρχεται δὲ, ἄνευ τοῦ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Ἰουςέλλου ἐκδοθέντος προλόγου, ὁ Νομοκάνων μετὰ τῆς τοῦ Βαλσαμῶνος ἐξηγήσεως, καὶ μετ' αὐτὸν αἱ ἐρωτήσεις μοναχῶν τινων περὶ ἐκκλησιαστικῶν ζητημάτων, καὶ αἱ εἰς αὐτὰς ἀπαντήσεις τῆς ἐν Κωνσταντινουπόλει ἁγίας συνόδου, ἐπὶ τοῦ Οἰκουμενικοῦ πατριάρχου Νικολάου.

Ἐντεῦθεν ἄρχεται ἡ συναγωγὴ τῶν κανόνων κατὰ τὴν ἑξῆς τάξιν· Οἱ κανόνες τῶν ἁγίων Ἀποςόλων, οἱ τῆς ἐν Νικαίᾳ, τῆς ἐν Κωνσταντινουπόλει, τῆς ἐν Ἐφέσῳ, τῆς ἐν Χαλκηδόνι, τῆς ἐν τῷ Τρούλλῳ, καὶ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον· εἶτα ἡ ἐπιστολὴ τοῦ πατριάρχου Ταρασίου πρὸς τὸν Πάπαν Ἀδριανόν· μεθ' ἣν οἱ κανόνες τῆς Α'. καὶ Β'. Συνόδου, τῆς ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας, οἱ τῆς ἐν Καρχηδόνι ἐπὶ Κυπριανοῦ, οἱ τῆς ἐν Ἀγκύρᾳ, τῆς ἐν Νεοκαισαρείᾳ, τῆς ἐν Γάγγρᾳ, τῆς ἐν Ἀντιοχείᾳ, τῆς ἐν Λαοδικείᾳ, τῆς ἐν Σαρδικῇ, τῆς ἐν Καρθαγένῃ, μετὰ τῆς πρὸς Βονιφάτιον, τὸν Πάπαν Ῥώμης, ἐπιςολῆς τῆς Συνόδου ταύτης, τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου Κυρίλλου, ἐπισκόπου Ἀλεξανδρείας, πρὸς τὴν ἐν Ἀφρικῇ σύνοδον· ἑτέρας πρὸς τὴν αὐτὴν σύνοδον τοῦ Ἀττικοῦ, πατριάρχου Κωνσταντινουπόλεως· καὶ τῆς πρὸς Κελεςῖνον, τὸν Πάπαν Ῥώμης, Β'. ἐπιςολῆς τῆς ἐν Ἀφρικῇ Συνόδου. Τέλος τὰ πρακτικὰ τῆς ἐπὶ Νεκταρίου ἐν Κωνςαντινουπόλει συνόδου, περὶ Ἀγαπίου καὶ Βαγαδίου, καὶ μετ' αὐτὰ αἱ κανονικαὶ ἐπιστολαὶ μετὰ τῶν κανόνων τῶν ἁγίων Πατέρων. Ἐν τέλει δὲ χρονολογικοί τινες πίνακες ἀπὸ κτίσεως κόσμου ἕως τῆς βασιλείας τοῦ Αὐτοκράτορος Λέοντος· κατάλογος τῶν ἐν Βυζαντίῳ, ἐν Ἀλεξανδρείᾳ, ἐν Ἀντιοχείᾳ, ἐν Ἱερουσαλὴμ καὶ ἐν Ῥώμῃ ἐπισκοπησάντων· ὡσαύτως δὲ καὶ τῶν ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου ἕως Μιχαὴλ Κομνηνοῦ τοῦ Παλαιολόγου Αὐτοκρατόρων τῆς Κωνσταντινουπόλεως εἶτα κατάλογος τῶν ἀπὸ Ἀαρὼν ἕως τῆς ἁλώσεως τῆς Ἱερουσαλὴμ ἀρχιερέων τε καὶ βασιλέων τοῦ Ἰσραήλ· καὶ μετὰ ταῦτα, τῶν Αὐτοκρατόρων τῆς Ῥώμης μέχρι τοῦ Κώνσταντος. Ἐπὶ τέλους δὲ, ἡ κατὰ τὴν ἱεραρχικὴν τάξιν ἀπαρίθμησις τῶν εἰς τὸν πατριαρχικὸν θρόνον τῆς Κωνσταντινουπόλεως ὑποκειμένων μητροπόλεων, ἀρχιεπισκοπῶν καὶ ἐπισκοπῶν.

Καθόσον δ' ἀφορᾷ τὴν ἀκρίβειαν τοῦ ἡμετέρου Κώδικος, παρεκτὸς ὀλίγων μεταθέσεων, αἵτινες ἀπαντῶνται εἰς τὰ πρῶτα μέρη τοῦ Νομοκάνονος, σύγχυσις ἥτις φαίνεται κοινὴ εἰς τὰ πλεῖστα χειρόγραφα, κατὰ τὴν μαρτυρίαν καὶ αὐτῶν τῶν ἐκδοτῶν τῆς καθ' Ἔρβετον ἐξηγήσεως τοῦ Βαλσαμῶνος, ἡ ἐπιμελὴς παραβολὴ αὐτοῦ πρὸς τὰς ὑφισαμένας ἐκδόσεις τοῦ Συντάγματος καὶ τῶν ἐξηγήσεων τοῦ Ζωναρᾶ καὶ τοῦ Βαλσαμῶνος μᾶς ἔπεισε τάχιστα, ὅτι, ὡς πρός τε τὴν ὀρθότητα τῆς γραφῆς, καὶ ὡς πρὸς τὸ τέλειον τῶν κειμένων, ὁ Τραπεζούντιος Κώδιξ ὑπερέχει κατὰ πολὺ ἁπάντων τῶν Ἑλληνικῶν χειρογράφων, ὅσων ἔκαμον χρῆσιν ὅ,τε Βοέλλος καὶ Ἰουστέλλος, εἰς τὴν ἔκδοσιν τοῦ Νομοκάνονος, οἱ ἐκδόται τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος καθ' Ἔρβετον, καὶ τῆς τοῦ Ζωναρᾶ κατὰ Κουϊντῖνον, καὶ τέλος αὐτὸς ὁ Βευερήγιος εἰς τὴν ἔκδοσιν τοῦ Συνοδικοῦ. Τρανωτάτη τούτου ἀπόδειξις εἶναι, ὅτι, κατὰ τὴν ἔκδοσιν τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος, ἐνίοτε δὲ καὶ τῆς τοῦ Ζωναρᾶ, ἡ Λατινικὴ μετάφρασις περιέχει περιόδους ὁλοκλήρους μὴ ἀντιστοιχούσας πρὸς τὸ Ἑλληνικὸν κείμενον, ὅπερ ἐκ πρώτης ἀναγνώσεως ἀναφαίνεται ἐλλιπές. Τοῦτο ὁμολογοῦσιν εἰλικρινῶς αὐτοὶ οἱ ἐκδόται, ὡς εἴδομεν, δυσανασχετοῦντες διότι δὲν ηὐτύχησαν νὰ εὕρωσι Κώδικα ἀκριβέστερον, οἷος ἦτον ὁ Κώδιξ οὗ ἔκαμον χρῆσιν ὁ Ἀγυλαῖος ἀφ' ἑνὸς, καὶ ὁ Ἔρβετος ἀφ' ἑτέρου, ὅτε κατὰ πρῶτον μετεφράσθη παρ' αὐτῶν ὁ Νομοκάνων καὶ ἡ ἑρμηνεία τοῦ Βαλσαμῶνος. Μολονότι δὲ οἱ Βοδληϊάνειοι Κώδικες καὶ ὁ Ἀμερβάχειος, ὧν ἔκαμε χρῆσιν ὁ Βευερήγιος, ἦσαν προφανῶς πληρέστεροι τῶν, ἀφ' ὧν ἐγένοντο αἱ προηγούμεναι ἐκδόσεις τοῦ Βαλσαμῶνος καὶ τοῦ Ζωναρᾶ, οὐχ ἧττον ὅμως τὸ κατ' αὐτοὺς ἐν τῷ Συνοδικῷ Ἑλληνικὸν κείμενον περιέχει, ἐκτὸς πολλῶν προσθηκῶν, οὐκ ὀλίγας ἄλλοθι ἐλλείψεις, παραβαλλόμενον πρὸς τὰς προηγουμένας Λατινικὰς μεταφράσεις τοῦ Ἐρβέτου καὶ τοῦ Κουϊντίνου. Αἱ ἐλλείψεις αὗται δὲν φαίνονται κατὰ πρώτην ἔποψιν εἰς τὸν ἀναγινώσκοντα τὸ Συνοδικὸν, χωρὶς νὰ τὸ παραβάλῃ μὲ τὰς προηγουμένας Λατινικὰς μεταφράσεις, διὰ τὸν ἁπλούστατον λόγον, ὅτι ὁ Βευερήγιος, θεωρήσας βεβαίως τὰ χειρόγραφα, ἃ εἶχεν ὑπ' ὄψιν, ὡς ἀκριβῆ, καὶ ἐπεξεργασθεὶς ἐξ ὑπαρχῆς τὰς προϋφεσώσας Λατι-

νικὰς μεταφράσεις, κατέστησε τὴν παρ' αὐτοῦ ἐκδοθεῖσαν σύμφωνον μὲ τὸ ἐν τῷ Συνοδικῷ Ἑλληνικὸν κείμενον, ἂν καὶ ἐνίοτε καὶ αὐτὸς βιάζεται νὰ ὑποδείξῃ ἐλλείψεις τινὰς τῶν ὑπ' ὄψιν αὐτοῦ χειρογράφων, ἃς δὲν τῷ ἐστάθη δυνατὸν ν' ἀναπληρώσῃ.

Ἐκτὸς τῆς περιστάσεως ταύτης, ἥτις ἀσφαλίζει τὴν ὑπεροχὴν τοῦ Τραπεζουτίου Κώδικος ἐφ' ὅλων τῶν μέχρι τοῦδε γνωστῶν ἡμῖν χειρογράφων τοῦ Συντάγματος τοῦ Φωτίου, εὑρίσκομεν ἐν αὐτῷ καὶ τεμάχια ὁλόκληρα ἑρμηνειῶν εἴτε τοῦ Ζωναρᾶ, εἴτε τοῦ Βαλσαμῶνος, ἐντελῶς μέχρι τοῦδε ἀνέκδοτα, ἅπερ οὔτε εἰς τὴν Λατινικὴν μετάφρασιν τοῦ Ἀγυλαίου, τοῦ Ἐρβέτου, ἢ τοῦ Κουϊντίνου ἀπαντῶνται.

Τοιοῦτον κεκτημένοι Κώδικα, ἐνομίσαμεν ἱερὸν ἡμῶν πρὸς τὴν ἐπιστήμην καὶ τοὺς ὀπαδοὺς αὐτῆς καθῆκον, νὰ μὴ κρύψωμεν τῷ ὄντι *τὸν λύχνον ὑπὸ τὸν μόδιον*, ἀλλὰ νὰ τὸν θέσωμεν *ἐπὶ τὴν λυχνίαν* τοῦ τύπου, καὶ, ἀναδεχθέντες τὸ πολύμοχθον τῆς προκειμένης ἐκδόσεως ἔργον, τοῦτο ἐπράξαμεν.

Δὲν περιωρίσθημεν μολαταῦτα εἰς τὴν ἔκδοσιν τοῦ Συντάγματος κατὰ τὸν Τραπεζούντιον Κώδικα, ἀλλὰ θεωρήσαντες συντελεστικώτατον εἰς τὴν σπουδὴν τοῦ ἐκκλησιαστικοῦ δικαίου, νὰ ἔχῃ ὁ ἀναγνώστης συγχρόνως ὑπ' ὄψιν ὅ,τι οἱ ἀρχαῖοι Ἐξηγηταὶ συνέγραψαν περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ζητήματος, ἠκολουθήσαμεν τὸ σύστημα τοῦ Βευερηγίου, κατατάξαντες ὑφ' ἕκαστον κανόνα, ἐκτὸς τῶν ἐξηγήσεων τοῦ Βαλσαμῶνος καὶ τοῦ Ζωναρᾶ, καὶ τὸ ἀντιστοιχοῦν μέρος τῆς Ἐπιτομῆς τῶν κανόνων μετὰ τῶν σχολίων τοῦ Ἀριστηνοῦ, ἂν καὶ ἐν τῷ Τραπεζουντίῳ Κώδικι δὲν περιέχωνται.

Μολονότι δὲ ἐπροσπαθήσαμεν πάντοτε νὰ θέσωμεν ἐν τῷ κειμένῳ τὴν ἀρίστην γραφὴν, ἐθεωρήσαμεν χρέος ἱερὸν νὰ ὑποβάλωμεν τὴν ἐκλογὴν ἡμῶν εἰς τὴν κρίσιν τῶν ἐπιστημόνων, σημειώσαντες πάντοτε ἀκριβῶς τὴν πηγὴν ὅθεν ἠρύσθημεν τὴν προτιμηθεῖσαν γραφὴν, ὡς καὶ τὰς ἀλλοίας γραφὰς τῶν λοιπῶν ἐκδόσεων, ἢ τοῦ χειρογράφου, ὁσάκις αἱ τοῦ τελευταίου δὲν ἐπροτιμήθησαν.

Καθόσον δ' ἀφορᾷ τὸ κείμενον τῶν κανόνων, ἐπροσπαθήσαμεν ὅσον ἔνεστι, νὰ μὴ ἀπομακρυνθῶμεν τῆς γραφῆς τοῦ παρὰ τῇ ἡμετέρᾳ ἐκκλησίᾳ ἐν χρήσει *Πηδαλίου*. Ἀλλ' ἐπειδὴ καὶ ἐν

αὐτῷ παρεισέφρυσάν τινα λάθη, ἀνεζητήσαμεν ἐν γένει τὴν ἀνόρθωσιν αὐτῶν ἐν τῷ καὶ κατὰ τὰ λοιπὰ τοσοῦτον ἀκριβεῖ Τραπεζουντίῳ Κώδικι, καὶ ἐν τῇ ἐκδόσει τῶν ἱερῶν κανόνων τοῦ Βρυνσίου, ἀκολουθήσαντος πάντοτε σχεδὸν τὸν Μάνσην, καὶ συμπίπτοντος ὡς ἐπιτοπολὺ μετὰ τοῦ ἡμετέρου χειρογράφου.

Δὲν ἐκρίναμεν δὲ ἀσυντελὲς νὰ παραθέσωμεν καὶ τὰ ἐκ τῶν λοιπῶν ἐκδόσεων διάφορα ἀναγνώσματα, ὥστε ὁ κάτοχος τοῦ ἡμετέρου βιβλίου θέλει γνωρίζει, διὰ τῶν ὑποσημειώσεων, ἁπασῶν σχεδὸν τῶν ὑφισταμένων ἐκδόσεων τὰς διττογραφίας, διακρινομένας διὰ τῶν ἐφεξῆς σημείων·

Π. — Πηδάλιον.

Χ. Τρ. — Χειρόγραφος Κώδιξ τῆς Τραπεζοῦντος.

Ἐ. — Ἔκδοσις τῆς ἑρμηνείας τοῦ Βαλσαμῶνος καθ' Ἕρβετον.

Κ. — Ἔκδοσις τῆς ἑρμηνείας τοῦ Ζωναρᾶ κατὰ Κουϊντῖνον.

Ι. — Ἔκδοσις τοῦ Νομοκάνονος ὑπὸ Ἰουσέλλου κατὰ τὸ 1615 ἐν Παρισίοις.

Β. — ἢ Ἰουστ. — Βιβλιοθήκη τοῦ ἀρχαίου κανονικοῦ δικαίου ὑπὸ Βοέλλου καὶ Ἰουστέλλου, τὸ 1661 ἐν Παρισίοις.

Βευερ. — Συνοδικὸν τοῦ Βευερηγίου.

Βρ. — Ἔκδοσις τῶν Κανόνων ὑπὸ Βρυνσίου, τὸ 1839 ἐν Βερολίνῳ.

Μ. — Ἔκδοσις τῶν Κανόνων ὑπὸ Μάνσῃ.

Μ. ἐν περισελ. — Διττογραφίαι σημειούμεναι ἐν τῷ περισελίδῳ τοῦ Μάνσῃ.

Βίν. — Συλλογὴ τῶν πρακτικῶν τῶν συνόδων ὑπὸ Βινίου.

Συν. Συλλ. — Συνοδικὴ Συλλογὴ ὑπὸ Σ. Μήλια, Βενετίᾳ 1761.

Σ. Ῥ. — Ἔκδοσις τοῦ Νομοκάνονος μετὰ τῶν κανόνων ἐν τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ τοῦ Κ. Α. Μαΐου, ἐν Ῥώμῃ 1842.

Ἀρδ. — Συλλογὴ τῶν κανόνων ὑπὸ Ἀρδουίνου.

Λ. ἢ Λεϋγκλ. — Λεϋγκλαβίου Συλλογὴ τοῦ Ἑλληνο-Ῥωμαϊκοῦ δικαίου.

Ν. — Νεαρὰ ἢ Νεαραί.

Βασιλ. — Βασιλικά, (ἔκδοσις τῆς Λειψίας ὑπὸ Ἄϊμβαχ).

* — λέξις, ἢ φράσις ἐλλείπουσα ἐν ταῖς λοιπαῖς ἐκδόσεσι, καὶ ἐξαχθεῖσα ἐκ τοῦ Τραπεζουντίου χειρογράφου

Μετὰ τὸν Νομοκάνονα τοῦ Φωτίου, ἐξεδώκαμεν ἐν τῷ τέλει τοῦ ά. τόμου, ἐν εἴδει εἰσαγωγῆς εἰς τὴν μελέτην τῶν ἐν τοῖς ἑπομένοις τόμοις συνοδικῶν διατάξεων, πραγματείας τινὰς περὶ τῶν Οἰκουμενικῶν συνόδων, κατὰ τὴν χρονολογικὴν αὐτῶν τάξιν. Καὶ πρῶτον, τὸν περὶ αἱρέσεων καὶ συνόδων πρὸς Ἄνθιμον τὸν θεοφιλέστατον διάκονον τῆς Μεγάλης Ἐκκλησίας λόγον τοῦ ἁγίου Γερμανοῦ, τοῦ κατὰ τὰ ἔτη 715—730 ἐν Κωνσταντινουπόλει πατριαρχεύσαντος. Καὶ ταύτης δὲ τῆς πραγματείας ἡ εὕρεσις ὀφείλεται εἰς τὰς ἐνδελεχεῖς ἐρεύνας τοῦ ἐφόρου τῆς ἐν Ῥώμῃ Οὐατικανῆς βιβλιοθήκης Κυρίου Α. Μαΐου. Σημειωτέον δὲ μετὰ τοῦ Κυρίου Α. Μαΐου, ὅτι αὕτη καὶ μόνη εἶναι ἡ ἀληθὴς τοῦ ἁγίου Γερμανοῦ περὶ συνόδων πραγματεία, καὶ οὐχὶ ἡ ἐν τῇ ἐκδόσει τοῦ Ἰουστέλλου τῶν 1615, καὶ ἐν τῇ βιβλιοθήκῃ τοῦ Κανονικοῦ δικαίου τοῦ Βοέλλου καὶ Ἰουστέλλου τῶν 1661, κατόπιν τοῦ Νομοκάνονος ἀνωνύμως ἐκδοθεῖσα, ὡς κακῶς ὁ Στέφανος Μοΐνιος (1) ὑπέλαβε, καὶ μετ' αὐτὸν ὁ Γαλλάνδιος (2), καὶ ὁ Σχέλιος (3) ἐπανέλαβον.

Μετὰ τὸν λόγον τοῦ ἁγίου Γερμανοῦ, ἕπεται ἡ περὶ τῶν ἓξ οἰκουμενικῶν συνόδων ἤδη μνησθεῖσα ἀνώνυμος πραγματεία· εἶτα ἡ ἐν τῇ πρὸς Μιχαῆλον, τὸν ἄρχοντα Βουλγαρίας, ἐπιστολῇ τοῦ Πατριάρχου Φωτίου περιεχομένη· καὶ τέλος ἡ τοῦ Νείλου, μητροπολίτου Ῥόδου κατὰ τὸ ἔτος 1360, περὶ τῶν ἐννέα οἰκουμενικῶν (ὡς ὁ Νεῖλος τὰς ὀνομάζει) συνόδων, ὅπως αὗται εὑρηνται ἐκδεδομέναι ἐν τῇ βιβλιοθήκῃ τοῦ Βοέλλου καὶ Ἰουστέλλου.

Καθόσον ἀφορᾷ τὸ μέρος τῆς ἐκδόσεως ἡμῶν, τὸ ἀφορῶν τὴν ἐξήγησιν τῶν ἱερῶν Κανόνων, δὲν ἠκολουθήσαμεν τὴν ὑπὸ τοῦ Βευερηγίου γενομένην μεταβολὴν τῆς τάξεως τῶν Ἐξηγητῶν, ἀλλ' ἐπροτάξαμεν πάντοτε τῆς ἐξηγήσεως τοῦ Βαλσαμῶνος τὴν τοῦ Ζωναρᾶ, καὶ ὡς ἀρχαιοτέραν ἐκείνης, καὶ διὰ τοῦτο πολλάκις ὑπὸ τοῦ Βαλσαμῶνος καὶ αὐτολεξεὶ ἐπαναλαμβανομένην,

---

(1) S. Le Moyne, Varia Sacra, Leida 1685, εἰς 4ον Τόμ. 1.

(2) Τόμ. 12 τῆς Βιβλιοθήκης αὐτοῦ.

(3) Istoria della letteratura Greca profana, di F. Shoell, dal dotor Emilio Tipaldo, Venezia, 1829, Τόμ. 5, μέρος 3, σελ. 38.

καὶ διότι τοιαύτην τάξιν ἀκολουθοῦσιν ἅπαντα τὰ χειρόγραφα, ὡς καὶ ὁ καὶ καθ' ὅλας τὰς λοιπὰς ἐπόψεις τοσοῦτον ἀκριβὴς Τραπεζούντιος Κώδιξ.

Ἐν τῷ τέλει παντὸς τόμου ἐτέθη πίναξ ἀναλυτικὸς ἁπάντων τῶν ἐν ἑκάστῳ περιεχομένων ἱερῶν Κανόνων, κατὰ τὴν ἀριθμητικὴν αὐτῶν σειράν· τοῦτον δὲ ἐρανίσθημεν μετ' ὀλιγίστων τροποποιήσεων ἐκ τοῦ *Κανονικοῦ* Χριστοφόρου τοῦ μοναχοῦ, τοῦ κατὰ τὸ 1800 ἔτος ἐν τῷ τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως τυπογραφείῳ ἐκδοθέντος.

Ὁ δεύτερος τόμος περιέχει τοὺς Κανόνας τῶν ἑπτὰ Οἰκουμενικῶν Συνόδων, τοὺς τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων Α΄. καὶ Β΄, καὶ τοὺς τῆς ἐν τῷ τῆς ἁγίας Σοφίας, ἥτις ἐπίσης θεωρεῖται ὡς Οἰκουμενική.

Ἐν τῷ τρίτῳ τόμῳ περιλαμβάνονται ἅπασαι αἱ τοπικαὶ Σύνοδοι· ἐν δὲ τῷ τετάρτῳ οἱ Κανόνες τῶν κατὰ μέρος ἁγίων Πατέρων, μετὰ τῶν κανονικῶν αὐτῶν ἐπιστολῶν.

Μολονότι ὁ Τραπεζούντιος Κώδιξ δὲν περιέχει τὸ κατὰ στοιχεῖον Σύνταγμα τοῦ Βλάσταρη, ἡ καθημερινὴ αὐτοῦ παρὰ τῇ ἡμετέρᾳ ἐκκλησίᾳ χρῆσις μᾶς ἔπεισε νὰ τὸ περιλάβωμεν ἐντὸς τοῦ πέμπτου τόμου τῆς παρούσης ἐκδόσεως. Τέλος θέλομεν ἐκδώσει ἐν τῷ ἕκτῳ τόμῳ διαφόρους αὐτοκρατορικὰς καὶ πατριαρχικὰς διατάξεις, τὴν ἐκκλησιαστικὴν κατάστασιν ἀφορώσας, εἴτε ἐκ τῶν ἐν τῇ Συλλογῇ τοῦ Λεϋγκλαυίου, εἴτε ἐν ἄλλαις τοιαύτης φύσεως Συλλογαῖς σωζομένων. Γενικὸς δὲ ἀναλυτικὸς, καὶ κατὰ ἀλφαβητικὴν τάξιν συντεταγμένος ἔλεγχος ἁπάντων τῶν ἐν τῇ παρούσῃ ἐκδόσει διαλαμβανομένων, θέλει καθιστᾷ τὴν χρῆσιν αὐτῆς προχειροτάτην, καὶ διευκολύνει τὴν ἀνεύρεσιν καὶ λύσιν ὁποιουδήποτε κανονικοῦ ζητήματος.

Πρὶν θέσωμεν πέρας εἰς τὸν περὶ τῆς παρούσης ἐκδόσεως πρόλογον, ἱερὸν ἡμῶν καθῆκον θεωροῦμεν, ν' ἀποδώσωμεν ἐνταῦθα δημοσίως τὸν φόρον τῆς ἡμετέρας εὐγνωμοσύνης πρὸς τὸν κλεινὸν καὶ ἀρχαῖον τοῦ γένους διδάσκαλον, τὸν τοῦ Οἰκουμενικοῦ πατριαρχικοῦ θρόνου Μέγαν Οἰκονόμον καὶ Ἔξαρχον, Κύριον Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων, ἕνεκα τῶν σοφῶν καὶ εἰς τὴν

ἀκρίβειαν τῆς ἐκδόσεως ταύτης συντελεστικωτάτων διορθώσεων καὶ παρατηρήσεων, δι' ὧν ὡδηγήθημεν πολλάκις εἰς τὴν λύσιν τῶν παρουσιασθεισῶν ἡμῖν ἀποριῶν, καὶ εἰς τὴν ἀνόρθωσιν ἐλλιπῶν ἢ ἐφθαρμένων χωρίων, ὅτε τὰ ἐνόντα λοιπὰ βοηθήματα δὲν ἐξήρκουν.

Ἀλλὰ δὲν ὀφείλομεν νὰ παρασιωπήσωμεν οὐδὲ τὴν ὑπὸ τῆς Μεγάλης Ἐκκλησίας γενομένην μητρικὴν ὄντως ἀποδοχὴν καὶ ἐπιδοκιμασίαν τοῦ ἡμετέρου ἔργου· οὐδὲ τὴν γενναίαν καὶ αὐτόχρημα ἡγεμονικὴν προστασίαν, τῆς ὁποίας ἡ Αὐτοῦ Ὑψηλότης, ὁ καὶ τὴν καταγωγὴν, καὶ τὴν καρδίαν Ἕλλην, Ἡγεμὼν τῆς Μολδαυΐας Κύριος Γρηγόριος ὁ Γκίκας, ἠξίωσε τὴν παροῦσαν ἔκδοσιν, εὑρὼν αὐτὴν σύμφωνον μὲ τὰ χριστιανικώτατα καὶ φιλόμουσα αὐτοῦ αἰσθήματα. Ὁμοίαν εὐνοϊκωτάτην καὶ ἡγεμονικωτάτην ἀποδοχὴν εὗρεν ἡ ἐπιχείρησις ἡμῶν καὶ παρὰ τῷ Ὑψηλοτάτῳ καὶ μουσοσεφεῖ Ἡγεμόνι τῆς Βλαχίας, Κυρίῳ Βάρβῳ Δημητρίου Στιρβέῃ, ὅστις ἐν μέσῳ τῶν ὑψηλῶν Αὐτοῦ καὶ ἡγεμονικῶν ἔργων, δὲν εὑρίσκει εὐαρεστοτέραν ἀναψυχὴν, εἰμὴ ἐν τῇ προστασίᾳ τῶν Μουσῶν. Εἴθε καὶ οἱ λοιποὶ τῶν Ἑλληνικῶν Μουσῶν, καὶ ἰδίως τῆς Ἐκκλησιαστικῆς παιδείας φίλοι, ὑπολογίζοντες ἀφ' ἑνὸς μὲν τὰ ἐκ τῆς προκειμένης ἐκδόσεως προσδοκώμενα διὰ τὸ ἔθνος καὶ τὴν ἐπιστήμην πλεονεκτήματα, ἀφ' ἑτέρου δὲ τὰς δυσχερείας, τὴν ἐνδελεχῆ ἐργασίαν, καὶ τὴν δαπάνην, ὅσα ἡ ἔκτασις αὐτῆς προαπαιτεῖ, νὰ ἐννοήσωσιν ὅτι ἡ γενναία αὐτῶν σύμπραξις καὶ συνδρομὴ εἶναι στοιχεῖα ἀναπόφευκτα πρὸς τὴν αἰσίαν τῆς ἐργώδους ἡμῶν ἀλλὰ κοινωφελεστάτης ἐπιχειρήσεως ἀποπεράτωσιν.

Ἐν Ἀθήναις, 6 Αὐγούστου 1852.

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλεψίτυπον, καὶ καταδιώκεται κατὰ τὸν νόμον.

Γ. Π. Ψυχάρης

ΕΠΗ

ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΘΕΟΥΠΟΛΕΩΣ, ΗΤΟΙ ΜΕΓΑΛΗΣ ΑΝΤΙΟΧΕΙΑΣ, ΚΑΙ ΠΑΣΗΣ ΑΝΑΤΟΛΗΣ,

ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΒΑΛΣΑΜΩΝΟΣ,

ΠΕΡΙ ΤΗΣ ΑΥΤΟΥ ΑΜΦΙ ΤΟΝ ΝΟΜΟΚΑΝΟΝΑ ΕΞΗΓΗΣΕΩΣ.

BIBLIOTHECA APOSTOLICA VATICANA

Ἀστερες ὡς πολύφωτοι ἀφεγγοῦς ὄμματα νυκτὸς,
Κανόνες ἐκγεγάασιν ἐρικυδέων Κηρύκων,
Θεσπεσίων Πατέρων τε περικλυτέα θεσπίσματα,
Ἀλλ' οὕτω τελέθοντες ἀπλανεῖς οὐρανοβάται,
Παύροις ἐν πεδίοισιν ἰλαδὸν ἔτελλον φῶτα.
Τοὶ γὰρ ἀντολίηθεν ἑωσφόροι ἀμφανέντες,
Κεῖσε πανημέριοι λάμπον, καὶ κατὰ νύκτα.
Ἄλλοι δ' ἑσπερίοισιν ἐνὶ μερόπεσσιν φύντες,
Τάων κατεσάωσαν (1) ἁμαρτίην ἐρεβεννήν.
Μῆνις γὰρ κρυόεσσα διοτρεφέων βασιλήων,
Καὶ τοὺς γ' εὐδρομέοντας ἐπὶ τόπον ἴσχανε τυτθὸν,
Ὠκεανὸς δ' οὓς γείνατο παγχθονίης συνοδικῆς,
Τούτους ἐν μεμβράναις, ὥς γ' ἐν σήμασι θνητοῦ,
Κατὰ Μωσῆν ἰσόθεον, Φαραοκτόνον ἐσθλὸν,
Μήτηρ κάτθετο κυδρὴ, ὀψιγόνοις μέγ' ὄνειαρ·
Αὐτὰρ οὐδὲ μαχεύμενοι ἔσχον ἑτάρων ἰσχύν·
Ἴσχανε γὰρ σύμπνοιαν ἀφιλτέρα διάστασις.
Ἄναξ εὐρυμέδων δὲ κραταιὸς, πάνσοφος Λέων,
Καὶ Φώτιος τ' ἀγακλυτὸς πατριάρχης,
Τὴν δ' οὐρανίην τετραγωνίσαντες σφαῖραν,
Τέτταρα κατὰ κλίματα, ἠδὲ μέτρα πάσης γῆς,

(1) Ἴσ. οὐ κατέπαυσαν.

Κανόσιν, ὡς ἀστράσιν ἀπλανέσιν, ἠδὲ πλανήταις,
Πρὸς δὲ νόμοις, ἠπείροιο λευκαίνουσι κελεύθους,
Θεῖα (1) κατηστέρισαν σοφίῃ τε φραδμοσύνῃ τε.
Ἑπτάπολον σφαῖραν γὰρ ἠΰθ' ὁρίζοντ' ἀγλαὸν (2),
Ἑπτάδα τ' ἀθέσφατον ἀειστρεφέων πλανητῶν,
Ἑπτὰ παγχθονίων συνόδων κανόνας ὁλολαμπεῖς,
Ἐνθάδε προΐαψαν ἀειφανῶς ἀνατέλλειν.
Ὡς δύο καὶ δέκα δὲ ψυχοτροφέας αὖ ἀστέρας (3),
Ζώδια τοὺς καλέουσιν ἀμύμονες οὐρανοφάνται,
Δώδεκα Κηρύκων ζαθέων κανόνας, ἰδ' ἐφετμὰς,
Ἀάμπειν ἐν μερόπεσσι πλανήταις τετάχατον.
Ἴδῃς, ἢν ἐθέλῃς, καὶ πληϊάδων ἑπτάδα,
Αὐγὰς ὡς προχέουσαν ἀειλαμπεῖς ἐνὶ κόσμῳ,
Θεῖα θεοπρόπια ἑπτὰ συνόδων ἁγίων,
Ἃς τοπικὰς φάσκουσιν ἀληθεῖς ἱεροφάνται.
Ἄθρει καὶ πόλον αὖτε νότιον, νειλοτροφῆα,
Κύδιμον Ἀθανάσιον, ἐρίηρόν τε Κύριλλον.
Ἀστέρας Ἀλεξανδρείης, ὄμματα Λιβύης.
Καὶ πόλον ἴδε βόρειον, Καππαδοκέων πατέρα,
Βασίλειον πάμμεγαν, ἄτρυτον ἀσεβοφόντην.
Ναὶ μὴν καὶ θρασυκάρδιον Ὠρίωνα, κρατερὸν,
Ἰωάννην Χρυσόστομον, Ἀντιοχέων κρηπῖδα,
Ἄρτεμιν ὡς, σφάττοντα βασίλειαν Εὐδοξίαν (4),
Οὕνεκα χήρας οἰνοτόκον λωβήσατο γαῖαν.
Ἔστιν καὶ λύρα τετράχορδος ταῖς δ' ἐνὶ μολπαῖς,
Θείου πνεύματος αὔρῃ πληττομένη πλησμίως,
Ἥτις ἐσσομένοισι μετ' ἀνθρώποισιν ἔσται,
Ἀοιδὰς ἰάχουσα ἀληθοῦς σωτηρίης.
Ἐστὸν δ' οὗτοι κυδάλιμοι Γρηγόριοι δύο,
Νυσσαέων ὁ πρόεδρος, καὶ ὃς ἀνὰ πᾶσαν γῆν
Λάμψε θεηγορίῃ, διδάγμασί τε Θεοῖο.
Ἄραρεν ἠδὲ λύρας τετραχόρδοιο φθόγγῳ

---

(1) Χειρόγραφον Τραπεζοῦντος — Ῥεῖα, Ἰουστέλλου καὶ Βοέλλου, Βιβλιοθήκη τοῦ ἀρχαίου κανονικοῦ δικαίου. — (2) Ἴσ. ὁρίζοντ' ηὖτ' ἐπ' ἀγλαόν. — (3) Ἴσ. ἀστέρας αὖτις ψυχοτροφῆας. — (4) Χ. Τρ. — Ἀδοξίην Β.

Καὶ Πέτρος, Ἀλεξάνδροιο ὃς λάχε πτολίεθρον.
Πρὸς δ' αὖ Διονύσιος, Ἀχαιῶν ὄρχαμος ἱρός.
Τοίην οὐρανίην κατηστέρισαν πυκτίδα,
Ἄναξ, ἠδὲ πατριάρχης, Ῥώμης συνοχῆες.
Ὅσσοι γοῦν ὁράατε ἀπλανῶς διὰ ταύτης
Κανονικὰ θεσπίσματα, πιστῶν δεύτερα φῶτα,
Καὶ νόμιμ' ἐκσφαιρισθέντα τῆς συστοιχίας,
Λιτάζεσθε Θεοῖο τρισυπόστατον φύσιν,
Ἣ πόλον ἐστερέωσεν, ἰδ' ἄστρων ἄπλετα φῦλα,
Εὐσεβέσιν μὲν κείνοις, ἀρχιερεῖ, βασιλεῖ τε,
Οἳ ταῖς δ' ἐν μεμβράναισιν πόλον ἐξετάνυσαν,
Ἡΰτε δέριν, κατὰ Δαβὶδ (1) ἀσματογραφῆα,
Ἀϊδίην πορσύναι οὐρανῶν βασιλείην.
Τῷ δ' αὖ Ἀντιοχείης ταπεινῷ πατριάρχῃ,
Βαλσαμὼν Θεοδώρῳ, ὃς τῶνδ' οὐρανίων,
Σωμάτων τολύπευσεν ἀπειρεσίους δυνάμεις,
Πλανήτων τε νόμων ὑποχθονίην κατάδυσιν,
Πρὶν λάχῃ θρόνον Ἀντιοχείης πάρος κυδρῆς,
Σωτηρίην ψυχῆς, ταύτης γὰρ πέρι θρηνεῖ.

Στίχοι (2) τοῦ Πατριάρχου Ἀντιοχείας Θεοδώρου τοῦ Βαλσαμῶνος, πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην Γεώργιον τὸν Ξιφιλῖνον.

ΤαΣ κανονικὰς εὐσεβεῖς παραδόσεις,
Τρέμων, καθὰ πέλαγος ἀτλαντοφόρον,
Διῆλθον, ὡς χάρυβδιν Ἀσκραῖος ξένος,
Ἢ τὴν Ἐρυθρὰν Ἰσραηλίτης γέρων,
Σῆς δεξιᾶς χάρισιν ἐστηριγμένος,
Ὦ πατριαρχῶν εὐσεβέστατον κλέος.
Ὅθεν καλάμῳ μυστικῆς βακτηρίας,
Διχῇ τὸ δυσπρόσιτον αὐτῶν κουφίσας,

---

(1) Χ. Τρ. — κατὰ δάδ'. Β. — (2) Οἱ στίχοι οὗτοι εὑρηνται ἐν τῷ Χειρ. Τραπεζ.

Εἰς βιβλία γὰρ συνεγραψάμην δύο,
Τῶν κανονικῶν τὰς διδαγματουργίας,
Ζητῶ σε, τὸν λάμποντα ταῖς εὐπραξίαις,
Καὶ πάντας αὐγάζοντα διδασκαλίαις,
Στῦλον γενέσθαι τῆς ὁδοῦ τοῦ βιβλίου,
Αἰγυπτίους μὲν καταπιμπρῶντα τρόπους,
Σωτηρίους δὲ φωταγωγοῦντα τρίβους.
Θεόδωρός σοι Βαλσαμὼν ταῦτα γράφω,
Ὁ πατριάρχης τῆς θεωνυμουμένης
Ἀντιόχου γῆς, ἀλλὰ καὶ πάσης Ἕω.

ΦΩΤΙΟΥ,

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,

ΕΙΣ ΤΟΝ ΝΟΜΟΚΑΝΟΝΑ ΠΡΟΛΟΓΟΣ.

Τα μὲν σώματα καταλλήλως ἐνύλου μεταλαμβάνοντα τροφῆς, ἀκμάζει τε, καὶ θάλλει, μέχρι τοῦ τεταγμένου ταῖς τοιαύταις αὐξήσεσι μέτρου τε καὶ χρόνου. Ἡ δὲ λογικὴ ψυχὴ τῷ συγγενεῖ καταρδομένη τε καὶ πιαινομένη λόγῳ, πνευματικῶς ἐπιδίδωσι· καὶ τοῦ σώματος ἐπὶ γῆς ἀντέχεσθαι δοκοῦσα, τὰ πολλὰ πρὸς ὑψηλοτέρας ἀνάγεται θεωρίας, καὶ τῶν οὐρανίων ἀψίδων ἔνδοθι γίνεται, τὴν ἐκ μέτρου τε καὶ χρόνου μηδαμῶς ὑφισταμένη κώλυσιν· ἄνω τε ταῖς φωταγωγοῖς συνομιλεῖ καὶ συμπολιτεύεται δυνάμεσιν, οὐ τῶν ἐν σκιαῖς, ἀλλὰ τῶν ὄντως ἀγαθῶν ἀπολαύουσα. Ἔπρεπε γὰρ ἀναλόγως ἐνθάδε, τὴν μὲν ἀθάνατον ἀπέραντα, τὸ δὲ θνητὸν ἐπίκηρα παρὰ τοῦ δημιουργοῦ κληρώσασθαι. Διὸ προσήκει τούτοις ἑκάστοτε προσεθίζειν τε καὶ συνδεσμεῖν τὸ τῆς ψυχῆς ἀεικίνητον, καὶ μὴ διδόναι καιρὸν αὐτῇ, τῶν γνησίων ἀφεμένῃ δογμάτων, νόθου τινὸς ἀντιλαμβάνεσθαι· οὕτω γὰρ αὐτῇ λόγοις τε καὶ πράγμασιν ἀγαθοῖς ἐνδιατριβούσῃ, καὶ τὰς καθ' ὕπνον καὶ δι' ὀνειράτων φαντασίας ἐνθέους ἔχειν συμβήσεται. Ταῦτα κατ' ἐμαυτὸν ἐννοῶν, καὶ τὸ πάλαι τινὶ τῶν ἔξω σοφῶν εἰρημένον ἐπὶ τοὺς ἱεροὺς μεταβιβάζων θεσμούς, καὶ πεπεισμένος τούτου; εὕρημα μὲν καὶ δῶρον εἶναι Θεοῦ, δόγμα δὲ φρονίμων τε καὶ θεοφόρων ἀνθρώπων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ παρὰ βούλησιν ἁμαρτημάτων, καὶ πολιτείας εὐσεβοῦς τε καὶ πρὸς ἀτελεύτητον ζωὴν ἀγούσης ἀσφαλῆ κανόνα, προθύμως ἐνεχείρησα τοὺς ὑπὸ τῶν ἐν χρόνοις διαφόροις γεγενημένων ἁγίων δέκα συνόδων ἐπὶ βεβαιώσει τοῦ σωτηρίου δόγματος, καὶ χρηστῇ διδασκαλίᾳ πάντων ἀνθρώπων, ἐκτεθέντας θεοπρεπεῖς κανόνας εἰς ταὐτὸν συναγαγεῖν, ἑκάστης συνόδου τῇ προσηγορίᾳ τοὺς αὐτῆς ἐχο-

μένως ὑποτιθείς· οὐ μὴν ἀλλὰ καὶ τοὺς λεγομένους τῶν ἁγίων Ἀποστόλων· εἰ καί τινες αὐτοὺς ἀμφιβόλους διά τινας αἰτίας ἡγήσαντο. Τὴν δὲ κατὰ τὴν ἐν Λιβύῃ Καρχηδόνα γεγενημένην ἐν χρόνοις Ὀνωρίου, καὶ Ἀρκαδίου, τῶν τῆς εὐσεβοῦς λήξεως, ἱερὰν σύνοδον εὑρηκὼς πολλά τε καὶ πολλὴν ὠφέλειαν εἰσάγειν τῷ βίῳ δυνάμενα διαταξαμένην, (εἰ καί τινα μὲν αὐτῶν πρὸς μόνην τὴν ἐπιχώριον ἀναφέρεται κίνησίν τε καὶ κατάστασιν, τινὰ δὲ πρὸς τὰ κεκανονισμένα κοινῶς τε καὶ ἰδιαζόντως, καὶ τὴν κρατοῦσαν ἐν ταῖς ἄλλαις διοικήσεσιν, ἤγουν ἐπαρχίαις, ἐκκλησιαστικὴν κατάστασιν ἀπεμφαίνει· ὧν ἓν καθέστηκε τὸ παρ᾽ αὐτῶν διορισθὲν, ὥστε τοὺς ὑπὲρ τοὺς ἀναγνώστας ἐν κλήρῳ καταλεγομένους, ἐκ τρόπου παντὸς τῶν πρὸ τῆς τοιαύτης χειροτονίας συζευχθεισῶν αὐτοῖς ἀπέχεσθαι νομίμων γαμετῶν· οὐ γὰρ ἐξ ἐπιτάγματος, ἀλλ᾽ αὐθαιρέτῳ γνώμῃ, τῶν τοιούτων προσώπων ἕκαστον, ἢ τὴν ἀποχὴν διὰ φιλόθεον ἄσκησιν, ἢ τὴν ἀμίαντον συνάφειαν διὰ τὸ τοῦ γάμου τίμιον ἐν ἡμῖν ἐπιτηδεύει, μῶμον οὐδένα δίκαιον ἐκ τοῦ γινομένου παντελῶς ὑφιστάμενον), τῷ παρόντι συνέζευξα σπουδάσματι· καλὸν ἡγησάμενος ἐνταὐτῷ μνημονεῦσαι καὶ τὰ παρά τινων ἁγίων Πατέρων ἰδιαζόντως ἐν ἐπιστολαῖς, πεύσεσί τε καὶ ἀποκρίσεσιν, εὐσεβῶς εἰρημένα, καί τινα τρόπον, κανόνος τύπον παρέχεσθαι δυνάμενα. Οὐκ ἀγνοῶν μὲν, ὡς καὶ τοῖς μεγάλοις Βασιλείῳ τε καὶ Γρηγορίῳ δοκεῖ, χρῆναι κανόνας ἐκκλησιαστικοὺς ἐκείνους λέγειν τε καὶ κρίνειν, οὓς οὐ μόνον καθ᾽ ἑαυτόν τις, ἀλλὰ πλείους ἅγιοι Πατέρες εἰς ταὐτὸν συνελθόντες, κοινῇ γνώμῃ καὶ μεμεριμνημένῃ βασάνῳ διετάξαντο· λογισάμενος [δὲ] τὰς τοιαύτας τῶν διδασκάλων ἐκθέσεις, ἢ περὶ τῶν ἤδη συνοδικῶς εἰρημένων εἶναι, καὶ πάντως χρήσιμόν τι συνεισάγειν ἐκείνοις τῇ σαφηνείᾳ τῶν, ὡς εἰκός, τισι δυσκαταλήπτων εἶναι δοξάντων, ἢ παντελῶς αὐτὰ περί τινων ὑπάρχειν καινῶν, οὐδαμῶς κατὰ λέξιν, ἢ νοῦν, ἐμφαινομένων ταῖς ἀναγεγραμμέναις συνοδικαῖς ζητήσεσί τε καὶ τομαῖς· καὶ δύνασθαι τοὺς ἐπί τισι τοιούτοις κρίνειν λαχόντας, ἔκ τε τῆς τῶν προσώπων ἀξιοπιστίας, ἔκ τε τοῦ πνευματικοῦ φωτὸς, τοῦ κατ᾽ ἐνέργειαν Θεοῦ τοῖς εἰρημένοις ἐπαστράπτοντος, οὐ μόνον ἀνεγκλήτους, ἀλλὰ καὶ λίαν

ἐπαινουμένας ποιεῖσθαι τὰς κρίσεις. Πάντων δὲ τῶν συνειλεγμένων τὴν δύναμιν εἰς τίτλους δέκα πρὸς τέτρασι συνελὼν, καὶ τούτων ἕκαστον εἰς διάφορα κεφάλαια διελὼν, εἶτα τοὺς πρὸς ἑκάστην ζήτησιν ἁρμόζοντας ὅρους ὑποθεὶς, τάς τε προσηγορίας τῶν αὐτοὺς εὑρημένων δηλώσας, καὶ τὸν ἀριθμὸν διὰ τῶν ἀριθμητικῶν στοιχείων, εὐσύνοπτον, ὡς οἶμαι, κατὰ δύναμιν τὸ σύνταγμα πεποίημαι. Τοῦτον δὲ τὸν τρόπον τυπῶσαι τὴν ἔκθεσιν, φημὶ δὴ διὰ τῶν ἀριθμητικῶν στοιχείων, ἀλλὰ μὴ ῥητῶς ἑκάστῳ κεφαλαίῳ τὴν πρόσφορον ὑποβαλεῖν ἀνάγνωσιν, παρέσχετο τὴν αἰτίαν τὸ μὴ βούλεσθαί με πρὸς τὴν χρείαν τῶν διαφόρων ζητήσεων, ἢ πολλάκις τὸν αὐτὸν κανόνα γράφειν, καὶ προσκορῆ φαίνεσθαι τοῖς ἐντυγχάνουσιν, ἢ τὸν ἕνα περὶ πλειόνων διαλαμβάνοντα κεφαλαίων, ἐξ ἀνάγκης εἰς πολλὰ κατατέμνειν τε καὶ διασπαθίζειν· ὅπερ τισὶ τῶν πρώην γεγένηται, καὶ δικαίαν οὐκ εὐλόγου με τόλμης ἐπὶ τῇ τοιαύτῃ κατατομῇ παρά τισιν αἰτίαν ἀπενέγκασθαι. Εἴπου δὲ χρειώδη πρὸς τὰς τοιαύτας κανονικὰς συγγραφὰς τὴν πολιτικὴν νομοθεσίαν ὑπείληφα, ταύτης βραχέα τε καὶ συντετμημένα τοῖς συγγενέσι κεφαλαίοις προσήρμοσα ἐν ἰδιάζοντι μέρει τῆς δε τῆς βίβλου, τῶν εἰς ἐκκλησιαστικὴν ἀνηκόντων εὐταξίαν, ἔν τε τοῖς βασιλικοῖς θεσπίμασιν, ἔν τε ταῖς τῶν σοφῶν ἑρμηνείαις, σύντομον ἐν συναγωγῇ ποιησάμενος ἔκθεσιν, ἅμα μὲν εἰς ἀνάμνησιν, ἅμα δὲ πρὸς τελείαν αὐτῶν τοῖς ἐντυγχάνουσιν ἔρευναν. Γένοιτο δέ με σὺν Θεῷ, ταῖς τῶν ἁγίων εὐχαῖς βοηθούμενον, ἐξανύοντα τὸν σκοπὸν, μάλιστα μὲν ἐμαυτῷ, καὶ ἑτέροις χρήσιμόν τι πορίσασθαι, ἐπὶ [τῷ] τῆς γοῦν σπουδῆς τε καὶ προθυμίας τὸν μισθὸν ἀπενέγκασθαι.

Ὁ μὲν παρὼν πρόλογος, ἀφ' οὗ τὸ Χριστιανῶν δόγμα τοῖς τῶν Ἀποστόλων φθόγγοις εἰς τὴν οἰκουμένην διήπλωται, ἐξ ἐκείνου τοὺς μέχρι τῆς πέμπτης συνόδου κανόνας εἰς ἓν συναγαγεῖν θέμενος σκοπὸν, τὸ πέρας ὧν ὑπέσχετο τῆς ἐπαγγελίας ἐπέθετο οὐκ ἀνάξιον. Καὶ οὓς αὐτή τε ἡ πέμπτη, καὶ αἱ προλαβοῦσαι διετύπωσαν, εἰς ἕν τε ἠθροίσατο· καὶ εἴ τινας ἄλλους καθ' ἕνα τῶν ἱερῶν ἀνδρῶν, τὸ μεταξὺ τοῦ χρόνου διάστημα εἰς τοσοῦτον ὕψος ἀρετῆς ἀναδραμεῖν ἔδειξεν, ὥστε

καὶ τὸ ἀξιόπιστον αὐτοὺς λαβεῖν, τούς τε λόγους εἰς κανονικὴν ἐλθεῖν ἰσοτιμίαν καὶ σύνταξιν, οὐδὲ τούτων τοὺς πόνους, τῆς προκειμένης πραγματείας τὸ συγγενὲς οὐ νοθεύοντας, οὐκ ἀπεξένωσεν.

Ἐπεὶ δὲ ὁ μετὰ τὴν πέμπτην σύνοδον χρόνος ἄλλα τε κατὰ τὸν βίον οὐκ ὀλίγα ἐνεώχμωσε, καὶ συνόδους ἱερὰς ἐπὶ διαφόροις αἰτίαις τὴν σύστασιν λαβούσας ἀνέδειξε, τῶν μὲν (1) παλαιῶν ἀνδρῶν τοῖς πόνοις οὐ λυμαινόμενοι, ὅπερ πολλοὺς πολλάκις ἡ ἀπορία τοῦ ἐξ οἰκείας ἐπιγνωσθῆναι σπουδῆς τολμῆσαι συνήλασε, καὶ κλοπῇ τῶν ἀλλοτρίων ὀφρὺν ἀνασπάσαι σοφίας ἠπάτησεν· ἀλλ᾽ οὖν ἡμεῖς γε τοὺς ἀγαθοῦ τινος ἄρξαντας τῷ βίῳ, εἰς αἰδὼ καὶ ἐπαίνους ἀναφέροντες, κἀν τούτῳ τιμᾷν ἐγινώσκομεν, οἷς ἑπόμεθα. Τοῖς οὖν ἐκείνων καμάτοις ἄσυλον διατηροῦντες τὸ προνόμιον, μᾶλλον δὲ καὶ συναυξάνοντες, τὰ μετὰ ταῦτα γεγενημένα τοῖς προλαβοῦσι συνάπτομεν· καὶ ἥν περ αὐτοῖς ὑστερίζων ὁ χρόνος οὐκ ἔδωκε, ταύτην αὐτοῖς ἡμεῖς τὴν προσθήκην, ὡς ζημίαν, ἀποκαθιστῶντες, ὁλόκληρον αὐτοῖς, ὅσα γε εἰς τὸν παρόντα χρόνον, ἐπιδείκνυμεν τὸ φιλοπόνημα. Διόπερ τὸ παρὸν βιβλίον περιέχει μὲν ἃ προεῖπεν ὁ πρόλογος· περιέχει δὲ κατὰ τὸν αὐτὸν εἱρμὸν, καὶ τὴν αὐτὴν ἀκολουθίαν τῆς συντάξεως, ἣν οἱ πρὸ ἡμῶν ἐφιλοτεχνήσαντο, καὶ οὓς ἡ οἰκουμενικὴ ἕκτη διωρίσατο σύνοδος· ναὶ δὴ καὶ οὓς ἡ ἑβδόμη τῶν οἰκουμενικῶν συνόδων, τῶν κατὰ Νίκαιαν δὲ συγκροτηθεισῶν τὴν δευτέραν τάξιν ἐπέχουσα· ἣ καὶ τὴν εἰκονομαχικὴν καθελοῦσα λύσσαν, οὐκ ὀλίγους τῶν τὴν ἱερὰν πολιτείαν ἐπανορθούντων θεσμοὺς συνετάξατο. Πρὸς τούτοις δὲ καὶ οὓς μετὰ ταῦτα ἡ ἐν Κωνσταντινουπόλει πρώτη καὶ δευτέρα σύνοδος, ἔριδός τινος ἀναῤῥιπισθείσης, τὸν πάνσεπτον ναὸν τῶν Ἀποστόλων ποιησαμένη τῶν πραττομένων ἀκροατήριον, ἐτυπώσατο· ἀλλὰ καὶ οὓς ἡ μετὰ ταῦτα σύνοδος, ἐπὶ κοινῇ τῆς ἐκκλησίας ὁμονοίᾳ συστᾶσα, καὶ τὴν ἐν Νικαίᾳ σύνοδον ἐπισφραγίσασα· αἱρετικὴν δὲ πᾶσαν καὶ σχισματικὴν ἀποβαλοῦσα πλάνην, καὶ τούτους τοῖς τῶν ἀδελφῶν συνόδων κανόσι συνέταξεν.

Ἐπὶ πᾶσι δὲ καὶ νομικάς τινας ῥήσεις ὁ νῦν εἰρημένος τοῦ

(1) Ἴσως, ἡμεῖς γε τῶν παλαιῶν.

βιβλίου πόνος, αἳ τοῖς ἱεροῖς συμφθέγγονται κανόσιν, οὐδὲ τὴν τούτων παράθεσιν ἀτιμάσας, ταῖς ἱερολογίαις συνέζευξεν. Ἵνα δὲ καὶ τὸν χρόνον τις εἰδείη, ὃς τοῖς φθάσασι τὸν παρόντα συνηρμόσατο, ἔστι μὲν κατὰ χιλιάδα ἐτῶν μετρούμενος, εἰς τὸ ἑξαπλάσιον ταύτης ἀναβαίνων, ὑπερβάλλων δὲ καὶ ταῦτα, καὶ μηδὲ μέχρι τῶν τριακοσίων ἐτῶν τὸν δρόμον ἱστῶν, εἰς τὸ ἐννενηκοστὸν πρῶτον ἔτος ἐλαύνων, ὑπ᾽ αὐγὰς ἡλίου τὴν προκειμένην πρᾶξιν προήνεγκεν.

ΕΚ ΠΟΙΩΝ ΣΥΝΟΔΩΝ ΤΕ ΚΑΙ ΠΡΟΣΩΠΩΝ, ΚΑΙ ΠΟΣΩΝ ΚΑΝΟΝΩΝ ΤΟ ΠΑΡΟΝ ΗΘΡΟΙΣΘΗ ΣΥΝΤΑΓΜΑ.

Οι λεγόμενοι (1) τῶν ἁγίων Ἀποστόλων διὰ Κλήμεντος κανόνες πε'.

Συνόδου τῆς ἐν Νικαίᾳ τῶν τιη'. ἁγίων Πατέρων κανόνες κ'.

Συνόδου τῆς ἐν Ἀγκύρᾳ κανόνες κε'.

Συνόδου τῆς ἐν Νεοκαισαρείᾳ κανόνες ιδ'.

Συνόδου τῆς ἐν Γάγγρᾳ κανόνες κ'.

Συνόδου τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας κανόνες κε'.

Συνόδου τῆς ἐν Λαοδικείᾳ τῆς Φρυγίας κανόνες νθ'.

Συνόδου τῆς ἐν Κωνσταντινουπόλει τῶν ρν'. ἁγίων Πατέρων κανόνες ζ'.

Συνόδου τῆς ἐν Ἐφέσῳ τῶν σ'. ἁγίων Πατέρων κανόνες ζ'.

Τῆς αὐτῆς ἐπιστολὴ πρὸς τοὺς Παμφυλίας ἐπισκόπους.

Συνόδου τῆς ἐν Χαλκηδόνι τῶν χλ'. ἁγίων Πατέρων κανόνες κή.

Συνόδου τῆς ἐν Σαρδικῇ κανόνες κα'.

Συνόδου τῆς ἐν Καρθαγένῃ κανόνες ρλή.

Συνόδου Κωνσταντινουπόλεως κανὼν ά.

Συνόδου τῆς ἕκτης κανόνες ρβ'.

Συνόδου τῆς ἑβδόμης κανόνες κβ'.

Συνόδου Κωνσταντινουπόλεως πρώτης καὶ δευτέρας κανόνες ιζ'.

Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς, κανόνες δ'.

Πέτρου ἀρχιεπισκόπου Ἀλεξανδείας καὶ μάρτυρος ἐκ τοῦ περὶ μετανοίας λόγου κανόνες ιδ'.

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ εἰς τὸ Πάσχα κανὼν ά.

Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ ἐπιστολὴ κανονική.

---

(1) Β. — ἐν δὲ Χ. Τρ. οὕτω. Κανόνες τῶν ἁγίων Ἀποστόλων.

Βασιλείου ἐπισκόπου Καισαρείας Καππαδοκίας ἐκ τῶν πρὸς Ἀμφιλόχιον ἐπίσκοπον Ἰκονίου κανονικῶν τριῶν ἐπιστολῶν κανόνες πδ'.

Τοῦ αὐτοῦ ἐξ ἐπιστολῆς ἑτέρας πρὸς τὸν αὐτὸν ἐπίσκοπον Ἀμφιλόχιον κανὼν ά.

Τοῦ αὐτοῦ ἐπιστολὴ κανονικὴ πρὸς Διόδωρον.

Τοῦ αὐτοῦ ἐπιστολὴ κανονικὴ πρὸς Γρηγόριον πρεσβύτερον.

Τοῦ αὐτοῦ ἐπιστολὴ κανονικὴ πρὸς ἀρχιεπισκόπους.

Τοῦ αὐτοῦ ἐπιστολὴ κανονικὴ πρὸς τοὺς ὑφ' ἑαυτὸν ἐπισκόπους.

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος γεγραμμένων.

Γρηγορίου ἐπισκόπου Νύσσης ἐκ τῆς πρὸς Λητόϊον, ἐπίσκοπον Μελιτινῆς, κανονικῆς ἐπιστολῆς κανόνες ή.

Τιμοθέου Ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ Παλαιοῦ, ἀπὸ τῶν γραφεισῶν αὐτῷ πεύσεων καὶ ἀποκρίσεων κανόνες ιή.

Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας προσφώνησις περὶ τῶν ἁγίων Θεοφανείων.

Τοῦ αὐτοῦ ἐκ τοῦ ὑπομνηστικοῦ τοῦ διὰ τὴν Λυκὼ πόλιν τῆς Αἰγύπτου κανόνες ι'.

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἀφύγγιον ἐπίσκοπον.

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Ἀγάθωνα ἐπίσκοπον.

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Μηνᾶν ἐπίσκοπον.

Κυρίλλου Ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κανόνες γ'.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τοὺς κατὰ Λιβύην καὶ Πεντάπολιν ἐπισκόπους ἐπιστολῆς κανόνες δ'.

Γενναδίου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου ἐγκύκλιος ἐπιστολὴ πρὸς ἅπαντας τοὺς ὁσιωτάτους μητροπολίτας.

Πρῶτος Γεννάδιος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως.

Ἰστέον, ὅτι ἡ ἔκθεσις τῶν προκειμένων συνόδων οὐ γέγονε πρὸς τὴν τάξιν τῶν χρόνων καθὼς (1) συνῆλθον· ἡ μὲν γὰρ ἐν Νικαίᾳ μεταγενεστέρα κατὰ τὸν χρόνον οὖσα τῆς τε ἐν Ἀγκύρᾳ

(1) Ἴσ. καθ' οὕς.

καὶ τῆς ἐν Νεοκαισαρείᾳ, διὰ τὸ τῆς τιμῆς ἐξαίρετον προτέτακται· ἡ δὲ ἐν Σαρδικῇ καὶ ἐν Καρθαγένῃ, τῷ χρόνῳ τινῶν τῶν λοιπῶν συνόδων προτερεύουσαι, μετ' αὐτὰς ἐτέθησαν, διὰ τὸ πολλὰ περί τινων ἐπιχωρίων, ἤγουν τῶν δυτικῶν μερῶν, διορίσασθαι. Ὁμοίως δὲ καὶ ἡ ἐπὶ Ἀρκαδίου καὶ Ὀνωρίου τῶν Βασιλέων ἐν Κωνσταντινουπόλει συνελθοῦσα πασῶν μεταγενεστέραν ἔλαχε τάξιν, διὰ τὸ μὴ ζητήσεως ἐκκλησιαστικῆς, ἀλλ' ἐγκαινίων χάριν τοῦ ἐν Ῥουφινιαναῖς εὐκτηρίου αὐτοὺς συνελθεῖν· οὕτω τε τινῶν παρεμπιπτουσῶν ἀμφισβητήσεων τὴν τομὴν ποιήσασθαι.

ΠΙΝΑΞ,

Σὺν Θεῷ, τοῦ παρόντος βιβλίου, τοῦτ' ἔστι τῶν δέκα πρὸς τοῖς τέσσαρσι τίτλων τῶν παρὰ τοῦ ἁγιωτάτου ἐκείνου Πατριάρχου κυρίου Φωτίου συγγραφέντων (1).

ΤΙΤΛΟΣ Α'.

Περὶ θεολογίας, καὶ ὀρθοδόξου πίστεως, καὶ κανόνων, καὶ χειροτονιῶν. σελ. 35.

ΚΕΦΑΛ. Α'. ΠΕΡΙ θεολογίας, καὶ ὀρθοδόξου πίστεως.

» Β'. Πόσους δεῖ κρατεῖν κανόνας;

» Γ'. Περὶ τοῦ φυλάττεσθαι τὸ ἄγραφον ἐκκλησιαστικὸν ἔθος ὡς νόμον, καὶ ὅτι οὐκ ἔχομεν ἀνάγκην φυλάττειν τὰ τοῦ Μωσαϊκοῦ νόμου.

» Δ'. Ὅτι οὐχ ὑφ' ἑνὸς ἐπισκόπου, ἀλλ' ἀπὸ τῆς κοινότητος οἱ κανόνες ἐκτίθενται.

» Ε'. Περὶ πατριαρχῶν, καὶ μητροπολιτῶν, καὶ τῶν ἐν Ἀφρικῇ λεγομένων πριμάτων.

» Ϛ'. Περὶ τοῦ τίνας καὶ ποῦ χειροτονοῦσιν ἐπισκόπους, ἢ κληρικοὺς, καὶ ἐὰν ὁ χειροτονηθεὶς διὰ λιβέλλου παραιτῆται τὴν ἐπισκοπήν.

» Ζ'. Περὶ τοῦ μὴ χρῆν τοῖς ὄχλοις ἐπιτρέπειν τὴν τῶν ἱερέων ἐκλογήν.

» Η'. Περὶ τῆς γινομένης ἀντιλογίας ἐπὶ τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου.

» Θ'. Περὶ τοῦ χρόνου, οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.

» Ι'. Περὶ τοῦ μὴ χειροτονεῖσθαί τινα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ ὀρθοδόξους ποιῆσαι.

» ΙΑ'. Περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων.

» ΙΒ'. Πῶς ὁ ἐθνικὸς, ἢ ὁ ἐν νόσῳ, ἢ ὁ νεωστὶ βαπτι-

(1) Ἐν τῷ πίνακι τοῦ Χ. Τρ. ἀναγινώσκονται μόνοι οἱ τίτλοι, ἄνευ τῶν κεφαλαίων.

σθεὶς, καὶ ὁ ἐκ φαύλης διαγωγῆς χειροτονεῖται ἐπίσκοπος, ἢ κληρικός.

» ΙΓ'. Πῶς ὁ σχολάζων ἐπίσκοπος γίνεται εἰς σχολάζουσαν ἐπισκοπήν.

» ΙΔ'. Πότε γίνεται ἐπίσκοπος, ἢ κληρικὸς, εὐνοῦχος, ἢ ἄλλως ἐμπαθὴς τὸ σῶμα.

» ΙΕ'. Περὶ τοῦ τὸν δαιμονιζόμενον μὴ κληροῦσθαι.

» ΙΣ'. Περὶ τοῦ μὴ πειθαρχοῦντος τῷ ἰδίῳ ἐπισκόπῳ, βουλομένῳ χειροτονεῖν αὐτὸν εἰς μείζονα βαθμόν.

» ΙΖ'. Περὶ ἐπισκόπου, ἢ κληρικοῦ χειροτονηθέντος καὶ μὴ δεχθέντος ὑπὸ τῆς παροικίας, ἢ μὴ καταδεξαμένου, ἢ μὴ δυνηθέντος ἀπελθεῖν.

» ΙΗ'. Περὶ τοῦ μὴ δύνασθαι τὸν τελευτῶντα ἐπίσκοπον ἕτερον ἀνθ' ἑαυτοῦ χειροτονεῖν.

» ΙΘ'. Περὶ τοῦ μὴ ἁπλῶς ἐν πόλει καὶ κώμῃ βραχείᾳ γίνεσθαι ἐπίσκοπον.

» Κ'. Περὶ τοῦ μὴ εἶναι ἐν μιᾷ ἐπαρχίᾳ δύο μητροπολίτας, ἢ ἐν μιᾷ πόλει δύο ἐπισκόπους, ἢ ἐν δυσὶ πόλεσιν ἕνα κληρικόν.

» ΚΑ'. Περὶ τῶν χειροτονούντων ἐν ταῖς μὴ οὔσαις ὑπ' αὐτοὺς πόλεσιν, ἢ ἐπαρχίαις.

» ΚΒ'. Περὶ τῶν διὰ προστασίας ἀρχόντων γινομένων ἐγκρατῶν ἐκκλησιῶν.

» ΚΓ'. Περὶ τῶν διὰ γάμον, ἢ παλλακισμὸν, μὴ χειροτονουμένων ἐπισκόπων.

» ΚΔ'. Περὶ τῶν ἐπὶ χρήμασι χειροτονουμένων, ἢ λαμβανόντων ὀφφίκιον.

» ΚΕ'. Περὶ τοῦ μὴ γίνεσθαι ἀναχειροτονήσεις.

» ΚΣ'. Περὶ τοῦ μὴ μετιέναι ἐπίσκοπον, ἢ κληρικὸν, ἀπὸ πόλεως εἰς πόλιν.

» ΚΖ'. Περὶ τοῦ ὑποκειμένου ἁμαρτήματι καὶ χειροτονηθέντος.

» ΚΗ'. Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων ἀρρένων, καὶ θηλειῶν.

ΚΕΦΑΛ. ΚΘ'. Περὶ ποιήσεως χωρεπισκόπων, καὶ πότε, καὶ πῶς προσφέρουσιν, ἢ μεταδιδόασι, καὶ τίνας χειροτονοῦσιν, ἢ οὔ.
» Λ'. Περὶ τοῦ ἑπτὰ καὶ μόνους εἶναι διακόνους, κἂν ἡ πόλις μεγάλη ᾖ.
» ΛΑ'. Τίνες εἰσὶ κληρικοὶ, ἢ τῆς ἐκκλησιαστικῆς τάξεως;
» ΛΒ'. Περὶ τοῦ μὴ χειροτονεῖσθαι οὗ τινος ἡ γυνὴ ἐμοιχεύθη, καὶ ἐὰν γυνὴ κληρικοῦ μοιχευθῇ.
» ΛΓ'. Περὶ τοῦ μὴ χειροτονεῖσθαι κληρικὸν ἀπολελυμένως, ἀλλὰ πάντως εἰς ἐκκλησίας, ἢ εἰς μοναστήρια.
» ΛΔ'. Περὶ περιοδευτῶν, καὶ τῶν ἐν ταῖς κώμαις ἐκκλησιῶν.
» ΛΕ'. Περὶ τοῦ ὑπὸ τὸν ἐπίσκοπον τῆς πόλεως εἶναι τοὺς κληρικοὺς τῶν πτωχείων, καὶ μοναστηρίων, καὶ μαρτυρίων.
» ΛΣΤ'. Περὶ δούλων κληρουμένων.
» ΛΖ'. Περὶ διακονισσῶν, καὶ ὅτι γυνὴ οὐ γίνεται πρεσβυτέρα.
» ΛΗ'. Περὶ τῶν διὰ τῆς χειροτονίας λυομένων ἁμαρτημάτων.

ΤΙΤΛΟΣ Β'.

Περὶ τῆς ποιήσεως ἐκκλησιῶν, καὶ περὶ ἱερῶν σκευῶν, καὶ ἀναθημάτων, καὶ κληρικῶν παρὰ γνώμην ἐπισκόπων ἱςώντων θυσιαστήρια, καὶ περὶ καθιερώσεως ἐκκλησιῶν, καὶ μαρτυρίων μὴ ἐχόντων λείψανα ἁγίων. σελ. 82.

ΚΕΦΑΛ. Α. Περὶ τῆς ποιήσεως ἐκκλησιῶν, καὶ περὶ καθιερώσεως ἐκκλησιῶν, καὶ μαρτυρίων μὴ ἐχόντων λείψανα ἁγίων.
» Β'. Περὶ ἱερῶν σκευῶν, καὶ ἀναθημάτων.
» Γ'. Περὶ κληρικῶν ἀποσχιζόντων, καὶ παρὰ γνώμην τῶν ἐπισκόπων ἱστώντων θυσιαστήρια.

ΤΙΤΛΟΣ Γ'.

Περὶ εὐχῶν, καὶ ψαλμῳδίας, καὶ ἀναγνώσεως, καὶ ἀναφορᾶς, καὶ κοινωνίας, καὶ φορεσίας, καὶ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, καὶ ὑπηρετῶν. σελ. 114.

ΚΕΦΑΛ. Α'. Ποίων ὁ λαὸς εὐχῶν ἀκροᾶται, καὶ διὰ τί πρὸς ἀνατολὰς ὁρῶντες εὐχόμεθα.
» Β'. Περὶ τοῦ τίνα, καὶ πῶς, καὶ ποῖα δεῖ ψάλλειν, ἢ εὔχεσθαι, ἢ ἀναγινώσκειν.
» Γ'. Περὶ τοῦ χρῆναι κατὰ σάββατον ἀναγινώσκεσθαι εὐαγγέλιον μετὰ ἑτέρων γραφῶν.
» Δ'. Περὶ τῆς ἁγίας ἀναφορᾶς, καὶ κοινωνίας.
» Ε'. Πῶς διδόασι τὴν εἰρήνην οἱ κληρικοὶ, καὶ οἱ λαϊκοί.
» Ϛ'. Περὶ τῶν διακρινομένων κοινωνεῖν ἀπὸ πρεσβυτέρου γεγαμηκότος.
» Ζ'. Περὶ τοῦ μόνοις τοῖς ἱερατικοῖς ἐξεῖναι κοινωνεῖν ἐν τῷ θυσιαστηρίῳ, καὶ περὶ τοῦ μὴ εἰσιέναι γυναῖκα εἰς τὸ θυσιαστήριον.
» Η'. Πότε προσφέρουσι καὶ διδόασι κοινωνίαν οἱ χωρεπίσκοποι.
» Θ'. Περὶ τοῦ μὴ προσφέρειν διάκονον, μήτε διδόναι πρεσβυτέρῳ κοινωνίαν.
» Ι'. Περὶ φορεσίας, καὶ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, καὶ ὑπηρετῶν, καὶ ὅτι οὐ δεῖ ὑπηρέτην ἄρτον διδόναι, ἢ ποτήριον εὐλογεῖν.
» ΙΑ'. Περὶ τῶν διαγόντων ἐν πόλει, καὶ ἐπὶ τρεῖς ἑβδομάδας μὴ κοινωνούντων.
» ΙΒ'. Περὶ τῶν ἀκουόντων τῶν γραφῶν, καὶ μὴ προσκαρτερούντων ἐν τῇ τελευταίᾳ εὐχῇ, καὶ μὴ μεταλαμβανόντων.
» ΙΓ'. Περὶ δαιμονιζομένων πῶς κοινωνοῦσιν, ἢ οὔ.
» ΙΔ'. Περὶ τῶν ἔξωθεν ἐκκλησίας προσφερόντων, ἢ ἐκκλησιαζόντων.

ΚΕΦΑΛ. ΙΕ΄. Περὶ ἐπισκόπων, ἢ κληρικῶν συγκοινωνούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ Ἰουδαίοις, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν θυσίας.

» ΙΣΤ΄. Περὶ τοῦ μὴ δεῖν τὰ ἅγια λόγῳ εὐλογιῶν εἰς τὰς παροικίας πέμπεσθαι.

» ΙΖ΄. Περὶ τοῦ μὴ διδόναι τοῖς σώμασι τῶν τελευτώντων κοινωνίαν.

» ΙΗ΄. Περὶ τοῦ μὴ χρῆναι γυναῖκα ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῆς κοινωνεῖν.

» ΙΘ΄. Πῶς ὁ ὀνειρασθεὶς κοινωνεῖ.

» Κ΄. Περὶ τοῦ μὴ γίνεσθαι ἀναφορὰν παρόντων αἱρετικῶν.

» ΚΑ΄. Πότε δεῖ τῆς γαμετῆς διὰ τὴν κοινωνίαν ἀπέχεσθαι.

» ΚΒ΄. Πῶς γίνεται προσφορὰ περὶ τοῦ ἑαυτὸν ἀνελόντος.

ΤΙΤΛΟΣ Δ΄.

Περὶ κατηχουμένων, καὶ τοῦ ἁγίου βαπτίσματος.

ΚΕΦΑΛ. Α΄. Περὶ τοῦ μὴ ὀφείλειν μετὰ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς δέχεσθαι πρὸς τὸ φώτισμα.

» Β΄. Περὶ τῶν ἐπιορκιζόντων.

» Γ΄. Πῶς δεῖ βαπτίζειν.

» Δ΄. Περὶ τοῦ χρῆναι τοὺς φωτιζομένους ἀπαγγέλλειν τὴν πίστιν.

» Ε΄. Περὶ τοῦ βαπτίζεσθαι τοὺς ἀγνοοῦντας εἰ ἐβαπτίσθησαν.

» ΣΤ΄. Περὶ τοῦ μὴ βαπτίζεσθαι τοὺς τελευτήσαντας.

» Ζ΄. Περὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτανόντων, καὶ περὶ κατηχουμένων.

» Η΄. Περὶ ἐπισκόπων, ἢ κληρικῶν δεχομένων βάπτισμα αἱρετικῶν.

» Θ΄. Περὶ τῶν ἐν νόσῳ βαπτιζομένων.

» Ι΄. Περὶ ἐγκύου βαπτιζομένης.

ΚΕΦΑΛ. ΙΑ'. Περὶ τοῦ ὀφείλειν μετὰ τὸ ἅγιον βάπτισμα χρίεσθαι.

» ΙΒ'. Περὶ ποιήσεως τοῦ ἁγίου χρίσματος.

» ΙΓ'. Περὶ τῶν δὶς, ἢ μὴ δεόντως βαπτιζομένων, καὶ τῶν τοὺς ἀσθενεῖς μὴ βαπτιζόντων.

» ΙΔ'. Τίνες ἐξ αἱρετικῶν εἰς τὴν ὀρθοδοξίαν μετιόντες βαπτίζονται, καὶ τίνες μόνον χρίονται.

» ΙΕ'. Πῶς ὁ δαιμονιζόμενος, ἢ ἐν νόσῳ παραφρονῶν βαπτίζεται.

» ΙΣΤ'. Περὶ τοῦ μὴ χρῆναι γυναῖκας εἰς ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῶν βαπτισθῆναι.

» ΙΖ'. Ἐὰν ὁ κατηχούμενος πρὸ τοῦ βαπτίσματος κοινωνήσῃ.

ΤΙΤΛΟΣ Ε'.

Περὶ τῶν καταφρονούντων τῶν ἐκκλησιῶν, καὶ συνάξεων, καὶ μνημῶν, καὶ τῶν ἐσθιόντων ἐν ἐκκλησίαις, καὶ περὶ ἀγαπῶν.

ΚΕΦΑΛ. Α'. Περὶ τῶν διδασκόντων τὸν οἶκον τοῦ θεοῦ, καὶ τὰς συνάξεις, καὶ τὰς μνήμας εὐκαταφρονήτους.

» Β'. Περὶ τοῦ μὴ ποιεῖν ἐν ἐκκλησίᾳ ἀγάπας, καὶ ἐν αὐτῇ ἐσθίειν.

» Γ'. Περὶ τῶν εὐτελιζόντων τὰς γινομένας ἀγάπας, καὶ ὅτι οὐ δεῖ μέρη ἐκλαμβάνειν εἰς ἀγάπην.

ΤΙΤΛΟΣ ΣΤ'.

Περὶ καρποφοριῶν.

ΚΕΦΑΛ. Α'. Περὶ καρποφοριῶν.

» Β'. Τίνας δεῖ λαμβάνειν καρποφορίαν, ἢ διδόναι· καὶ

περὶ τῶν λαμβανόντων ἀπὸ ἐκκλησίας κηρὸν ἢ ἔλαιον.

ΚΕΦΑΛ. Γ'. Περὶ τῶν προσφερόντων συναγωγαῖς, ἢ ἱεροῖς ἐθνῶν.

ΤΙΤΛΟΣ Ζ'.

Περὶ νηστείας καὶ τεσσαρακοστῆς, καὶ τοῦ πάσχα, καὶ τῆς πεντηκοστῆς, καὶ κυριακῆς, καὶ σαββάτου, καὶ γονυκλισίας.

ΚΕΦΑΛ. Α'. Περὶ νηστείας, καὶ τῶν κεκωλυμένων ἢ ἐπιτετραμμένων γίνεσθαι ἐν τῇ τεσσαρακοστῇ τῶν νηστειῶν.

» Β'. Περὶ τοῦ μήτε τὴν λεχὼ, μήτε τὸν ἐκ νόσου μὴ δυνάμενον ἀναγκάζεσθαι τὸ πάσχα νηστεύειν.

» Γ'. Περὶ τῆς ἡμέρας καὶ τῆς ὥρας τοῦ πασχαλίου καὶ τῶν θεοφανείων.

» Δ'. Περὶ τοῦ μὴ χρῆναι ἐν κυριακῇ θεώρια γίνεσθαι, ἢ γόνυ κλίνειν ἐν κυριακῇ, ἢ ἐν ταῖς ἡμέραις τῆς πεντηκοστῆς, καὶ ὅτι κατὰ τὸ ἐγχωροῦν δεῖ σχολάζειν τὴν κυριακὴν, οὐ μὴν τὸ σάββατον, καὶ ὅτι δεῖ γραφὰς ἀναγινώσκειν τὸ σάββατον.

» Ε'. Τίς ἡ αἰτία τῆς γονυκλισίας, καὶ τοῦ μὴ τοῦτο γίνεσθαι ἐν κυριακῇ, καὶ ταῖς ἡμέραις τῆς πεντηκοστῆς, καὶ διατί πρὸς ἀνατολὰς εὐχόμεθα.

ΤΙΤΛΟΣ Η'.

Περὶ παροικιῶν, καὶ πῶς διάγουσιν ἐπίσκοποι, καὶ κληρικοὶ, καὶ περὶ ἀποδημίας αὐτῶν, καὶ περὶ τῶν κατ' ἔτος συνόδων, καὶ ξενοδόχων, καὶ διδασκάλων, καὶ συστατικῶν καὶ εἰρηνικῶν ἐπιστολῶν, καὶ ποῖα πράττουσιν ἰδιωτικὰ, ἢ δημόσια πράγματα, καὶ πῶς οἱ κληρικοὶ ἀλλήλους τιμῶσι.

ΚΕΦΑΛ. Α'. Περὶ παροικιῶν καὶ τῶν ἀπὸ βασιλικῶν τύπων γενομένων καινισμῶν.

ΚΕΦΑΛ. Β΄. Περὶ τοῦ μὴ ἐπίσκοπον, ὡς ἔτυχεν, ἀποδημεῖν, ἢ κληρικὸν ἐν ἑτέρᾳ διάγειν ἐπαρχίᾳ.
» Γ΄. Περὶ τοῦ χρῆναι τοὺς ἐπισκόπους τὰς αἰτίας τῆς ὁδοιπορίας τῶν δι' αὐτῶν παριόντων ἐπισκόπων πολυπραγμονεῖν.
» Δ΄. Περὶ ἐπισκόπων καὶ κληρικῶν ἀπιόντων πρὸς βασιλέα, ἢ τοὺς περὶ αὐτόν.
» Ε΄. Περὶ ὑποδοχῆς ξένων, καὶ περὶ εἰρηνικῶν, καὶ συστατικῶν ἐπιστολῶν.
» ΣΤ΄. Περὶ διαφορᾶς εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν.
» Ζ΄. Τίσι δεῖ τοὺς ἐπισκόπους βοηθεῖν, καὶ περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων, μὴ χορηγούντων τοῖς ἐνδεέσιν ἐκκλησιαστικοῖς.
» Η΄. Περὶ συνόδων, καὶ τῶν εἰς αὐτὰς μὴ ἀπιόντων.
» Θ΄. Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἐπίσκοπον ἢ κληρικὸν ἐμαγκιπατεύειν.
» Ι΄. Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους παρὰ αἱρετικῶν κατεχομένους.
» ΙΑ΄. Περὶ τοῦ μὴ ὀφείλειν τοὺς ἀναγνώστας τῷ δήμῳ προσκυνεῖν.
» ΙΒ΄. Περὶ ἐπισκόπων μὴ ἐπιστρεφόντων τοὺς αἱρετικοὺς, καὶ περὶ ἐπισκόπων καὶ κληρικῶν μὴ διδασκόντων τὸν λαὸν, καὶ ὅτι ἐπίσκοπος ὑπὲρ τοῦ λαοῦ ἀπολογεῖται τῷ Θεῷ, καὶ πότε τοῦ λαοῦ ἁμαρτήσαντος ὁ κλῆρος ἀφορίζεται.
» ΙΓ΄. Περὶ ἐπισκόπων καὶ κληρικῶν κοσμικόν τι πραττόντων, δημόσιον, ἢ ἰδιωτικὸν, ἢ μίσθωσιν, ἢ ἐπιτροπήν.
» ΙΔ΄. Περὶ ἐπισκόπων καὶ κληρικῶν συνόντων γυναιξὶ συνεισάκτοις.
» ΙΕ΄. Πῶς δεῖ ἐπισκόπους, ἢ κληρικοὺς, ἢ ἐγκρατευομένους εἰσιέναι πρὸς γυναῖκας.
» ΙΣΤ΄. Περὶ τοῦ μὴ ὀφείλειν κληρικὸν συνεστιᾶσθαι τῷ δευτερογαμοῦντι, ἢ παρανόμως γαμοῦντι.

ΚΕΦΑΛ. ΙΖ′. Περὶ τοῦ μηδὲν ποιεῖν τοὺς κληρικοὺς ἄνευ τῶν ἐπισκόπων αὐτῶν.

» ΙΗ′. Περὶ τοῦ μὴ ποιεῖν τοὺς κληρικοὺς ἐκ συμβολῆς συμπόσια.

» ΙΘ′. Περὶ τῆς ἐκ χρόνου τάξεως τῶν ἐπισκόπων, καὶ πῶς οἱ κληρικοὶ καθέζονται, καὶ τιμῶσιν ἀλλήλους.

ΤΙΤΛΟΣ Θ′.

Περὶ ἁμαρτημάτων, καὶ δικῶν ἐπισκόπων, καὶ κληρικῶν, καὶ ἀφορισμοῦ, καὶ καθαιρέσεως, καὶ ποῖα ἁμαρτήματα ἡ χειροθεσία λύει.

ΚΕΦΑΛ. Α′. Τίνες καὶ παρὰ τίσι κατηγοροῦσιν ἐπισκόπων, ἢ κληρικῶν.

» Β′. Πόσοι καὶ τίνες καταμαρτυροῦσιν ἐπισκόπων ἢ κληρικῶν.

» Γ′. Ἐάν τις ἐπὶ πολλοῖς ἐγκλήμασι κληρικοῦ κατηγορήσας μὴ ἀποδείξῃ τὸ προτεθὲν πρῶτον κεφάλαιον.

» Δ′. Περὶ τῶν μὴ πειθαρχούντων τοῖς οἰκείοις ἐπισκόποις, καὶ περὶ ἐπισκόπου δεχομένου τὸν ἀπὸ τοῦ ἰδίου ἐκβληθέντα ἐπίσκοπον, ἢ ἀπὸ κοινωνίας γενόμενον.

» Ε′. Περὶ δικῶν ἐπισκόπων καὶ κληρικῶν.

» ΣΤ′. Περὶ ἀναψηλαφήσεως ψήφων ἐπισκόπων.

» Ζ′. Ἐὰν ἐπίσκοπος ἔχων πρὸς συνεπίσκοπον μὴ δικάσηται, ἀλλὰ χειρὶ πράξῃ.

» Η′. Πότε δύναται ἐπίσκοπος κινεῖν ἐπισκόπῳ παρὰ ἄρχοντι πολιτικῷ.

» Θ′. περὶ τῶν ἀδίκως ἐκβαλλομένων ἐπισκόπων καὶ κληρικῶν.

» Ι′. Περὶ τῶν ἀφοριζομένων, ἢ ἐκβαλλομένων τῆς ἐκκλησίας ἢ τῆς κοινωνίας.

» ΙΑ′. Ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος, ἢ κληρικὸς, ἢ λαϊκὸς, καὶ ἐὰν ἐπίσκοπος κατηγορούμε-

νος διὰ λιβέλλου παραιτεῖται τὴν ἐπισκοπὴν, καὶ ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον γενόμενον ἐκβαλλόμενον εὐλόγως ἢ ἀλόγως εἰς πρεσβυτέρου κατάγεσθαι βαθμόν.

ΚΕΦΑΛ. ΙΒ΄. Ὅτι ἐφ᾽ ὅσον χρόνον ὁ ἐπίσκοπος οὐ κοινωνεῖ τῷ παρ᾽ αὐτοῦ ἀφορισθέντι, οὔτε οἱ ἄλλοι ἐπίσκοποι κοινωνοῦσι τῷ ἀφορίσαντι.

» ΙΓ΄. Πόσοι ἐπίσκοποι καθαιροῦσιν ἐπίσκοπον.

» ΙΔ΄. Ἐκ ποίων τις αἰτιῶν καθαιρεῖται.

» ΙΕ΄. Ἐκ ποίων τις αἰτιῶν ἐν τῷ αὐτῷ καὶ ἀφορίζεται καὶ καθαιρεῖται, ἢ καθαιρεῖται, καὶ τῆς κοινωνίας ἢ τῆς ἐκκλησίας ἐκκόπτεται.

» ΙΣΤ΄. Ἐκ ποίων αἰτιῶν κληρικὸς ἢ λαϊκὸς ἀναθεματίζεται.

» ΙΖ΄. Ὅτι οὐ χρὴ δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό.

» ΙΗ΄. Ἐκ ποίων τις αἰτιῶν τελείως ἐκβάλλεται.

» ΙΘ΄. Πότε τις καθέδρας μὲν ἢ στάσεως ἱερατικῆς μετέχει, οὐκ ἐνεργεῖ δέ τι τῶν λοιπῶν.

» Κ΄. Περὶ τοῦ μὴ πιστεύεσθαι τὸν ἐπίσκοπον λέγοντα ἰδιαζόντως αὐτῷ τὸν κληρικὸν συνομολογῆσαι τὸ ἁμάρτημα.

» ΚΑ΄. Περὶ ἐπισκόπου, ἢ κληρικοῦ ἐσθίοντος κρέα ἐν αἵματι, ἢ θηριάλωτον, ἢ θνησιμαῖον.

» ΚΒ΄. Περὶ τοῦ τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ πάντας τοὺς τὰ ἱερὰ ψηλαφῶντας ὀφείλειν ἀπέχεσθαι τῶν ἰδίων γαμετῶν.

» ΚΓ΄. Περὶ κληρικοῦ χλευάζοντος τοὺς ἀσθενεῖς.

» ΚΔ΄. Περὶ κληρικοῦ ἑαυτὸν ἀκρωτηριάζοντος.

» ΚΕ΄. Περὶ κληρικῶν ἀποστατῶν, καὶ θυτῶν, καὶ μάγων, καὶ ἑπαοιδῶν, καὶ ἀστρολόγων, καὶ μαθηματικῶν, καὶ περὶ μαντειῶν, καὶ φαρμακειῶν, καὶ περιάπτων.

» ΚΣΤ΄. Περὶ ἐπισκόπων, ἢ κληρικῶν τυπτόντων, ἢ φονευόντων.

» ΚΖ΄. Περὶ ἐπισκόπων, καὶ κληρικῶν κυβευόντων, ἢ μεθυσκομένων, ἢ θέαις παραβαλλόντων, τυμβωρυχούν-

των, κλεπτόντων, ἐπιορκούντων, τοκιζόντων, ἢ λαμβανόντων ἡμιόλια, ἢ ἕτερον αἰσχρὸν ἑαυτοῖς ἐπινοούτων κέρδος.

ΚΕΦΑΛ. ΚΗ'. Περὶ τῶν βδελυσσομένων τὸν γάμον, ἢ τὸν οἶνον, ἢ τὰ κρέα.

» ΚΘ'. Περὶ τῶν ἐπιτετραμμένων ἢ κεκωλυμένων γάμων, καὶ περὶ τοῦ ἐρωτᾶσθαι τοὺς ἀναγνώστας ἐφήβους γενομένους, εἰ βούλονται γαμεῖν, καὶ περὶ παλλακισμοῦ, καὶ μοιχείας, καὶ πορνείας.

» Λ'. Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων.

» ΛΑ'. Περὶ ἱερατικῶν συλλουομένων γυναιξί.

» ΛΒ'. Περὶ ἐπισκόπων, καὶ κληρικῶν γινομένων λαϊκῶν, ἢ ἀξιωματικῶν, ἢ στρατευομένων.

» ΛΓ'. Περὶ τῶν συνεπισταμένων ἁμαρτάνουσι κληρικοῖς, καὶ μὴ φανερούντων.

» ΛΔ'. Περὶ τοῦ καθαιρεῖσθαι τοὺς κληρικοὺς διδόντας ἐγγύας.

» ΛΕ'. Περὶ κληρικῶν ἐσθιόντων ἐν καπηλείῳ, ἢ πανδοχείῳ.

» ΛΣΤ'. Περὶ κληρικῶν ὑβριζόντων βασιλέα, ἢ ἐπίσκοπον, ἢ ἄρχοντα, ἢ πρεσβύτερον.

» ΛΖ'. Περὶ τῶν ποιούντων συνωμοσίας, ἢ φατρίας.

» ΛΗ'. Ποῖα ἁμαρτήματα λύει ἡ χειροθεσία.

» ΛΘ'. Περὶ μετανοίας, καὶ τίνες ἄδειαν ἔχουσι διδόναι μετανοοῦσι καταλλαγὴν, καὶ ὅτι ἔξεστι τῷ ἱερεῖ μειοῦν καὶ αὔξειν τὰ ἐπιτίμια.

ΤΙΤΛΟΣ. Ι΄.

Περὶ διοικήσεως ἐκκλησιαστικῶν πραγμάτων, καὶ περὶ τῶν ἰδικῶν τοῦ ἐπισκόπου.

ΚΕΦΑΛ. Α΄. Περὶ τοῦ χρῆναι τὸν οἰκονόμον ἐκ τοῦ κλήρου τῆς ἐκκλησίας εἶναι.

» Β΄. Περὶ διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων.

» Γ΄. Περὶ πραγμάτων καὶ προσόδων τῶν ἀνεπισκόπων ἐκκλησιῶν.

» Δ΄. Περὶ ἐκποιήσεως πραγμάτων ἐκκλησιαστικῶν.

» Ε΄. Περὶ τῶν μετὰ τὴν χειροτονίαν κτωμένων ἐπισκόπῳ ἢ κληρικῷ.

» ΣΤ΄. Περὶ τῶν ἰδικῶν τοῦ ἐπισκόπου πραγμάτων, καὶ ὅτι οὐκ ὤφειλεν ἀδιάθετος τελευτᾷν.

» Ζ΄. Περὶ τοῦ τὰς ἐν τοῖς βαρβαρικοῖς ἔθνεσιν οὔσας τοῦ θεοῦ ἐκκλησίας κατὰ τὴν κρατήσασαν διοικεῖσθαι συνήθειαν.

» Η΄. Περὶ τοῦ μήτε ἐπίσκοπον, μήτε κληρικὸν διδόναι διὰ δωρεᾶς ἢ διὰ διαθήκης αἱρετικῷ, κἂν εἴη συγγενὴς αὐτοῦ.

ΤΙΤΛΟΣ ΙΑ΄.

Περὶ μοναστηρίων καὶ μοναχῶν.

ΚΕΦΑΛ. Α΄. Περὶ ποιήσεως μοναστηρίων, καὶ τοῦ μὴ γίνεσθαι αὐτὰ ἰδιωτικά, καὶ πραγμάτων τῶν μοναζόντων.

» Β΄. Περὶ τῶν ἐξ ἑτέρων μοναστηρίων γινομένων ἡγουμένων ἢ κληρικῶν.

» Γ΄. Περὶ δούλων μοναζόντων, ἢ προφάσει εὐλαβείας καταφρονούντων καὶ μὴ δουλευόντων τοῖς δεσπόταις.

ΚΕΦΑΛ. Δ'. Περὶ τοῦ μὴ ὡς ἔτυχε μοναχὸν ἐξιέναι τοῦ μοναστηρίου, καὶ πράγματα πράττειν, καὶ ὅτι ὑπὸ τὸν ἐπίσκοπόν εἰσι.
» Ε'. Περὶ τοῦ μὴ γαμεῖν μοναχοὺς, ἢ τισιν ὡς ἀδελφαῖς συνεῖναι, μήτε τὰς ἐπαγγελλομένας παρθενίαν ἑτέροις συνοικεῖν.
» ΣΤ'. Περὶ μοναχῶν ποιούντων φατρίας ἢ συνωμοσίας.
» Ζ'. Περὶ τοῦ μὴ συλλούεσθαι ἀσκητὰς γυναιξίν.
» Η'. Περὶ φυλακῆς ἱερῶν παρθένων.
» Θ'. Περὶ φθορᾶς ἱερῶν παρθένων.
» Ι'. Περὶ χρόνου τῆς ἡλικίας τῶν λαμβανουσῶν τὸ σχῆμα, καὶ ποία λέγεται παρθένος.
» ΙΑ'. Περὶ μοναχῶν, γινομένων κληρικῶν, ἢ λαϊκῶν ἢ ἀξιωματικῶν, ἢ στρατευομένων.
» ΙΒ'. Περὶ τῶν χρωμένων σχήματι μοναχικῷ, καὶ καταψηφιζομένων τῶν κοινῇ χρωμένων ἐσθῆτι.
» ΙΓ'. Περὶ γυναικὸς φορούσης ἀνδρῶα.
» ΙΔ'. Περὶ τοῦ μὴ χρῆναι γυναῖκας ἀποκείρεσθαι δι' ἄσκησιν.
» ΙΕ'. Περὶ τοῦ προφάσει ἀσκήσεως μὴ τεκνοτροφοῦντος ἢ πατροτροφούντος.
» ΙΣΤ'. Ποῖα πολιτικὰ πράγματα, ἢ κηδεμονίας οἱ μοναχοὶ δύνανται μετιέναι.

ΤΙΤΛΟΣ ΙΒ'.

Περὶ αἱρετικῶν, καὶ ἰουδαίων, καὶ Ἑλλήνων.

ΚΕΦΑΛ. Α'. Τί ἐστιν αἵρεσις, καὶ τί σχίσμα, καὶ τί παρασυναγωγή.
» Β'. Τί ἐστιν αἱρετικός.
» Γ'. Περὶ βιβλίων αἱρετικῶν.
» Δ'. Περὶ καθαιρέσεως ξοάνων.
» Ε'. Περὶ Νεστορίου, Μουσαίου, Εὐτυχιανοῦ, Μαξίμου,

Πορφυρίου(1), καὶ Κελεστίου, καὶ τῶν ὑπ' αὐτῶν καταστάντων αἱρετικῶν, ἢ ὀρθοδόξων ἐκβληθέντων.

ΚΕΦΑΛ. ΣΤ'. Περὶ τοῦ μὴ ὀφείλειν ἀναφορὰν γίνεσθαι παρόντος αἱρετικοῦ.

» Ζ'. Περὶ κληρικῶν αἱρετικῶν τῇ ὀρθοδόξῳ προσιόντων ἐκκλησίᾳ.

» Η'. Περὶ ἐπισκόπων ἢ κληρικῶν συγκοινωνούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν βάπτισμα, ἢ θυσίαν.

» Θ'. Περὶ ἐπισκόπων ἢ κληρικῶν λαμβανόντων εὐλογίας ἐξ αἱρετικῶν, ἢ Ἰουδαίων, ἢ εὐχομένων ἐν ἐκκλησίαις, ἢ μοναστηρίοις αἱρετικῶν, ἢ ἐθνικῶν, ἢ σαββατιζόντων, ἢ συνεορταζόντων τοῖς Ἰουδαίοις, ἢ προσφερόντων συναγωγαῖς ἢ ἱεροῖς ἐθνῶν, καὶ περὶ ἀγγελιτῶν.

» Ι'. Περὶ ἐπισκόπου ἐν εἰδήσει λέγοντος κοινωνικὸν τὸν αἱρετικόν.

» ΙΑ'. Περὶ τοῦ μὴ ἀπιέναι πρὸς τοὺς τῶν αἱρετικῶν ψευδομάρτυρας.

» ΙΒ'. Περὶ τοῦ μὴ εἰσιέναι τοὺς αἱρετικοὺς εἰς τὴν ἐκκλησίαν.

» ΙΓ'. Περὶ γάμων αἱρετικῶν πρὸς ὀρθοδόξους.

» ΙΔ'. Περὶ τῶν ἐξ αἱρετικῶν εἰς ὀρθοδοξίαν ἐπιστραφέντων, καὶ εἰ δυνατὸν τούτους κληροῦσθαι, καὶ τίνες αὐτῶν βαπτίζονται, καὶ τίνες μόνον χρίονται· καὶ ὅτι πράως δεῖ τοῖς αἱρετικοῖς κεχρῆσθαι, διὰ τὸ ἐπιστρέφεσθαι αὐτούς.

» ΙΕ'. Περὶ τοῦ μήτε ἐπισκόπους, μήτε κληρικοὺς δωρεῖσθαι ἢ ἐν διαθήκαις διδόναι τι αἱρετικοῖς, κἂν ὦσιν αὐτῶν συγγενεῖς.

» ΙΣΤ'. Περὶ αἱρετικῶν μετανοούντων.

» ΙΖ'. Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους παρ' αἱρετικῶν κατεχομένους.

(1) Χ. Τραπεζοῦντος καὶ Ἐρθ.

ΚΕΦΑΛ. ΙΗ'. Περὶ τῶν πειρωμένων ἀθετεῖν τὰ ἐν Ἐφέσῳ πραχθέντα.

ΤΙΤΛΟΣ ΙΓ'.

Περὶ λαϊκῶν.

ΚΕΦΑΛ. Α'. Περὶ τοῦ ἀποκινεῖσθαι τὸν λαϊκὸν τῆς ἁγίας κοινωνίας ἐπὶ τρεῖς κυριακὰς ἐν πόλει διάγοντα, καὶ μὴ συνελθόντα τῇ ἐκκλησίᾳ.
» Β'. Περὶ λαϊκῶν δευτερογαμούντων, ἢ πολυγαμούντων, καὶ κεκωλυμένων γάμων, καὶ μίξεως.
» Γ'. Περὶ τῶν ὑπονοουσῶν ἀποθανεῖν τοὺς ἄνδρας αὐτῶν ἀπολιμπανομένους, καὶ γαμουσῶν.
» Δ'. Περὶ τῶν διαζευγνυμένων.
» Ε'. Περὶ πορνείας, μοιχείας, καὶ φθορᾶς, καὶ ἀρρενοκοιτίας.
» ΣΤ'. Ἐὰν γυνὴ λαϊκοῦ μοιχευθῇ.
» Ζ'. Περὶ φθορᾶς καὶ γάμου χήρας, καὶ τίς λέγεται χήρα.
» Η'. Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων, ἢ βιαζομένων, ἢ φθειρόντων παρθένους, καὶ περὶ συνιστόρων αὐτῶν.
» Θ'. Περὶ τῶν παρὰ γνώμην τῶν οἰκείων γονέων ἢ δεσποτῶν γαμουσῶν.
» Ι'. Περὶ τῶν πορνευουσῶν, καὶ ἀναιρουσῶν τὰ τικτόμενα, ἢ ποιουσῶν φθόρια.
» ΙΑ'. Περὶ τῶν βδελυσσομένων τὸν γάμον, καὶ οἶνον, καὶ κρέα.
» ΙΒ'. Περὶ λαϊκῶν ἑαυτοὺς ἀκρωτηριαζόντων.
» ΙΓ'. Περὶ λαϊκῶν ἐσθιόντων εἰδωλόθυτα, ἢ κρέα ἐν αἵματι, ἢ πνικτὰ, ἢ θηριάλωτα, ἢ θνησιμαῖα.
» ΙΔ'. Περὶ λαϊκοῦ ὑβρίζοντος βασιλέα.
» ΙΕ'. Περὶ ὀρθοδόξων λαμβανόντων εὐλογίας ἀπὸ αἱρετικῶν Ἰουδαίων, ἢ συνεορταζόντων, ἢ συννη-

στευόντων ἰουδαίοις, καὶ ὅτι οὐ δεῖ τῷ σαββάτῳ σχολάζειν, ἀλλὰ κατὰ τὸ δυνατὸν τῇ κυριακῇ, καὶ περὶ τῶν εὐχομένων ἐν μοναστηρίοις, ἢ ἐν ἐκκλησίαις αἱρετικῶν.

ΚΕΦΑΛ. ΙΣΤ'. Περὶ λαϊκῶν πειρωμένων μὴ εἶναι τοὺς κληρικοὺς τῶν μοναστηρίων, καὶ πτωχείων καὶ μαρτυρίων ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων.

» ΙΖ'. Περὶ λαϊκῶν προστιθεμένων τοῖς ἀφοριζομένοις, ἢ ἀποσχίζουσι πρεσβυτέροις, καὶ χωρὶς τῶν ἐπισκόπων αὐτῶν θυσιαστήρια πηγνυμένων.

» ΙΗ'. Περὶ ἐπιόρκων, καὶ ἐν ποίοις δεῖ τοὺς ὀμνύοντας μὴ εὐορκεῖν.

» ΙΘ'. Περὶ τῶν ὀμνυόντων ὅρκους ἑλληνικούς.

» Κ'. Περὶ ἀποστατῶν, καὶ θυτῶν, καὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων, καὶ μαθηματικῶν, καὶ μάντεων, καὶ περιάπτων.

» ΚΑ'. Περὶ σκηνικῶν, καὶ μίμων, καὶ τῶν ὁμοίων μετανοούντων.

» ΚΒ'. Περὶ θεωρίων, καὶ παιγνίων.

» ΚΓ'. Περὶ κλεπτῶν, καὶ τυμβωρύχων, καὶ ληστῶν, καὶ ἱεροσύλων.

» ΚΔ'. Περὶ τοῦ μὴ βαλλίζειν, ἢ ὀρχεῖσθαι ἐν γάμοις.

» ΚΕ'. Περὶ τοῦ μὴ συλλούεσθαι γυναιξὶν ἄνδρας.

» ΚΣΤ'. Περὶ τοῦ χλευάζοντος τοὺς ἀσθενεῖς.

» ΚΖ'. Περὶ τοῦ μὴ εἰσιέναι γυναῖκα εἰς θυσιαστήριον, καὶ ὅτι μόνοις(1) τοῖς ἱερατικοῖς ἔξεστι κοινωνεῖν ἐν τῷ θυσιαστηρίῳ.

» ΚΗ'. Περὶ τοῦ μὴ ποιεῖν ἀπὸ συμβολῆς συμπόσια.

» ΚΘ'. Περὶ κυβευόντων ἢ μεθυσκομένων.

» Λ'. Περὶ δαιμονιζομένων.

» ΛΑ'. Περὶ τοῦ λαϊκοῦ ἀφορισθέντος, καὶ δεχθέντος ἐξ ἑτέρου παρὰ γνώμην τοῦ ἀφορίσαντος.

» ΛΒ'. Περὶ τῶν ἐν κυριακῇ ἢ σαββάτῳ νηστευόντων.

---

(1) Τὸ μόνοις οὐχ εὑρηται ἐν Β. καὶ Ἰ.

» ΛΓ'. Περὶ τῶν διδασκόντων τὸν οἶκον θεοῦ, καὶ τὰς συνάξεις εὐκαταφρονήτους.
» ΛΔ'. Περὶ λαϊκῶν πειρωμένων ἀθετεῖν τὰ τῆς ἐν Ἐφέσῳ συνόδου.
» ΛΕ'. Περὶ τῶν ἀκροωμένων τῶν γραφῶν, καὶ μέχρι τέλους μὴ προσκαρτερούντων, ἢ μὴ κοινωνούντων.
» ΛΣΤ'. Περὶ τῶν ἰδίᾳ ἐκκλησιαζόντων.
» ΛΖ'. Περὶ τοῦ ἐπιθυμήσαντος συγκαθευδῆσαι γυναικὶ καὶ μὴ πράξαντος.
» ΛΗ'. Περὶ τῶν μὴ νηστευόντων τὴν τεσσαρακοστὴν, καὶ τετράδα, καὶ παρασκευήν.
» ΛΘ'. Περὶ τῶν ἀφαιρουμένων τῆς ἐκκλησίας κηρὸν ἢ ἔλαιον.
» Μ'. Περὶ λαϊκῶν δι' ἀδικίαν(1) ἀκοινωνήτων γενομένων.
» ΜΑ'. Περὶ τοῦ μὴ διδάσκειν λαϊκούς.

ΤΙΤΛΟΣ ΙΔ'.

Περὶ κοινῶν πάντων ἀνθρώπων (2).

ΚΕΦΑΛ. Α'. Περὶ πλεονεξίας.
» Β'. Περὶ ἀλογευομένων.
» Γ'. Περὶ φονέων καὶ λῃστῶν.
» Δ'. Περὶ τοῦ τοὺς ἐπιτίμιον ἀκοινωνησίας ἔχοντας ὀφείλειν κοινωνεῖν μέλλοντας τελευτᾷν, καὶ τί γίνεται ἐὰν διὰ τοῦτο μεταλαβόντες μὴ ἀποθάνωσι.
» Ε'. Περὶ τοῦ ὀνειρασθέντος ἢ ἀπὸ κοίτης τῆς ἰδίας γαμετῆς ὄντος, καὶ θέλοντος κοινωνῆσαι, καὶ ποίας ἡμέρας δεῖ τῆς πρὸς ἀλλήλους μίξεως διὰ τοῦτο ἀπέχεσθαι.
» ΣΤ'. Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος.
» Ζ'. Περὶ τοῦ ἔχοντος γαμετὴν δαιμονιζομένην, καὶ διὰ τοῦτο θέλοντος ἄλλην λαβεῖν.

(1) Οὐχ εὕρηται ἐν Ἰουστ. Ἐρβ. καὶ Β.—(2) Περὶ κοινῶν πραγμάτων Χ. Τρ.

ΕΞΗΓΗΣΙΣ

ΤΩΝ

ΙΕΡΩΝ ΚΑΙ ΘΕΙΩΝ ΚΑΝΟΝΩΝ ΤΩΝ ΤΕ ΑΓΙΩΝ,

Καὶ πανευφήμων Ἀποστόλων, καὶ τῶν ἱερῶν οἰκουμενικῶν συνόδων, ἀλλὰ μὴν καὶ τῶν τοπικῶν ἤτοι μερικῶν, καὶ τῶν λοιπῶν ἁγίων πατέρων· πρὸς δὲ καὶ δήλωσις τῶν ἐνεργούντων νόμων καὶ μὴ ἐνεργούντων, τῶν ἀναταττομένων ἐν τοῖς δέκα πρὸς τοῖς τέσσαρσι τίτλοις τοῖς κατ' ἀρχὴν τῶν κανόνων κειμένοις, πονηθεῖσα κατὰ πρόσταξιν βασιλικὴν καὶ πατριαρχικὴν Θεοδώρῳ τῷ εὐτελεῖ διακόνῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, Νομοφύλακι, Χαρτοφύλακι, καὶ πρώτῳ τῶν Βλαχερνῶν τῷ Βαλσαμὼν(1), τῷ μετὰ χρόνους τινὰς γεγονότι Πατριάρχῃ Θεουπόλεως μεγάλης Ἀντιοχείας, καὶ πάσης ἀνατολῆς.

ΠΕΙΘΕΣΘΕ τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, φησὶν ὁ μέγας Ἀπόστολος Παῦλος ὁ τῆς Ἐκκλησίας διδάσκαλος· Βασιλεῦσι δὲ θειοτάτοις καὶ Πατριάρχαις ἁγιωτάτοις κελεύουσι δουλικῶς ὑπείκειν καὶ πείθεσθαι, πολλῷ μᾶλλον ἀπῃτημένον ἐστὶν ὡς ὀφειλόμενον. Τῷ τοι(2) καὶ ἡμεῖς ὁρισθέντες παρὰ τοῦ θεοστεφοῦς ἁγίου ἡμῶν Αὐτοκράτορος (3) κυροῦ Μανουὴλ τυῦ Κομνηνοῦ, καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ Πατριάρχου, τοῦ γεγονότος ὑπάτου τῶν φιλοσόφων, κυροῦ Μιχαὴλ τοῦ Ἀγχιάλου, τοὺς ἱεροὺς κανόνας κατασκέψασθαι, καὶ τὰ ἐν τούτοις ἀσαφῆ, καὶ τοῖς νόμοις τὸ δοκεῖν ἐναντιούμενα σαφηνίσαι καὶ ἑρμηνεῦσαι, ὡσαύτως καὶ τὰ

---

(1) Ἅπασα ἡ φράσις »τῷ μετὰ χρόνους τινὰς γεγονότι πατριάρχῃ Θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης ἀνατολῆς·» οὐχ εὕρηται ἐν Χ. Τρ.— (2) Χ. Τρ.— Αἱ δὲ ἐκδόσεις Ἐ. Ἰ. καὶ Β. γράφουσι, τοῦτο καὶ ἡμεῖς. — (3) Ἴσ. αὐθέντου. Σημ. Β.

παρὰ τοῦ ἁγιωτάτου ἐκείνου Πατριάρχου κυροῦ Φωτίου συγγραφέντα, καὶ εἰς δέκα πρὸς τοῖς τέσσαρσι τίτλους θεωρούμενα, καὶ πρὸ τῶν κανόνων συγκεφαλαιωθέντα, μετ' ἐπιστασίας πολυπραγμονῆσαι· καὶ τὰ μὲν ἐν τούτοις τεθέντα νόμιμα καὶ ἐνεργοῦντα παραδηλῶσαι, τὰ δὲ σχολάσαντα καὶ μὴ δεχθέντα κατὰ τὴν τελευταίαν ἀνακάρθασιν τῶν νόμων, τὴν γενομένην παρὰ τοῦ ἀοιδίμου Βασιλέως κυροῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, αὖθις ἀναδιδάξαι, ὡς ἂν μή τινες ἐντυγχάνωσι τούτοις, καὶ τὰ ἀπρακτήσαντα νόμιμα ὡς ἐνεργοῦντα καὶ ἔμπρακτα δέχωνται, κἀντεῦθεν ὡς πλανῆται τῆς εὐθείας καὶ βασιλικῆς ὁδοῦ ἀποτρέχωσιν, ὅπερ κἂν τῷ ῥηθέντι παναγιωτάτῳ δεσπότῃ ἡμῶν, τῷ ὑπὲρ πάντας τὰ κατὰ τὴν ἡμετέραν τέως γενεὰν ὄντας σοφοὺς σοφωτέρῳ, συμπεσεῖν ἐκινδύνευσεν ἐπὶ τῇ ὑποθέσει τοῦ μητροπολίτου ἐκείνου Ἀμασείας κυροῦ Λέοντος, πρὸς τὸ παρὸν ἀπετολμήσαμεν πόνημα, θαῤῥήσαντες ἐπὶ τῇ ἀντιλήψει καὶ τῇ εὐχῇ τῶν ἐπιτρεψάντων τοῦτο ἡμῖν. Καὶ πρῶτα μὲν τὰ ἐν τοῖς εἰρημένοις δέκα πρὸς τοῖς τέσσαρσι τίτλοις συγγραφέντα νόμιμα παρὰ τοῦ *Φωτίου* (1) τοῦ συνθεμένου τὸ νομοκάνονον, πρὸ τῆς τῶν νόμων ἀνακαθάρσεως, ὡς εἴρηται, κατασκεψάμενοι εἰς δύο αὐτὰ διείλομεν, καὶ ἐσαφηνίσαμεν ποῖα ἐξ αὐτῶν ἐνεργοῦντά εἰσιν, ὡς καὶ ἐν τῷ βασιλικῷ ἐδάφει τῶν ἑξήκοντα νομίμων βιβλίων κείμενα, καὶ τίνα τελείως ὡς μὴ δεχθέντα ἐν τῇ ἀνακαθάρσει ἠπράκτησαν. Εἶτα παρεδηλώσαμεν τίνα ἐκ τούτων ἐν τοῖς πεντήκοντα βιβλίοις τῶν διγέστων καὶ τοῖς ιϐ'. βιβλίοις τῶν κωδήκων πρὸ τούτου κείμενα, ἄρτι ἐν ποίοις βιβλίοις καὶ τίτλοις τῶν βασιλικῶν κατεστρωμένα εὑρίσκονται. Ὡσαύτως καὶ τὰ ἐν τούτοις δοκοῦντα ἐναντιοφανῆ ἐλύσαμεν κατὰ τὰς παλαιὰς ἑρμηνείας, καὶ κατὰ τὴν προσοῦσαν ἡμῖν οὐδαμινὴν γνῶσιν· ὥσπερ καὶ τὰ ἀπὸ τῶν Ἰουστινιανείων νεαρῶν μὴ δεχθέντα ἐν τῇ ἀνακαθάρσει καὶ παρὰ τοῦ *Φωτίου* (2) ὡς ἐνεργοῦντα καταγραφέντα, ὡς πέτραν σκανδάλου περιείλομεν. Καὶ ἄλλα δέ τινα χρειώδη καὶ ἐνεργοῦντα θεσπίσματα μετὰ τὴν ἀνακάθαρσιν ἐξενεχθέντα ἀπό τε βασιλικῶν προσταγ-

---

(1) Πατριάρχου Ε, Ι, καὶ Β. — (2) Πατριάρχου Ε, Ι καὶ Β.

μάτων, *καὶ σημειωμάτων* (1), καὶ νεαρῶν θεσπισμάτων, ἔτι γε μὴν (2) καὶ συνοδικῶν πράξεων ἐν τῷ τοιούτῳ πονήματι κατεστρώσαμεν, ὡς ἂν ἔχωσι πανταχόθεν οἱ ἐντυγχάνοντες τὸ ἀσφαλὲς καὶ ἀπερικλόνητον. Εἴ τι τοίνυν μὴ καθῆκον ἴσως γέγραπται ἢ ἐν τούτοις, ἢ ἐν ταῖς τῶν κανόνων ἑρμηνείαις, ἀξιούσθω συγγνώμης· οὐδὲ γὰρ ἡμέτερόν ἐστι τόλμημα τὸ τοῦ πονήματος μέγεθος, ἀλλὰ τῆς ἐξ ἀνάγκης ὑπακοῆς ἀποκύημα.

---

(1) Χ. Τρ. — οὐχ εὕρηται δ' ἐν Ἑ. Ἰ. καὶ Β.— (2) Χ. Τρ. — εἴγε μὴ Β. εἴγε μὲν Ἑ.

ΤΙΤΛΟΣ Α'.

ΠΕΡΙ ΘΕΟΛΟΓΙΑΣ,

ΚΑΙ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ, ΚΑΙ ΚΑΝΟΝΩΝ,

ΚΑΙ ΧΕΙΡΟΤΟΝΙΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περι θεολογίας καὶ ὀρθοδόξου πίστεως. Ἀποστόλων κανὼν μθ'. καὶ ν'. Συνόδου Κωνσταντινουπόλεως κανὼν ά. έ. Συνόδου Ἐφέσου κανὼν ζ'. Συνόδου Καρθαγένης κανὼν 6'. Συνόδου στ'. κανὼν ά. ογ'. πά.

Κείμενον.

Βιβλίον ά. τοῦ κώδικος τίτλ. ά. διάτ. ά. έ. στ'. ζ'. καὶ ή. (1).

Σχόλιον.

Ἡ πρώτη διάταξις (2) τοῦ ά. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικός ἐςι κεφ. ά. τοῦ ά. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον, Χριςιανός ἐςιν ὁ πιστεύων μίαν εἶναι θεότητα ἐν ἴσῃ ἐξουσίᾳ τοῦ πατρὸς, καὶ(3) τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ὁ γὰρ παρὰ τὰ εἰρημένα δοξάζων αἱρετικός ἐστιν· ἡ δὲ έ. ς'. ζ'. καὶ ή. διάτ. οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά.

---

(1) Χ. Τρ. — Ἐ. Ἰ. Β. ζ'. η'. θ'. — (2) Χ. Τρ. διαταγὴ, ἡ δὲ λέξις αὕτη εὕρηται πάντοτε ἐν τῷ Χ. τούτῳ, ὁσάκις παρατίθενται διατάξεις τοῦ κώδικος καὶ τῶν Νεαρῶν. — (3) Ὃ καὶ ἐλλείπει ἐν Ἐ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πόσους δεῖ κρατεῖν κανόνας. Συνόδου Χαλκηδόνος κανὼν ά. Συνόδου Καρθαγένης κανὼν ά. Συνόδου στ'. κανὼν ϐ'. Συνόδου Νικαίας τὸ ϐ'. κανὼν ϐ'.

Κείμενον.

Ἡ γ'. διάταξις τοῦ ϐ'. τίτλου τῶν νεαρῶν, τοὺς τῶν ἑπτὰ συνόδων κανόνας θέλει κρατεῖν καὶ τὰ δόγματα αὐτῶν ὡς τὰς θείας γραφάς. Ἐν δὲ τῷ ά. βιϐλ. τοῦ κώδικος τίτ. γ'. διατάξει μδ'., καὶ τῇ ά. καὶ δ'. διατάξει τοῦ ά. τίτλου τῶν νεαρῶν, πῇ μὲν ὅτι οἱ κανόνες ὡς νόμοι κρατοῦσι, πῇ δὲ ὅτι τοῖς κανόσιν οἱ νόμοι ἀκολουθοῦσι. Καὶ ϐιϐλ. ά. τίτλῳ ϐ'. διατ. ιϐ'. ὅτι οἱ τοῖς κανόσιν ἐναντιούμενοι πραγματικοὶ τύποι ἄκυροί εἰσιν.

Σχόλιον.

Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν ϐιϐλίῳ έ. τῶν ϐασιλ. τίτ. γ'. κεφ. ά. θέματι ά. οὕτως ἔχοντι· Θεσπίζομεν τοίνυν, τάξιν νόμων ἐπέχειν τοὺς ἁγίους ἐκκλησιαστικοὺς κανόνας τοὺς ὑπὸ τῶν ἁγίων ἑπτὰ συνόδων ἐκτεθέντας ἢ ϐεϐαιωθέντας, τουτέστι τῆς (1) ἐν Νικαίᾳ τῶν τιή. καθ' ἣν Ἄρειος (2) ὁ τῆς μανίας ἐπώνυμος ἀνεθεματίσθη, καὶ τῆς ἐν (3) Κωνσταντινουπόλει τῶν ἁγίων ρν'. πατέρων, ὑφ' ὧν ὁ πνευματομάχος Μακεδόνιος ἐστηλιτεύθη, καὶ τῆς ἐν Ἐφέσῳ ά. ἐν ᾗ Νεστόριος κατεκρίθη, καὶ τῆς ἐν Χαλκηδόνι, καθ' ἣν Εὐτυχὴς μετὰ Νεστορίου ἀνεθεματίσθη· πρὸς δὲ ταύταις τῆς ἐν Κωνσταντινουπόλει τὸ ϐ'. δι' ἧς Ὠριγένης μετὰ τῶν αὐτοῦ συγγραμμάτων, καὶ ἕτεροί τινες δυσσεϐεῖς παρεδειγματίσθησαν, καὶ ἔτι τῆς ἐν Κωνσταντινουπόλει τὸ γ'. ἥτις διαφόρους αἱρέσεις θριαμϐεύσασα τὰ τῶν προγενεστέρων ἁγίων συνόδων θεῖα δόγματα ἐπεκύρωσε, καὶ ἐπὶ πᾶσι τῆς ἐν Νικαίᾳ τὸ

---

(1) X. Τρ. — τοὺς Β. Ἑ. — (2) X. Τρ. — ὁ Ἄρειος Β. Ἑ. — (3) ἐν τῇ Β. Ἑ.

β'. ἐξ ἧς οἱ κατὰ τῶν ἁγίων εἰκόνων λυττήσαντες ἐξ ἴσου τοῖς προλαβοῦσιν αἱρετικοῖς τῆς καθολικῆς τοῦ θεοῦ ἐκκλησίας ἀπεκηρύχθησαν. Τῶν γὰρ προειρημένων ἁγίων συνόδων τὰ δόγματα, καθάπερ τὰς θείας γραφὰς δεχόμεθα, καὶ τοὺς κανόνας ὡς νόμους φυλάττομεν. Ἡ μδ'. διάτ. τοῦ γ'. τίτλ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ ά. καὶ δ'. διάταξις τοῦ ά. τίτλου τῶν νεαρῶν, ὧν ἡ μὲν ἕκτη ἐστὶ νεαρὰ Ἰουσινιάνειος, ἡ δὲ πγ'(1). Ὡσαύτως οὐδὲ ἡ ιβ'. διάτ. τοῦ β'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος· καὶ μηδὲ σὺ ταύταις προσχῇς,(2) πρῶτον μὲν ὅτι οὐδὲ ἐναντιοῦνται τῇ ρλά. Ἰουστινιανείῳ νεαρᾷ, εἶτα ὅτι οὐδὲ ἐδέχθησαν ἐν τοῖς βασιλικοῖς.

[Σημείωσαι τὴν παροῦσαν νεαρὰν *λέγουσαν*(3) ὡς νόμους κρατεῖν, μὴ μόνον τοὺς παρὰ τῶν ζ'. ἁγίων συνόδων ἐκτεθέντας κανόνας, ἀλλὰ καὶ τοὺς παρὰ τούτων βεβαιωθέντας, ἤγουν τοὺς κανόνας τῶν τοπικῶν συνόδων· καὶ ἀνάγνωθι τὸν β'. κανόνα τῆς ς'. συνόδου, βεβαιοῦντα μὴ μόνον τὰς τοπικὰς συνόδους, ἀλλὰ καὶ ἑτέρων ἁγίων συγγράμματα.]

Ἕτερον σχόλιον.

Περὶ μὲν οὖν(4) τῶν ἐν τῷ παρόντι β'. κεφαλαίῳ δηλωθέντων νομίμων ἐγράφησαν τὰ εἰκότα. Γίνωσκε δὲ ὅτι διαφόρως εἶπόν τινες καὶ ταῦτα ἐνώπιον τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου, μὴ ὀφείλειν κρατεῖν τοὺς κανόνας, ἔνθα νόμοις ἐναντιοῦνται, διὰ τὸ πρὸ τῆς ἀνακαθάρσεως τούτους συγγραφῆναι, καὶ οὕτω σχολάσαι (5) τοὺς αὐτοῖς μὴ συνάδοντας. Ἄλλοι δὲ προκομίσαντες κανόνας τοῖς νόμοις ἐναντιουμένους, καὶ χρησάμενοι τῇ παρούσῃ ρλά. νεαρᾷ τῇ κειμένῃ ἐν βιβλίῳ έ. τῶν βασιλ. τιτ. γ'. κεφ ά. λεγούσῃ τοὺς κανόνας ὡς νόμους φυλάττεσθαι, καὶ ὡς θείας γραφὰς, ἐπεστόμισαν τοὺς ἀντιθετοῦντας

---

(1) Τό τε Χ. Τρ. καὶ αἱ ἐκδ. Ἑ. Ἰ. Β. γράφουσιν ἐσφαλμένως π'. ἀντὶ πγ'. Δ. Ἐκδ. — (2) Ἡ φράσις αὕτη ἀπὸ τοῦ π ρ ῶ τ ο ν μ ὲ ν οὐχ εὕρηται ἐν Χειρ. Τρ. ἀλλ' εἰς τὰς ἐκδ. Ἐρβετίου, Ἰουστέλλου καὶ Βοέλλου. — (3) λέγουσαν Χ. Τρ. — οὐχ εὕρηται δὲ ἐν Ἑ. καὶ Β. — (4) τὸ μὲν οὖν οὐχ εὕρηται ἐν Χ. Τρ. — (5) σχολάσασθαι. Ἐρβ. Β.

αὐτοῖς· ὅτε κἀκείνων εἰπόντων ἀνένδεκτον εἶναι τὴν τοιαύτην νεαρὰν, ὡς παρὰ τοῦ Ἰουστινιανοῦ λεγομένην γενέσθαι, καὶ μεμνημένην καὶ τῶν μετὰ τὸν Ἰουστινιανὸν συνόδων, καὶ οὕτως ἄτοπόν τι δῆθεν κατασκευαζόντων, αὐτοὶ μᾶλλον κἀκτούτου καταλαμβάνεσθαι, εἶπον, τὸ οἰκειώσασθαι τὰ τῆς νεαρᾶς τὸν τὴν ἀναθεώρησιν καὶ ἀνακάθαρσιν τῶν νόμων ποιησάμενον βασιλέα. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν καὶ τοὺς τῶν μεταγενεστέρων συνόδων κανόνας ὡς νόμους κρατεῖν προσέθετο, καὶ ὡς θείας γραφὰς(1), ἀλλὰ καὶ ταύτην ὡς καὶ ἄλλας Ἰουστινιανείους νεαρὰς ἵνα(2) ἐσχόλασεν ἐκ τοῦ μὴ καταγρῶσαι αὐτὴν εἰς τὰ βασιλικὰ, ὅπερ ἐδέχθη καὶ παρὰ τῷ βασιλεῖ τῷ ἁγίῳ.

[Ἐπισημείωσαι τὴν παροῦσαν ἑρμηνείαν, καὶ ἔχων αὐτὴν ἐπὶ μνήμης, λέγε τοὺς κανόνας ἰσχύειν πλέον τῶν νόμων· οἱ μὲν γὰρ, ἦγουν οἱ κανόνες παρὰ βασιλέων, καὶ ἁγίων πατέρων ἐκτεθέντες καὶ στηριχθέντες ὡς αἱ θεῖαι γραφαὶ δέχονται· οἱ δὲ (3) νόμοι παρὰ βασιλέων μόνον ἐδέχθησαν, ἢ συνετέθησαν, καὶ διὰ τοῦτο οὐ κατισχύσουσι τῶν θείων γραφῶν οὐδὲ τῶν κανόνων.]

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ φυλάττεσθαι τὸ ἄγραφον ἐκκλησιαστικὸν ἔθος ὡς νόμον· καὶ ὅτι οὐκ ἔχομεν ἀνάγκην φυλάττειν τὰ τοῦ Μωσαϊκοῦ νόμου. Συνόδου ς'. κανὼν πά. Βασίλειος ἀπὸ τῆς πρὸς Διόδωρον ἐπιστολῆς, καὶ ἐκ τοῦ κζ'. καὶ ἐκ τοῦ κθ'. κεφ. τῶν πρὸς Ἀμφιλόχιον ἐπιστολῶν περὶ τοῦ ἁγίου πνεύματος.

Κείμενον.

Καὶ ἐπὶ τοῦ πολιτικοῦ νόμου τὸ ἔθος ὡς ἄγραφος νόμος ἰσχύει, ὅτε ἐν δικαστηρίῳ ἡ συνήθεια βεβαιωθῇ, καὶ ὅτε μὴ ἐγγράφῳ νόμῳ ἐναντιοῦται. Εἰ δὲ ἔν τισι

(1) Ἐλλείπουσιν ἐν Χ. Τρ. αἱ λέξεις καὶ ὡς θείας γραφάς. — (2) Ἴσ. ἂν Δ. ἐκδ. — (3) οἱ δὲ οἱ νόμοι Ἐρῶ. Β.

τόποις μήτε συνήθειαν τοῦ ζητουμένου ἐστὶν εὑρεῖν, τότε τῷ ἔθει τῆς Ῥώμης ἕπεσθαι δεῖ· ὡς βιβλίῳ ά. τῶν διατάξεων, τίτ. γ'. διατάξει δ'. καὶ λβ'. λγ'. λδ'. λέ. λς'. λζ'. λή., καὶ βιβλίῳ ή. τοῦ κώδικος τίτ. νβ'. διατ. ά. β'. γ'. εὕρηται δὲ καὶ βιβλίῳ ν'. τίτ. ιζ'. (1) διατ. ρβ'. ὅτι δυσχερῶς μὲν, ὅμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος παραβαίνομεν τὴν συνήθειαν.

Σχόλιον.

Τὸ δ'. διάταγμα τοῦ γ'. τίτλ. τοῦ ά. βιβλ. τῶν διατάξεών ἐστι βιβλίον τῶν βασιλικῶν β'. τίτ. ά. κεφ. μά. οὕτω λέγον· Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν· εἰδὲ καὶ τοῦτο ἐλλείπει, ἀκολουθεῖν δεῖ(2) τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ. Εἰ δὲ μήτε ταῦτα εὑρίσκεται, τότε νόμιμον, ᾧ τινι ἡ Ῥώμη κέχρηται, φυλάττειν δεῖ· καὶ θέμα β'. Ἡ παλαιὰ συνήθεια ἀντὶ νόμου φυλάττεται· καὶ θέμα ς'. Ὥσπερ ἡ θέσις τοῦ νόμου ἔγγραφος καὶ ἄγραφός ἐστι, οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ (3), ἢ δι' ἐγγράφου γίνεται νόμου ἢ δι' ἀγράφου, τουτέστι τῆς ἀχρησίας· καὶ κεφ. μβ'. Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ ἐν οἷς οὐκ ἔστιν ἔγγραφος· καὶ κεφ. μγ'. Τότε κεχρήμεθα τῇ συνηθείᾳ τινὸς πόλεως ἢ ἐπαρχίας, ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη· καὶ κεφ. μδ'. Καὶ τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα, καὶ ἐν πολλοῖς ἐνιαυτοῖς φυλαχθέντα, οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσι· καὶ κεφ. μέ. Ὡς τοσοῦτον δοκιμασθέντα ὥςε καὶ μὴ(4) δεηθῆναι ἐγγράφου· καὶ κεφ. μς'. Ἐν τῇ τῶν νόμων ἑρμηνείᾳ, τῇ συνηθείᾳ δεῖ προσέχειν τῆς πόλεως· καὶ κεφ. μζ'. Καὶ ὅπως ἐπὶ τῶν ὁμοίων διὰ παντὸς ἐψηφίσθη. Διδάσκει δὲ καὶ ὁ Στέφανος ἐν τῷ μβ'. κεφ. διδασκαλίαν ἀρίστην, καὶ λύει τὰς περὶ ἀγράφου συνηθείας ἐναντιοφανείας, λέγων οὕτως· Ἡ χρονία συνήθεια τότε ὡς νόμος κρατεῖ, ὅτε μὴ ἐγγράφῳ διαμάχηται νόμῳ. Καὶ μὴ νόμιζε τοῦτο ἐναντίον εἶναι τῷ τέλει τοῦ προλαβόντος διατάγματος (5)·

(1) Χ. Τρ. — (2) δεῖ, Χ. Τρ. οὐχ εὕρηται ἐν Ἐρβ. καὶ Β. — (3) αὐτοῦ Χ. Τρ. οὐχ εὕρηται δ' ἐν Ἐρβ. καὶ Β. — (4) Τὸ μὴ οὐχ εὕρηται ἐν Χ. Τρ. — (5) Διγέστου Χ. Τρ.

ἐκεῖ μὲν γὰρ περὶ συνηθείας λέγον φησί, ὅτι δύναται αὐτὴ νόμον ἀνελεῖν· ἐνταῦθα δὲ περὶ συνηθείας φησὶ καὶ λέγει, ὅτι καινὸν οὐκ εἰσάγει νόμιμον ἡ συνήθεια, εἰ παλαιῷ τινι νόμῳ μάχηται· δυνατὸν μὲν γὰρ ἐκ τῆς ἀσυνηθείας μὴ κεχρῆσθαι νομίμῳ, οὐ μὴν καὶ ἐναντίως κεχρῆσθαι. Σημείωσαι οὖν τὴν τοιαύτην διδασκαλίαν ὡραίαν οὖσαν, καὶ ἐν τοῖς δικαστηρίοις συχνάζουσαν (1). Ἡ δὲ ά. β'. καὶ γ'. διάταξις τοῦ νβ'. τίτ. τοῦ ή. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ ρβ'. διάτ. τοῦ ιζ'. τίτ. τοῦ ν'. βιβλίου τῶν διγέστων (2) ἐστὶ κεφ. ρπγ'. τοῦ γ'. τίτ. τοῦ β'. βιβλίου τῶν βασιλικῶν ἔχον οὕτω· Δυσχερῶς μὲν, ὅμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος ἐναλλάσσομεν τὴν συνήθειαν, πλὴν σὺ τὸν τοιοῦτον νόμον ἑρμήνευε κατὰ τοὺς ὄπισθεν καταστρωθέντας νόμους, ἤγουν ἐν τῷ παρόντι γ'. κεφ. καὶ λέγε, τότε τὴν μακρὰν συνήθειαν ἐναλλάσσεσθαι διά τι χρήσιμον, ὅτε μὴ βεβαιωθῇ αὕτη ἐν δικαστηρίῳ, καὶ ὡς νόμος ἔγγραφος (3) κρατήσῃ. Διὰ γὰρ τοῦτο καὶ ἐνταῦθα προσέθετο, τὸ δυσχερῶς μὲν, ὅμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος ἐναλλάσσομεν τὴν συνήθειαν.

Ἕτερον σχόλιον.

Νόμος ἔγγραφος (4) οὐκ ἔστι διοριζόμενος τὴν θέλουσαν ἀποκαρῆναι καὶ διαζυγῆναι τοῦ οἰκείου ἀνδρὸς μὴ ἀπεντεῦνθεν ἀποκείρεσθαι, ἀλλ' εἰς μοναστήριον ἀπάγεσθαι καὶ διὰ τριμηναίου καιροῦ δοκιμάζεσθαι, μή ποτε κατ' ἀψιμαχίαν τὴν ἀπόκαρσιν ἐξητήσατο. Ἀλλ' ἐξ ἀγράφου συνηθείας δοκιμασθείσης πολλάκις ἐπὶ δικαστηρίου καὶ βεβαιωθείσης νενόμισται μὴ ἄλλως τὴν ἀπόκαρσιν ἐπιτρέπεσθαι τῆς γυναικὸς, εἰ μὴ μετὰ τρίμηνον ἐρωτωμένη, τῷ ἀγαθῷ τούτῳ σκοπῷ ἐμμένει. Καὶ ἐγυμνάσθησαν τὰ περὶ τούτου ἐφ' ἱκανὸν ἐπὶ βασιλικοῦ βήματος· πολλῶν γὰρ λεγόντων ὀφείλειν τὴν γυναῖκα τοῦ Πυρρογεωργίου ἐκείνου ἀπεντεῦθεν ἀποκαρῆναι, διὰ τὸ εἶναι αὐτὴν φρονήματος στερεοῦ ὡς καὶ τεσσαράκοντα ἔτη οὖσαν, μὴ εἶναι δὲ νόμον ἔγγραφον χάριν τοῦ τριμήνου, ὁ θεοσεφὴς(5), κράτιστος, καὶ

(1) Ἡ λέξις συχνάζουσαν οὐχ εὕρηται ἐν Χ. Τρ. — (2) τοῦ κώδικος, Β. Ἰ. τῶν διατάξεων Ἑ. — (3) Ἄλλως, ἄγραφος. — (4) Χ. Τρ. — ἄγραφος Ἑ. Β. Ἰ. — (5) θεισεβὴς Χ. Τρ.

ἅγιος ἡμῶν βασιλεὺς τὴν μακρὰν συνήθειαν, κυρωθεῖσαν ὡς εἴρηται, ἀντὶ νόμου ἐγγράφου ἐδέξατο, καὶ σημειώματι ἐστήριξεν (1), ὥςε τότε ἡ ἄγραφος συνήθεια παραβαίνεται τοῦ δικαίου ἀπαιτοῦντος, ἤγουν αἰτιῶν προκειμένων εὐλόγων, ὅτε μὴ ἐβεβαιώθη διὰ δικαστικῆς διαγνώσεως· εἶδον γὰρ καὶ ἄγραφον συνήθειαν μὴ οὕτω κυρωθεῖσαν ἀθετηθεῖσαν. Συνηθείας γὰρ οὔσης τοὺς ἀπὸ ἱερέων λαϊκοὺς μονάσαντας, καὶ ὄντας πρότερον καταγεγραμμένους εἰς διακονίας ἱερέων, καὶ μετὰ τὸν μοναδικὸν (2) βίον τῷ τῶν διακονιῶν συγκαταλέγεσθαι σώματι(3) καὶ μετὰ λαϊκῶν ἱερέων συναναστρέφεσθαι, ὁ παναγιώτατος ἡμῶν δεσπότης κύριος Μιχαὴλ τὴν μακρὰν ταύτην συνήθειαν ὡς οὐδὲν ἐλογίσατο, καὶ διωρίσατο ἀπὸ μόνον λαϊκῶν ἱερέων τὰς διακονίας συνίστασθαι, καὶ τοὺς μοναχοὺς παρὰ ταῖς οἰκείαις προσεδρεύειν μοναῖς, συνηθείας οὔσης τοῖς Ἰουδαίοις δικάζεσθαι παρὰ μόνῳ τῷ στρατηγῷ τοῦ στενοῦ, ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν (4) βασιλεὺς διωρίσατο παρὰ παντὸς δικαστηρίου κατὰ νόμους τούτους δικάζεσθαι· καὶ ἡ συνήθεια ἐλογίσθη ὡσεὶ οὐδὲν μὴ στηριχθεῖσα νομίμως.

[Σημείωσαι τὴν παροῦσαν ἑρμηνείαν χάριν ἀγράφου συνηθείας ὡς ἀναγκαιοτάτην διαφόρων νόμων περὶ μακρᾶς συνηθείας νομοθετούντων, καὶ ἐναντιουμένων ἀλλήλοις, ὡς τῶν μὲν λεγόντων τὴν μακρὰν συνήθειαν ἐν δικαστηρίῳ στηριχθεῖσαν ἄκυρον εἶναι ὅτε νομίμῳ ἐναντιοῦται ἐγγράφῳ, τῶν δὲ παρακελευομένων ταύτην κρατεῖν κἂν ἐγγράφῳ ἐναντιοῦται. Τὸ παρὸν ς'. θέμα τοῦ μή. κεφ. τοῦ ά. τίτ. τοῦ β'. βιβλίου τῶν βασιλικῶν λύει τὴν ἐναντιοφάνειαν· φησὶ γὰρ τὴν θέσιν τοῦ νόμου ἄγραφον εἶναι καὶ ἔγγραφον, ὡσαύτως καὶ τὴν ἀναίρεσιν, καὶ τὴν μὲν θέσιν διὰ τῆς ὑπὸ ἀγράφου συνηθείας ἀχρησίας ὡς ἐπιβαρῆ τοῖς ὑπηκόοις ἀναιρεῖσθαι διὰ τὸ φιλάνθρωπον· τὴν δὲ ἀναίρεσιν διὰ συνηθείας ἤτοι ἀγράφου νόμου μὴ ἀπρακτεῖν, διὰ τὸ ἐναντιοῦσθαι φιλανθρώπῳ νόμῳ· οὕτω λύσον τὴν ἐναντιοφάνειαν, ἀκολούθως τῷ διαλεχθέντι κεφαλαίῳ, τῇ ἑρμηνείᾳ τοῦ Στε-

(1) ἐπεστήριξε Χ. Τρ. — (2) Χ. Τρ. μονάδα Ἐρβ. Β. Ἰ. — (3) σώματι πειρωμένους, καὶ μετὰ λαϊκῶν Χ. Τραπ. — (4) αὐθέντης βασιλεὺς Χ. Τρ.

φάνου, καὶ τῷ νόμῳ τῷ λέγοντι, πρὸς τὸ φιλανθρωπότερον τοὺς νόμους ἑρμηνεύεσθαι. Περὶ ἐκείνης μέντοι τῆς συνηθείας ἐκλαβοῦ (8) ταῦτα τῆς ἐν δικαστηρίῳ στηριχθείσης.]

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὅτι οὐχ ὑφ' ἑνὸς ἐπισκόπου ἀλλ' ὑπὸ τῆς κοινότητος οἱ κανόνες ἐκτίθενται. Βασιλείου κανὼν περὶ τὸ τέλος μζ'. Γρηγορίου Νύσσης περὶ τὰ μέσα κανὼν στ'.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ Πατριαρχῶν, καὶ μητροπολιτῶν, καὶ τῶν ἐν Ἀφρικῇ λεγομένων πριμάτων (9). Ἀποστόλων κανὼν λδ'. Συνόδου Νικαίας δ'. στ'. ζ'. Συνόδου Ἀντιοχείας κανὼν θ'. Συνόδου Κωνσταντινουπόλεως κανὼν 6'. γ'. Συνόδου Ἐφέσου κανὼν ή. Συνόδου Χαλκηδόνος κανὼν θ'. ιζ'. κή. Συνόδου Σαρδικῆς κανὼν γ'. δ'. έ. Συνόδου Καρθαγένης κανὼν ιζ'. λθ'. Συνόδου στ'. κανὼν λστ'. λθ'.

Κείμενον.

Περὶ τῆς τάξεως τῶν Πατριαρχῶν, καὶ τῶν παρ' αὐτῶν καὶ τῶν λοιπῶν ἐπισκόπων ὑπὲρ τῆς αὐτῶν χειροτονίας διδομένων· καὶ ὅτι πασῶν τῶν ἐκκλησιῶν κεφαλή ἐστιν ἡ Κωνσταντινούπολις, ἀνάγνωθι βιβλίον ά. τοῦ κώδικος τίτ. ά. διατ. ζ'. τίτ. 6'. διατ. στ'. καὶ κ'. καὶ κδ'. καὶ τίτ. ά. τῶν νεαρῶν διατ. 6'. καὶ τίτ. 6'. διατ. γ'. ἡ δὲ ιστ'. διάτ. τοῦ 6'. τίτ. τοῦ ά. βιβλίου φησίν, ὅτι ὁ (2) Κωνσταντινουπόλεως ἔχει τῶν ἄλλων προεδρίαν. Καὶ ἡ ή. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν καὶ ἡ γ'. τοῦ 6'. τίτ. ποιοῦσι τὸν πρίμας Ἰουστινιανῆς ἀρχιεπίσκοπον, καὶ ὅτι μείζων ἐστὶ μητροπολίτου, καὶ ὅτι ὑπὸ τῆς συνόδου αὐτοῦ χειροτονεῖται, καὶ ποίας ἐπαρχίας ἔχει.

(8) ἐκβαλοῦ B. — (9) πριβάτων X. Tp. — (2) ἡ X. Tp.

Σχόλιον.

Ἡ ζ'. διάτ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ ς'. διάτ. τοῦ β'. τίτλου τοῦ αὐτοῦ βιβλίου ἐστὶ κεφ. ς'. τοῦ ά. τίτ. τοῦ έ. βιβλ. τῶν βασιλικῶν, καί φησιν οὕτω· Δεῖ τοὺς ἐν τῷ Ἰλλυρικῷ περὶ κανονικοῦ τινος ζήτησιν ποιουμένους ἀναφέρειν τοῦτο ἐπὶ τὸν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, καὶ παρ' αὐτοῦ τῇ ἱερατικῇ συνόδῳ καὶ ἁγίᾳ κρίσει καὶ θείῳ νόμῳ διακρίνεσθαι. Ἡ δὲ κ'. καὶ κδ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά. Ἡ μέν τοι β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος, ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. θ'. οὕτως ἔχοντι· Πρὸ δὲ πάντων ἐκεῖνο θεσπίζομεν φυλαχθῆναι, ἵνα μηδεὶς διὰ δόσεως χρυσίου ἢ ἄλλων πραγμάτων ἐπίσκοπος χειροτονηθῇ. Εἰ δέ τι τοιοῦτον ἁμαρτηθείη, αὐτοὶ ἑαυτοὺς οἱ διδόντες, καὶ οἱ λαμβάνοντες, καὶ οἱ μέσοι αὐτῶν κατὰ τὰς θείας γραφὰς καὶ τοὺς θείους κανόνας κατακρίσει ὑποβάλλουσι· καὶ διὰ τοῦτο καὶ ὁ διδοὺς καὶ ὁ λαμβάνων καὶ ὁ μέσος γενόμενος τῆς ἱερωσύνης, ἢ τῆς τοῦ κλήρου τιμῆς ἀποκινείσθω. Τὸ δὲ ὑπὲρ ταύτης τῆς αἰτίας δοθὲν, τῇ ἐκκλησίᾳ ἐκείνῃ ἐκδικείσθω ἧς ἐβουλήθη τὴν ἱερωσύνην ὠνήσασθαι. Εἰ δὲ καὶ κοσμικὸς εἴη ὁ ὑπὲρ ταύτης τῆς αἰτίας ἀντιλαμβάνων, ἢ μέσος τῷ πράγματι γινόμενος, τὰ δοθέντα πράγματα ἐν διπλῷ αὐτὸν ἀπαιτεῖσθαι κελεύομεν, τῇ ἐκκλησίᾳ ἐκδικηθησόμενα. Οὐ μόνον δὲ τὰ κατὰ τοῦτον δεδομένα τὸν τρόπον ἐκδικεῖσθαι προσάττομεν, ἀλλὰ καὶ πᾶσαν ἀσφάλειαν ὑπὲρ τούτου καθ' οἱονδήποτε τρόπον ἐκτεθεῖσαν, καὶ τὴν τῶν ἐνεχύρων ἢ τὴν τοῦ ἐγγυητοῦ ἐνοχὴν καὶ πᾶσαν ἄλλην οἱανδήποντε ἀγωγὴν ἀργεῖν θεσπίζομεν. Καὶ πρὸς τούτοις, ὁ τὴν ὑπόσχεσιν λαμβάνων μὴ μόνον τὴν ὁμολογίαν ἀποδιδότω, ἀλλὰ καὶ ἄλλο τοσοῦτον ὅσον ἡ ὁμολογία περιέχει ἀπαιτείσθω ὀφεῖλον τῇ ἐκκλησίᾳ δοθῆναι. Εἴ τις μέν τοι ἐκ τῶν ἐπισκόπων εἴτε πρὸ τῆς ἰδίας χειροτονίας, ἢ μετὰ τὴν χειροτονίαν βουληθῇ τὰ ἴδια πράγματα, ἢ μέρος ἐξ αὐτῶν προσαγαγεῖν τῇ ἐκκλησίᾳ, ἧς τὴν ἱερωσύνην λαμβάνει, οὐ μόνον οὐ κωλύομεν, καὶ πάσης καταδίκης καὶ ποι-

νῆς τοῦ παρόντος νόμου(1) ἐλεύθερον εἶναι θεσπίζομεν, ἀλλὰ καὶ παντὸς ἐπαίνου ἄξιον κρίνομεν, ἐπειδὴ τοῦτο οὐκ ἔστιν ἀγορὰ (2) ἀλλὰ προσφορά. Ἡ ις'. διάτ. τοῦ β'. τίτ. τοῦ ά. βιβλ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά· οὐδὲ ἡ ή. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ιά. οὖσα Ἰουστινιάνειος νεαρά. Ἡ δὲ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλ. έ. τῶν βασιλ. τίτ. γ'. κεφ. ά. θέματι β'. οὕτως ἔχουσα· Καὶ διὰ τοῦτο θεσπίζομεν κατὰ τοὺς αὐτῶν ὅρους τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης Πάπαν πρῶτον εἶναι πάντων τῶν ἱερέων, τὸν δὲ μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως τῆς Νέας Ῥώμης δευτέραν τάξιν ἐπέχειν, μετὰ τὸν ἁγιώτατον ἀποστολικὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης, τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι. Τὸν δὲ κατὰ καιροὺς μακαριώτατον ἀρχιεπίσκοπον τῆς πρώτης Ἰουστινιανῆς τῆς ἡμετέρας πατρίδος ἔχειν ἀεὶ ὑπὸ τὴν οἰκείαν δικαιοδοσίαν τοὺς ἐπισκόπους τῶν ἐπαρχιῶν Δακίας Μεδιτερρανίας, καὶ Δακίας Ῥιπενσίας, Πραιβαλέας, καὶ Δαρδανίας, καὶ Μυσίας τῆς ἀνωτέρας, καὶ παρ' αὐτοῦ τούτους χειροτονεῖσθαι, καὶ ἐν αὐταῖς ταῖς ὑποκειμέναις αὐτῷ ἐπαρχίαις τὸν τόπον ἐπέχειν αὐτὸν τοῦ ἀποστολικοῦ Ῥώμης θρόνου, κατὰ τὰ ὁρισθέντα ὑπὸ τοῦ ἁγίου Πάπα Βιγιλίου (3). Καὶ τὸν ὅμοιον τρόπον τὸ δίκαιον τῆς ἀρχιερωσύνης, ὅπερ τῷ ἐπισκόπῳ Ἰουστινιανῆς Καρχηδόνος τῆς Ἀφρικῆς διοικήσεως δεδώκαμεν, ἐξ οὗ περ ὁ θεὸς ταύτην ἡμῖν ἀπεκατέστησε, φυλάττεσθαι κελεύομεν.

[Σημείωσαι(4) ἀπὸ τῆς παρούσης Ἰουσινιανείου νεαρᾶς τὰ προνόμια τοῦ ἀρχιεπισκόπου Βουλγαρίας, οὗτος γάρ ἐστιν ἀρχιεπίσκοπος τῆς ά. Ἰουσινιανῆς τῆς πατρίδος τοῦ βασιλέως Ἰουσινιανοῦ. Καὶ ἡ μὲν Βουλγαρία διὰ τοῦτο καλεῖται Ἰουσινιανή, διὰ τὸ τὸν βασιλέα Ἰουστινιανὸν ἀποκαταστῆσαι τῇ βασιλείᾳ τῶν Ῥωμαίων τὴν τοιαύτην χώραν. Διὰ γὰρ τοῦτο μέμνηται τὸ παρὸν κεφάλαιον εἰς τὴν ἐπιγραφὴν καὶ τῶν πριβάτων τῆς ἐν τῇ Ἀφρικῇ Καρχηδόνος, δηλονότι τῶν προνομίων αὐτῆς. Πρίβα-

(1) Χ. Τρ. Αἱ δὲ ἐκδ. Ἰ. Ἑ. Β. θεσπίζομεν τοῦ παρόντος νόμου.—(2) ἀγοραία Χ. Τρ. — (3) Χ. Τρ. καὶ Ἑ. — Οἱ δὲ Ἰ. καὶ Β. Βασιλείου. — (4) Ἡ Σ. αὕτη σφαλερὰ ὡς στηριζομένη εἰς τὴν ἐσφαλμένην γραφὴν πριβάτων ἀντὶ πριμάτων Β.

τον γὰρ λέγεται κατὰ Λατίνους τὸ εἰδικὸν, καὶ ἀνάγνωθι τὸ τέλος τοῦ σχολίου τοῦ παρόντος κεφ. μέρος ὂν τῆς ρλά. Ἰουστινιανείου νεαρᾶς, καὶ διοριζόμενον ἔχειν καὶ τὴν ἐκκλησίαν τῆς Καρχηδόνος τὰ προνόμια τοῦ ἀποστολικοῦ θρόνου.]

ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄.

Περὶ τοῦ τίνας καὶ ποῦ χειροτονοῦσιν ἐπισκόπους, ἢ κληρικοὺς, καὶ ἐὰν ὁ χειροτονηθεὶς διὰ λιβέλλου παραιτεῖται τὴν ἐπισκοπήν. Ἀποστόλων κανὼν ά. β΄. λέ. Συνόδου Νικαίας κανὼν δ΄. Συνόδου Ἀντιοχείας κανὼν ιγ΄. ιθ΄. κβ΄. Συνόδου Λαοδικείας κανὼν έ. ιβ΄. Συνόδου Ἐφέσου κανὼν ή. καὶ ἐπιστολὴ πρὸς τὴν ἐν Παμφυλίᾳ σύνοδον. Συνόδου Σαρδικῆς κανὼν στ΄. Συνόδου Χαλκηδόνος κανὼν κή. Συνόδου Καρθαγένης κανὼν ιγ΄. ιή. μθ΄. νστ΄. Συνόδου στ΄. κανὼν λγ΄. λζ΄. Συνόδου Νικαίας τὸ β΄. κανὼν β΄. Συνόδου ά. καὶ β΄. συγχροτηθείσης ἐν Κωνσταντινουπόλει, ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, κανὼν ιστ΄. Βασιλείου ἐπιστολὴ πρὸς τοὺς χωρεπισκόπους. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς, κανὼν ά. γ΄. Κυρίλλου ἐκ τῆς πρὸς τοὺς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῆς, κανὼν ά. γ΄. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν στ΄.

Κείμενον.

Βιβλίον ά. τοῦ κώδικος τίτ. γ΄. διάτ. ιβ΄. λ΄. μβ΄. μζ΄. νβ΄. καὶ τίτ. ά. τῶν νεαρῶν διάτ. ά. β΄. καὶ ιζ΄.

Σχόλιον.

Ἡ ιβ΄. διάτ. καὶ ἡ λ΄. μβ΄. μζ΄. καὶ νβ΄. τοῦ γ΄. τίτλου τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά. Ὁ δὲ ά. τίτ. τῶν νεαρῶν, καὶ ἡ αὐτοῦ ά. καὶ β΄. καὶ ιζ΄. διατάξεις ἐτέθησαν εἰς νεαρὰς τοῦ Ἰουστινιανοῦ ς΄. ρκγ΄. καὶ ρλζ΄. πλὴν ἡ μὲν ς΄. οὐκ ἐτέθη εἰς τὰ βασιλικά· ἡ δὲ ρκγ΄. ἐστὶ κεφάλαιον θ΄. τοῦ ά. τίτ. τοῦ γ΄. βιβλίου, ὅπερ καὶ ἐτέθη παρ' ἡμῶν

εἰς κεφάλαιον έ. τοῦ παρόντος τίτ. καὶ ζήτει αὐτό. Ἡ δὲ ρλζ' νεαρά ἐστι κεφ. ή. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου, ὅπερ κατετέθη(1) εἰς σχόλιον τοῦ ή. κεφ. τοῦ παρόντος τίτλου περὶ τὸ τέλος, καὶ ζήτει τοῦτο.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ μὴ χρῆν τοῖς ὄχλοις ἐπιτρέπειν τὴν τῶν ἱερέων ἐπιλογήν. Συνόδου Λαοδικείας κανὼν ιγ'. Συνόδου Νικαίας τὸ β'. κανὼν γ'.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς γενομένης ἀντιλογίας ἐπὶ τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου. Συνόδου Ἀντιοχείας κανὼν ιθ'. Συνόδου Καρθαγένης κανὼν μθ'.

Κείμενον.

Τίτλος ά. τῶν νεαρῶν διάτ. ά. β'. ιζ'. ἐν οἷς καὶ περὶ ἀντιλογίας χειροτονίας κληρικῶν, καὶ ἡγουμένων. Ἡ μὲν γὰρ πρώτη διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν παρακελεύεται τὰς τῶν ἐπισκόπων χειροτονίας ἐπὶ παντὸς τοῦ λαοῦ τῆς ἐκκλησίας γίνεσθαι, πρὸς τὸ ἄδειαν ἔχειν πάντα τὸν βουλόμενον ἀντιλέγειν· καὶ εἴγε πρὸ τῆς χειροτονίας γένηται ἡ ἀντίῤῥησις, μὴ πρότερον χειροτονεῖσθαι, πρὶν ἂν ἡ ἐξέτασις γένηται, καὶ φανῇ πανταχόθεν ἀνεύθυνος· εἰ δὲ πρὸ τῆς ἐξετάσεως χειροτονηθείη, τῆς ἱερατείας (2) ἐκπεσεῖται σὺν τῷ χειροτονήσαντι. Εἰ μέν τοι ὁ πρὸ τῆς χειροτονίας ἀντειπὼν συκοφάντης φανείη, ἢ μὴ ἐπεξέλθῃ, χωριζέσθω διηνεκῶς τῆς ἁγίας κοινωνίας παρὰ τοῦ τὴν χειροτονίαν ποιοῦντος, ἡ δὲ χειροτονία γινέσθω. Ἡ δὲ δευτέρα διάταξις τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ἐὰν ἡ ἀντίῤῥησις ἐπὶ αἰτίᾳ γένηται ἐμποδί-

(1) κατεστρώθη Χ. Τρ. — (2) Χ. Τρ. — χειροτονίας Ἐ. Ἰ. καὶ Β.

σαι τῇ χειροτονίᾳ δυναμένῃ κατὰ τοὺς νόμους ἢ τοὺς κανόνας, καὶ ὅτι παρόντος ἑκατέρου μέρους ἡ ἐξέτασις γίνεται, ἢ τοῦ κατηγόρου ὑπερτιθεμένου ἐπὶ τρεῖς μῆνας πληρῶσαι τὴν κατηγορίαν, καὶ ὅτι μὴ δεικνὺς ὁ κατήγορος ἢ ἀποφεύγων ἐκβάλλεται τῆς ἐπαρχίας ἧ ἐνοικεῖ. Γινομένης δὲ τῆς χειροτονίας πρὸ τῆς ἐξετάσεως, ὁ μὲν χειροτονηθεὶς ἐξωθεῖται, ὁ δὲ χειροτονήσας ἐπὶ ἐνιαυτὸν κωλύεται τῆς ἁγίας (2) λειτουργίας, καὶ πᾶσα ἡ οὐσία αὐτοῦ προσκυροῦται τῇ κατ' αὐτὸν ἐκκλησίᾳ. Ἡ αὐτὴ δὲ διάταξις θέλει τὰ αὐτὰ κρατεῖν καὶ ἐπὶ ταῖς χειροτονίαις τῶν κληρικῶν. Ἡ δὲ ιζ'. διάταξις τοῦ αὐτοῦ τίτλου φησὶν, ὅτι τινὸς κατηγοροῦντος ἐφ' οἵᾳ δήποτε αἰτίᾳ τοῦ μέλλοντος χειροτονεῖσθαι, γινέσθω πρότερον ἡ ἐξέτασις τοῦ κατηγόρου ἐπεξιόντος· εἰ δὲ ἀπολειφθῇ ἢ ἀναβάλληται, ποιείτω τὴν ζήτησιν εἴσω τριῶν μηνῶν ὁ μέλλων χειροτονεῖν, καὶ ἐὰν ἀνεύθυνος φανῇ, παρόντος ἢ ἀπολειφθέντος τοῦ κατηγόρου χειροτονείσθω· καὶ ὁ κατήγορος, εἰ μὲν κληρικός ἐστιν, ἐκβάλλεται τοῦ βαθμοῦ· εἰ δὲ λαϊκὸς, σωφρονίζεται. Τῆς δὲ χειροτονίας γινομένης πρὸ ἐξετάσεως, τῆς ἱερωσύνης ὁ χειροτονήσας καὶ ὁ χειροτονηθεὶς ἐκβάλλονται. Λέγει δὲ τὰ αὐτὰ κρατεῖν καὶ ἐπὶ χειροτονίᾳ κληρικῶν, καὶ ἐπισκόπων, καὶ ἡγουμένων.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ ά. τίτλ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάν. ς'. ἥτις οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ β'. διάτ. τοῦ αὐτοῦ τίτλου τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. τοῦτο δὲ αὐτῆς τὸ κεφ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ ιζ'. διάτ. ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ' (3) κειμένη ἐν βιβλ. γ'. τῶν βασιλικῶν τιτ. ά. κεφ ή. οὕτως ἔχοντι· Εἰ δέ τις κατηγορίαν ποιήσηται κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου, ἢ ἄλλου κληρικοῦ, καὶ ἡγουμένου, ἐφ' οἵᾳ δήποτε αἰτίᾳ, ἀναβαλλέσθω

(2) θείας Χ. Τρ. — (3) ρλζ'. Χ, Τρ. καὶ Ἑ.

ἡ τοιαύτη χειροτονία, καὶ γινέσθω πρότερον ἐξέτασις τῆς κατηγορίας παρόντος τοῦ κατηγόρου καὶ ἐπεξιόντος τοῖς παρ' αὐτοῦ προσαγγελθεῖσιν. Εἰ δὲ ἀπολιμπάνοιτο, ἢ ἀναβάλλοιτο ὁ κατήγορος, καὶ οὕτως ὁ τὴν χειροτονίαν μέλλων ποιεῖν ζήτησιν ἀκριβεστάτην ποιείσθω μηνῶν εἴσω τριῶν, καὶ εἰ μὲν ὑπεύθυνον εὕρῃ τὸν τὴν κατηγορίαν ὑπομείναντα, εἴτε κατὰ τοὺς θείους κανόνας, εἴτε κατὰ τοὺς ἡμετέρους νόμους, κωλέσθω ἡ χειροτονία. Εἰ δὲ ἀνεύθυνος φανείη, εἴτε παρόντος τοῦ κατηγόρου ἢ καὶ ἀπόντος, γινέσθω ἡ χειροτονία. Ὁ δὲ κατήγορος, εἴτε παρὼν μὴ ἀποδείξῃ, εἴτε ἀποφύγῃ, εἰ μὲν κληρικὸς εἴη, ἐξωθείσθω τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκὸς εἴη, τὸν προσήκοντα σωφρονισμὸν ὑπομενέτω. Εἰ δέ τις πρὸ ἐξετάσεως τὸν κατηγορηθέντα χειροτονήσῃ, ὅ,τε χειροτονήσας, καὶ ὁ χειροτονηθεὶς τῆς ἱερωσύνης ἐκβαλλέσθω.

[Σημείωσαι τὴν παροῦσαν νεαρὰν διηνεκεῖ ἀφορισμῷ καθυποβάλλουσαν τὸν συκοφαντικῇ ψυχῇ κωλύσαντα τὴν τοῦ ἐπισκόπου χειροτονίαν· ὅπερ ἐστὶ καινὸν καὶ διὰ τοῦτο καὶ ἀνῃρέθη. Ἔτι σημείωσαι, ὅτι οὔτε ἡ ἕκτη νεαρὰ τοῦ Ἰουστινιανοῦ ἡ διηνεκεῖ ἀφορισμῷ τὸν κατήγορον καθυποβάλλουσα, οὔτε τὸ τῆς ρκγ'. νεαρᾶς κεφάλαιον διοριζόμενον ἐκβάλλεσθαι τῆς ἐπαρχίας ᾗ ἐνοικεῖ τὸν κατήγορον, ἐδέχθησαν εἰς τὰ βασιλικά· ἀλλὰ τὸ φιλανθρωπότερον κεφάλαιον τῆς αὐτῆς νεαρᾶς, τὸ διοριζόμενον τὸν τοιοῦτον συκοφάντην λαϊκὸν μὲν ὄντα σωφρονίζεσθαι, κληρικὸν δὲ καθαιρεῖσθαι. Ἀλλὰ καὶ τὸ ἐντὸς μηνῶν τριῶν τέμνεσθαι τὴν κατὰ τοῦ χειροτονεῖσθαι ὀφείλοντος εἰσαγομένην κατηγορίαν, ἢ παρόντος τοῦ κατηγόρου ἢ καὶ ἀπόντος, εἰδικόν ἐστι διὰ τὸ χρήσιμον τῆς χειροτονίας. Νομίζω οὖν, ὅτι οἱ μεταγενέστεροι νόμοι οἱ διοριζόμενοι διὰ τριακονθημέρων ἐπιφωνημάτων μετακαλεῖσθαι τοὺς κατηγόρους, καὶ τὰ λοιπὰ τὰ περὶ κατηγόρων νομοθετηθέντα οὐκ ἔχουσι χώραν ἐπὶ τοῦ παρόντος θέματος (1). Εἰ γὰρ δοθείη τοῦτο, σχολάσει τὸ γίνεσθαι τὴν ἐξέτασιν ἐντὸς τριμηναίου καιροῦ. Ἡ μέν τοι τῶν ἐγ-

(1) θεσπίσματος Β, ἐν περισελίδῳ.

γράφων δόσις ἀπαραίτητος(1) γενήσεται, τοῦ κατηγόρου δι' ὀλιγοημέρων μηνυμάτων ἐγγράφων μεταχαλουμένου.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι. Συνόδου Χαλκηδόνος κανὼν κέ. Συνόδου στ'. κανὼν ιδ'.

Κείμενον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν ὅτι, ἐὰν ὑπέρθωνται οἱ τῆς πόλεως ἐφ' ἓξ μῆνας ψηφίσασθαι τὸν ἐπίσκοπον, ποιείτω τὴν χειροτονίαν ᾧ τινι ἁρμόζει, κινδύνῳ τῆς ἑαυτοῦ ψυχῆς, τῶν ἄλλων πάντων παραφυλαττομένων.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. τοῦτο δὲ αὐτῆς τὸ κεφάλαιον οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἔσο δὲ εἰδὼς ὡς *τούτῳ* (2) τῷ νομίμῳ χρώμενος ὁ ἁγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης κὺρ Μιχαὴλ ἐπεφωνήσατο τὸν μητροπολίτην ἐκεῖνον Ἀμασείας κὺρ Λεόντιον (3) ἐκ τρίτου, χάριν τοῦ (4) ψηφίσασθαι τὴν ἐπισκοπὴν τὴν Ἀμισὸν πρὸ χρόνου ἑνὸς ἤδη χηρεύσασαν(5). Ἔλεγε γὰρ ὡς ἐπεὶ χρονιαῖος παρῆλθε καιρὸς, καὶ ἡ Ἀμισὸς οὐκ ἐψηφίσθη παρὰ τοῦ μητροπολίτου, ἀλλὰ καὶ τρία γεγόνασι πρὸς αὐτὸν ἐπιφωνήματα ἐξ ὁρισμοῦ τούτου, ὡς ἂν ψηφίσαιτο(6) τὴν ἐπισκοπὴν, ὁ δὲ οὐκ ἐποίησε τοῦτο, καλῶς αὐτὸς κατὰ τὴν περίληψιν τοῦ τοιούτου νόμου, ἵνα ψηφίσηται αὐτὴν, καὶ ποιήσῃ τὴν χειροτονίαν τοῦ ψηφισθησομένου· ὅτε καί τινων λεγόντων μὴ δεχθῆναι εἰς τὰ βασιλικὰ τὴν τοιαύτην τῆς νεαρᾶς διάταξιν (7), κἀντεῦθεν ἄπρακτον εἶναι, αὐτὸς ἐπέμενε λέγων, μὴ δίκαιον εἶναι κεραίαν ἀθετηθῆναι ἐκ τῶν ἐν τῷ νομοκάνονι γεγραμμένων, τῷ ὡς θεογρά-

(1) ἀπαραιτήτως Χ. Τρ. — (2) Χ. Τρ. — ὡς τῷ νομίμῳ Β. — (3) Χ. Τρ. — Κύριον Λέοντα Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. — τοῦ μὴ ψηφίσασθαι Ἑ. Ἰ. Β. — (5) χηρεύουσαν Χ. Τρ. — (6) Χ. Τρ. ψηφίσηται. Β. — (7) διάστιξιν Χ. Τρ.

φους πλάκας παρὰ τῇ ἐκκλησίᾳ λογιζομένῳ· ἀλλ᾽ ὕστερον μαθὼν ἔκ τε τῶν βασιλικῶν χειλέων, καὶ ἐκ τῶν προκρίτων τῆς συγκλήτου βουλῆς, ὅπερ καὶ πρότερον ἤκουεν, εἰς τὴν τοῦ παρόντος πονήματος ἐπέσπευσε συγγραφὴν, καθὼς καὶ ἐν τῷ προοιμίῳ παρεδήλωσαμεν· τῆς γοῦν τοιαύτης νεαρᾶς μὴ ἐνεργούσης κρατεῖ ὁ κέ. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου(1). Ὁ χάριν τῆς χειροτονίας τοῦ ἐπισκόπου τῷ παρόντι κανόνι περιεχόμενος χρόνος διττῶς ἑρμηνεύεται. Ὁ μὲν γὰρ κέ. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου διορίζεται ἐντὸς τριῶν μηνῶν εἰς τὰς χηρευούσας ἐκκλησίας ἐπισκόπους ἐπικηρύττεσθαι· ὁ δὲ ιδ'. κανὼν τῆς ς'. συνόδου περὶ τοῦ χρόνου τῆς ἡλικίας τοῦ ἐπισκόπου διδάσκει· ἡ δὲ παράβασις ἐκείνου μὲν ἐκκλησιαστικῷ καθυποβάλλει ἐπιτιμίῳ, τούτου δὲ καθαιρέσει.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τοῦ μὴ χειροτονεῖσθαί τινα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ χριστιανοὺς ὀρθοδόξους ποιῆσαι. Συνόδου Καρθαγένης κανὼν λστ'.

Κείμενον.

Καὶ ἡ ιή. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλίου καὶ ἡ ί. τοῦ ιά. τίτ. τιμωρεῖται τοὺς Σαμαρείτας καὶ Ἕλληνας βαπτιζομένους, καὶ μὴ προσάγοντας γαμετὰς αὐτῶν καὶ παῖδας τοὺς ἐν τοῖς οἴκοις αὐτῶν τῷ ἁγίῳ βαπτίσματι.

Σχόλιον.

Ἡ ιή. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ ί. τοῦ ιά. τίτλου τοῦ αὐτοῦ βιβλίου. Ἐρωτήσει τις ὡς τοῦ λς'. κανόνος τῆς ἐν Καρθαγένῃ συνόδου διοριζομένου, μὴ κληροῦσθαί τινα, εἰ μὴ ποιήσει χριστιανοὺς πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ, πῶς αἱ παροῦσαι διατάξεις αἱ λέγουσαι τοὺς ἐξ Ἑλλήνων γεγονότας πιστοὺς τιμωρεῖσθαι εἰ μὴ προσάγουσι τῷ ἁγίῳ βαπτίσματι γαμετὰς αὐτῶν, καὶ παῖ-

(1) Τὸ μέρος τοῦτο τοῦ σχολίου μέχρι τέλους αὐτοῦ οὐχ εὕρηται ἐν Σ, Τρ.

δας, καὶ πάντας τοὺς ἐν τοῖς οἴκοις αὐτῶν, οὐκ ἐτέθησαν εἰς τὰ βασιλικὰ, σύνδρομοι (1) οὖσαι κατὰ ταῦτα τῷ κανόνι. Λύσις. Αἱ μὲν διατάξεις οὐ παρελήφθησαν εἰς τὰ βασιλικὰ διὰ τὴν τοῦ ἁγίου ἀποστόλου *Παύλου*(2) παραγγελίαν τὴν διοριζομένην μὴ λύεσθαι τὸ τῶν ἀπίστων συνοικέσιον(3), ἐὰν ὁ εἷς ἐξ αὐτῶν πιστὸς γένηται. Τί γὰρ, φησὶν, οἶδας ἐὰν ὁ πιστὸς μεταγάγῃ πρὸς τὴν πίστιν τὴν ἄπιστον σύζυγον αὐτοῦ, καὶ τὸ ἐναντίον; Ὁ δὲ κανὼν οὐ θέλει συνοικεῖν *τὸν*(4) μηδέποτε γεγονότα ἄπιστον, ἀλλ' ὀρθοδοξοῦντα μετ' ἀπίστου· πολλῷ δὲ πλέον μετὰ κλήρωσιν, καὶ διὰ τοῦτο οὐ παραχωρεῖ αὐτὸν κληρωθῆναι. Καὶ ἕτεροι δὲ κανόνες οὐ παραχωροῦσι τῷ πιστῷ συναφθῆναι μετὰ ἀπίστου. Διαφορὰ γοῦν ἐστιν ἀπίστου εἰς τὴν πίστιν ἐπιστρέψαντος, καὶ τοῦ ἐκ γενετῆς ὄντος πιστοῦ· ὁ μὲν γὰρ συγγνώμης ἀξιοῦται μὴ ἐκβάλλων τοὺς προσγενεῖς αὐτῷ ἀπίστους, μεταστρέψαι κἀκείνους ἐλπιζόμενος εἰς τὴν ὀρθόδοξον πίστιν· ὁ δὲ τιμωρεῖται ὡς μετ' ἀπίστων συγκοινωνῶν, καὶ οὐ παραχωρεῖται κληροῦσθαι. Ἀνάγνωθι καὶ τὸν οβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ συνόδου οὕτω διαιροῦντα τοὺς πιστοὺς, καὶ πρὸς τῷ τέλει ταῦτα διεξιόντα· ἁγίασται γὰρ ὁ ἄπιστος, ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ ἁγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί. Ἀνάγνωθι καὶ ἀπὸ τῆς πρὸς Κορινθίους ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου Παύλου τὸ περὶ τούτου πρόσφορον χωρίον λέγον· Ἀδελφοί εἴ τις ἀδελφὴν γυναῖκα ἔχῃ ἄπιστον, καὶ τὰ ἑξῆς, καὶ εἰπὲ ἀπὸ πάντων καλῶς ἱερωσύνης ἀξιοῦσθαι *τὸν*(5) βαπτισθέντα καὶ ἁγιάζοντα ἄλλους, καὶ πρὸ τοῦ βαπτίσαι τοὺς σὺν αὐτῷ οἰκοῦντας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων. Συνόδου Σαρδικῆς κανὼν ί. Συνόδου ά. καὶ β'. συγκροτηθείσης ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ιζ'.

Κείμενον.

Ἡ β'. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν οὐ συγχωρεῖ

(1) Χ. Τρ.—σύνδεσμοι Ἑ. Ἰ. Β.—(2) Χ. Τρ.—(3) Χ. Τρ.—συνοίκησιν Ἑ. Ἰ. Β. —(4) Χ. Τρ.—οὐ μηδέποτε Ἑ. Β. —(5) Χ. Τρ.—τὸ τὸν ἐλλείπει ἐν Ἑ. Β.

ἀπὸ λαϊκῶν εὐθέως ἐπίσκοπον χειροτονεῖσθαι, ἀλλὰ πρότερον κληρικὸν γίνεσθαι, καὶ μένειν ἐπὶ τρεῖς μῆνας τὰς γραφὰς διδασκόμενον καὶ τοὺς κανόνας. Ἡ δὲ ά. διάταξις τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου οὐ βούλεται αὐτὸν οὐχ ἧττον ἓξ μηνῶν προκληρωθῆναι ἢ προμονάσαι(1).

Σχόλιον.

Ἡ β'. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστιν, ὡς ἀνωτέρω εἴρηται, νεαρὰ Ἰουστινιάνειος ργ'. τοῦτο δὲ αὐτῆς τὸ κεφάλαιον οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Καὶ ἡ ά. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ς'. καὶ οὐδὲ αὐτὴ, περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων διαλαμβάνουσα, κατεστρώθη εἰς τὰ βασιλικά. Περὶ τῶν ἀπὸ λαϊκῶν γινομένων ἐπισκόπων πολλὰ ἐν διαφόροις Ἰουστινιανείοις νεαραῖς ἐγράφησαν· ἠπράκτησαν δὲ πάντα ὡς μὴ συντεθέντα εἰς τὰ βασιλικά (2). Πρόσχες τοίνυν χάριν τούτου μόνον τῷ ιζ'. κανόνι τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συγκροτηθείσης ά. καὶ β'. συνόδου· ἐκεῖσε δὲ πάντως εἰρήσεται ὅπως τὰ τοῦ κανόνος ἐκλαμβάνονται, καὶ ἀπὸ τῶν νεαρῶν τοῦ Ἰουστινιανοῦ τοῦ βασιλέως τί κρατεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Πῶς ὁ ἐθνικὸς, ἢ ὁ ἐν νόσῳ, ἢ ὁ νεωστὶ βαπτισθεὶς, καὶ ὁ ἐκ φαύλης διαγωγῆς χειροτονεῖται ἐπίσκοπος ἢ κληρικός. Κανὼν Ἀποστόλων π'. Συνόδου Νικαίας κανὼν β'. Συνόδου Νεοκαισαρείας κανὼν ιβ'. Συνόδου Λαοδικείας κανὼν γ'.

---

(1) Τὸ κείμενον τοῦτο ἐλλείπει ἐν Ἐ καὶ Ἰ. ὁ δὲ Β. προσέθετο αὐτὸ ἐν τῷ τέλει τοῦ Νομοκάνονος, ὁδηγηθεὶς ἐκ τοῦ Χειρογράφου τοῦ Καρδιναλίου Ἰουλίου τοῦ Μαζαρινοῦ, ὅπερ ἦν προδήλως πληρέστερον τῶν Χ. ἐφ' ὧν ἐγένετο προηγουμένως ἡ ἔκδοσις. Ἀλλὰ τὸ ἡμέτερον Χ. Τρ. πληρέστερον καὶ τοῦ Μαζαρινοῦ Χ περιέχει ἐν οἰκείῳ τόπῳ τὸ διαληφθὲν κείμενον, ὡς καὶ πολλὰ ἄλλα χωρία ἐντελέστερον ἐν αὐτῷ γραφόμενα εἴδομεν.

(2) Ὅπερ ἄλλη οἱαδήποτε Ἰουστινιανὴ νεαρὰ περὶ τούτου διαλεγομένη, ὅλη αὕτη ἡ φράσις οὐχ εὕρηται ἐν Χ. Τρ. Ἀλλ' ἀντ' αὐτῆς ὑπάρχει ἡ ἐν τῷ

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Πῶς ὁ σχολάζων ἐπίσκοπος γίνεται εἰς σχολάζουσαν ἐπισκοπήν. Συνόδου Ἀντιοχείας κανὼν ιζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Πότε γίνεται ἐπίσκοπος ἢ κληρικὸς εὐνοῦχος, ἢ ἄλλως ἐμπαθὴς τὸ σῶμα. Ἀποστόλων κανὼν κά. κβ'. οζ'. οή. Συνόδου Νικαίας κανὼν ά.

Κείμενον.

Ὁ πολιτικὸς νόμος τοὺς ἑαυτοὺς ἢ ἑτέρους εὐνουχίζοντας διαφόρως τιμωρεῖται, ποτὲ μὲν κεφαλικῶς, ποτὲ δὲ δημεύσει καὶ ἐξορίᾳ, ποτὲ δὲ ταυτοπαθείᾳ. Καθόλου*γὰρ* (1) ἐν τῇ πολιτείᾳ ἡμῶν *οὐδένα* (2) συγχωρεῖ εὐνουχίζεσθαι, ἀλλὰ παρὰ βαρβάροις καὶ (3) μόνους βαρβάρους. Εἰ δέ τις παρ' ἡμῖν εὐνουχισθῇ, ἐλευθεροῦται εἴπερ ἦν δοῦλος, κἂν διὰ νόσον εὐνουχισθῇ, ὡς βιβ. δ'. τοῦ κώδ. τίτ. μβ'. διατ. ά. β'. καὶ βιβ. μή. τίτ. ή. διατ. γ'. δ'. έ. στ'. ιά. καὶ ἐν τῇ περὶ τῶν εὐνουχιζόντων ρμβ'. νεαρᾷ.

Σχόλιον.

Ἡ ά. καὶ β' διάτ. τοῦ μβ'. τίτ. τοῦ δ'. βιβλ. τοῦ κώδικος ἐτέθησαν ἐν βιβλίῳ τῶν βασιλικῶν ιθ'. τίτ. ά κεφ. πζ'. ὃ καὶ ἔχει οὕτως. Ἡ διάταξις κελεύει ὥστε μηδένα Ῥωμαῖον εὐνουχίζεσθαι, μηδὲ ἔξω τοῦ Ῥωμαϊκοῦ ἐδάφους, μηδὲ ἀγοράζειν μηδένα τὸν εὐνουχισθέντα Ῥωμαῖον, ἀλλὰ καὶ τὸν εὐνουχίσαντα, καὶ αὐτὸν *τὸν*(4) ἀγοράσαντα καὶ τὸν συμβολαιογράφον τὸν συγγράψαντα αὐτοῦ τὸ συμβόλαιον, καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος τι ὑπὲρ τούτου τιμωρεῖσθαι· τὰ δὲ βάρβαρα ἀνδράποδα τὰ εὐνουχιζόμενα ἔξωθεν τοῦ Ῥωμαϊκοῦ ἐδάφους,

---

σχολίῳ ἀποκατασταθεῖσα παροῦσα περίοδος ἀπὸ τοῦ » Περὶ τῶν ἀπὸ λαϊκῶν κτλ. ἥτις οὐχ εὕρηται ἐν Ἐ. Ι. καὶ Β.

(1) Χ. Τρ. — δὲ Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — οὐ συγχωρεῖ Ἐ. Β. — (3) Ὁ καὶ οὐχ εὕρηται ἐν Χ. Τραπ. — (4) Χ. Τρ. — τὸν οὐχ εὕρηται ἐν Ἐ. καὶ Β.

ἐξέστω πᾶσι τοῖς ἐμπόροις καὶ ἀγοράζειν καὶ πιπράσκειν. Τοῦ δὲ μή. βιβ. τοῦ κώδικος ὁ ή. τίτ. κεῖται ἐν βιβ. ξ'. τῶν βασιλικῶν τίτ. λθ'. τὰ δὲ κεφάλαια ταῦτα παρελείφθησαν, καὶ οὐκ ἐτέθησαν. Ἡ δὲ ρμβ'. (1) νεαρὰ τοῦ Ἰουστινιανοῦ ἐτέθη εἰς βιβλίον τῶν βασιλικῶν ξ'. τίτ νά. κεφ. δ'. ὃ καὶ ἔχει οὕτω· Θεσπίζομεν ἐν οἱῳ δήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας εὐνουχίζειν τολμῶντας ἢ τολμήσοντας οἱονδήποτε πρόσωπον, εἰ μὲν ἄνδρες εἶεν οἱ τοῦτο τολμήσαντες, ἢ καὶ τολμῶντες, ταὐτὸ τοῦτο παθεῖν ὃ πεποιήκασι, καὶ εἰ περισωθεῖεν, τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι, διὰ τοῦ κατὰ καιρὸν τὴν τῆς σῆς ἐνδοξότητος ἀνύοντος ἀρχὴν, κἀκείνους ἐν Γύψῳ πέμπεσθαι, ὀφείλοντας τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν χρόνον ἐκεῖ εἶναι· εἰ δὲ γυναῖκες εἶεν αἱ τοῦτο ποιοῦσαι, καὶ ταύτας τιμωρεῖσθαι, καὶ τὰ πράγματα αὐτῶν διὰ τοῦ κατὰ καιρὸν τὴν αὐτὴν ἀνύοντος ἀρχὴν τῷ δημοσίῳ προσκυροῦσθαι, καὶ εἰς ἐξορίαν πέμπεσθαι, ἵνα ἐξ ἧς ἐνόμισαν ἢ ἐννόησαν (2) ἀσεβείας κέρδος αὐταῖς περιποιεῖν, ἐξ αὐτῆς τιμωρίαν καὶ ἔκπτωσιν τῶν ἰδίων πραγμάτων ὑποστῶσι. Τοὺς μέν τοι ἐπιτάξαντας, καὶ ἐπὶ τούτῳ πρόσωπα παραδεδωκότας, ἢ καὶ οἴκους, ἢ τόπον τινὰ ἐπὶ τούτῳ παρασχομένους εἴτε παρέχοντας, εἴτε ἄνδρες εἶεν, εἴτε γυναῖκες, τὰς αὐτὰς κελεύομεν ὑποσῆναι τιμωρίας, ὡς συνίσορας γενομένους τῆς ἀδίκου ταύτης πράξεως. Αὐτοὺς δὲ τοὺς εὐνουχισθέντας ἐχρῆν μὲν ἀπὸ παλαιοτέρων χρόνων *ἐλευθέρους εἶναι*, (3) πλὴν κελεύομεν τοὺς ἀπὸ τῆς ί. ἐπινεμήσεως (4) τοῦ νῦν ἐπελθόντος κύκλου εὐνουχισθέντας παρ' οὐτινοσοῦν ἐν τόποις τῆς ἡμετέρας πολιτείας ἐλευθέρους εἶναι, καὶ κατὰ μηδένα τρόπον ἢ οἱονδήποτε εἶδος συναλλάγματος εἰς δουλείαν καθέλκεσθαι, μηδὲ συμβόλαιον ἐπ' αὐτοῖς ἀγοραῖον, ἢ ἰδιόχειρον, καθ' οἱονδήποτε τρόπον ἢ κατὰ περίνοιαν γινόμενον, ἢ γεννησόμενον κρατεῖν, ἀλλὰ μηδὲ τὰς λεγομένας ἀνακρίσεις ἐπὶ τοῖς τοιούτοις γίνεσθαι προσώποις ἢ γινομένας κρατεῖν· ἀλλὰ καὶ πάντας τοὺς τοιούτοις (5) συναλλάγμασι τὸ λοιπὸν ὑπουργοῦντας,

---

(1) Ὁ Ε. καὶ Ἰ. κατὰ λάθος γράφουσι ρμά.—(2) Ἡ νεαρὰ φέρει, ἢ νομίζουσι.—(3) Νεαρὰ ρμβ'. κεφ. β'. —(4) τῆς duodecimae indictionis, νεαρὰ ρμβ'. —(5) Χ. Τ. τοὺς τοιούτους Ε. Β.

τὰς ἀνωτέρω εἰρημένας κελεύομεν ὑποστῆναι ποινάς. Εἰ μέν τοι διὰ πάθος συμβῇ δοῦλον εὐνουχισθῆναι, κἀκεῖνον κελεύομεν τῆς ἐλευθερίας τυγχάνειν. Οἱ γὰρ ἐξ ἀρχῆς ὄντες ἐλεύθεροι πάθει ὡς εἰκὸς τοιούτῳ περιπίπτοντες ἑαυτῶν ἔχουσιν ἐξουσίαν, ἣν ἂν θέλωσι θεραπείαν ἑαυτοῖς προσάγειν. Τοὺς εὐνουχισθέντας τοίνυν (1) ἀπὸ τοῦ μνημονευθέντος χρόνου ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ παρ' οἱῳδήποτε προσώπῳ ὄντας κελεύομεν ἀναζητηθῆναι, καὶ ἐλευθέρους εἶναι, καὶ μηδέποτε εἰς δουλείαν τούτους καθέλκεσθαι. Εἰ μέν τοι θαῤῥήσουσί τινες ἐξ αὐτῶν τῶν εὐνουχισθέντων τινὰς μετὰ τὸν παρόντα ἡμῶν ἐπισχεῖν νόμον, δίδομεν ἄδειαν καὶ τοῖς εὐνουχισθεῖσιν αὐτοῖς, ὡς ἅπαξ ἐλευθερίας ἐκ τοῦ παρόντος ἡμῶν τυχοῦσι νόμου, ἐνταῦθα μὲν τῇ τε βασιλείᾳ προσιέναι, τῷ τε κατὰ καιρὸν ἁγιωτάτῳ πατριάρχῃ, καὶ τοῖς ἐνδοξοτάτοις ἡμῶν ἄρχουσι προσαγγέλλειν, ἐν δὲ ταῖς ἐπαρχίαις τοῖς κατὰ τόπον ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς τούτων ἄρχουσιν, ἐφ ᾧ προνοίᾳ πάντων τῶν ἡμετέρων ἀρχόντων καὶ κινδύνῳ τῶν πειθομένων αὐτοῖς τάξεων, εἴτε ἐν Κωνστατινουπόλει, εἴτε ἐν ἑτέρῳ οἱῳδήποτε τόπῳ τῆς ἡμετέρας πολιτείας, τούτους ἐκδικεῖσθαι, καὶ φυλάττεσθαι τὴν ἐκ τοῦ παρόντος ἡμῶν νόμου διδομένην αὐτοῖς ἐλευθερίαν· παριδεῖν γὰρ φόνους τοσούτους γινομένους κατὰ πρόφασιν τῶν τοιαῦτα τολμώντων ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ οὐδαμῶς ἀνεχόμεθα. Εἰ γὰρ βάρβαροι ἀκούσαντες τῶν ἡμετέρων περὶ τούτου παραγγελμάτων (2) ταῦτα ἐφύλαξαν, πῶς ἂν ἡμεῖς συγχωρήσωμεν μετὰ τοσαύτας τῶν πρὸ ἡμῶν βεβασιλευκότων νομοθεσίας τοιοῦτό τι ἁμαρτάνεσθαι, ἢ καὶ ἀνεκδίκητον ἐν τῇ ἡμετέρᾳ πολιτείᾳ καταλιμπανέσθαι;

ΚΕΦΑΛΑΙΟΝ. ΙΕ'.

Περὶ τοῦ τὸν δαιμονιζόμενον μὴ κληροῦσθαι. Ἀποστόλων κανὼν οθ'. (3).

(1) τοίνυν αὐτοὺς Χ. Τ.—(2) παραγγελιῶν, νεαρὰ ρμβ'. — (3) Ὁ Ἐ. Ἰ. καὶ Β. κατὰ λάθος γράφουσιν ϙή.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Περὶ τοῦ μὴ πειθαρχοῦντος (1) τῷ ἰδίῳ ἐπισκόπῳ, βουλομένῳ χειροτονεῖν αὐτὸν εἰς μείζονα βαθμόν. Συνόδου Καρθαγένης κανὼν λά. Βασιλείου κανὼν ί.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ ἐπισκόπου, ἢ κληρικοῦ χειροτονηθέντος, καὶ μὴ δεχθέντος ὑπὸ τῆς παροικίας, ἢ μὴ καταδεξαμένου, ἢ μὴ δυνηθέντος (2) ἀπελθεῖν. Ἀποστόλων κανὼν λστ'. συνόδου Ἀγκύρας κανὼν ιή. Συνόδου Ἀντιοχείας κανὼν ιή. Συνόδου στ'. κανὼν ιζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τοῦ μὴ δύνασθαι τὸν τελευτῶντα ἐπίσκοπον ἕτερον ἀντ' αὐτοῦ χειροτονεῖν. Ἀποστόλων κανὼν οστ'. Συνόδου Ἀντιοχείας κανὼν χγ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τοῦ μὴ ἁπλῶς ἐν πόλει βραχείᾳ, ἢ κώμῃ γίνεσθαι ἐπίσκοπον. Συνόδου Λαοδικείας κανὼν νζ'. Συνόδου Σαρδικῆς κανὼν στ'.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τοῦ μὴ εἶναι ἐν μιᾷ ἐπαρχίᾳ δύο μητροπολίτας, ἢ ἐν μιᾷ πόλει δύο ἐπισκόπους, ἢ ἐν δυσὶ πόλεσιν ἕνα κληρικόν. Συνόδου Νικαίας κανὼν ή. Συνόδου Χαλκηδόνος κανὼν ί. ιβ'. Συνόδου Νικαίας τὸ β'. κανὼν ιέ

(1) Περὶ τοῦ μὴ πειθαρχοῦντι Ε. Ι, καὶ Β. — (2) Ἢ μὴ δυναμένου Ε. Ι. Β.

Κείμενον.

Ὁ Ἑλενόποντος δύο ἔχει μητροπολίτας, ὡς ἡ κή. νεαρά· καὶ ἡ Παφλαγονία διαφόρους, ὡς ἡ χθ'. νεαρά· καὶ ἡ Φρυγία Καπατιανὴ, καὶ ἡ β'. Καππαδοκία. Οὔτε δὲ δύο πόλεων (1) δύναταί τις εἶναι ἐπίσκοπος, ἐξήρηται ὁ Τομέως (2), αὐτὸς γὰρ καὶ τῶν λοιπῶν ἐκκλησιῶν Σκυθίας προνοεῖ· καὶ ἡ Λεοντόπολις Ἰσαυρίας ὑπὸ τὸν ἐπίσκοπόν (3) ἐστιν Ἰσαυροπόλεως, ὡς βιβ. ά. τοῦ κώδικος τίτ. γ'. διατ. λέ. οὔτε δὲ ἡγούμενος γίνεται δύο μοναστηρίων, ὡς διάτ. λθ'. τοῦ αὐτοῦ τίτλου (4).

Σχόλιον

Ἡ κή. νεαρὰ κεῖται εἰς βιβλίον τῶν βασιλικῶν ς'. τίτ. ιβ'. κεφ. ά. ἥτις ἐνταῦθα οὐκ ἐτέθη παρ' ἡμῶν διὰ τὸ μεγάλως ἀλλοιωθῆναι τὴν τῶν ἐν ταύτῃ δηλουμένων χωρῶν κατάστασιν ὑπὸ τῶν ἀθέων βαρβάρων, καὶ διὰ τοῦτο ἀπρακτῆσαι (5) τὰ τῆς νεαρᾶς. Καὶ ἡ χθ'. νεαρὰ ἐγράφη εἰς βιβλίον τῶν βασιλικῶν ς'. τίτ. ιγ'. κεφ. ά. ἐνταῦθα δὲ οὐκ ἐτέθη διὰ τὴν αὐτὴν αἰτίαν. Ἡ μέν τοι (6) λέ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβ. τοῦ κώδικός ἐστι κεφάλαιον γ'. τοῦ αὐτοῦ τίτ. τοῦ γ'. βιβ. τῶν βασιλικῶν οὕτω λέγον. Τὸν ἀφαιρούμενον πόλεως οἱασδήποτέ τινος πάλαι οὔσης, ἢ νῦν πολισθείσης, τὸ τῆς ἰδικῆς ἐπισκοπῆς δίκαιον ἢ ἕτερον προνόμιον, κἂν ἀπὸ βασιλικῆς ἐπιτροπῆς, ἀτιμοῖ καὶ δημεύει ἡ διάταξις, ἀκυροῦσα καὶ τὴν ἐγχείρησιν· ὑπεξαιρεῖ δὲ τὰς ἐν Σκυθίᾳ ἐπαρχίας, καὶ Λεοντόπολιν τῆς Ἰσαυρίας. Ἡ δὲ λθ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Σημείωσαι. Τῷ ἐνταῦθα καταστρωθέντι νόμῳ, ἤγουν τῷ γ'. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου μὴ προσχῇς· ἀνῃρέθη γὰρ ὑπὸ τοῦ ιζ'. κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου καὶ τοῦ λή. κανόνος τῆς ἐν Τρούλλῳ· καὶ ἀνάγνωθι τὸν τοιοῦτον λή. κανόνα καὶ τὴν ἑρμηνείαν αὐτοῦ·

---

(1) Χ. Τ. — Ἰ. οὐκ εἰς δύο πόλεις Ἐ. Ἰ. Β.—(2) Ἡ Τομέων Σκυθίας πόλις Δ. 35 Κώδ. 1. 3.—(3) Χ. Τ.— ὑπὸ τὴν ἐπισκοπὴν Ἐ. Ἰ. Β.

(5) Χ. Τρ. — καὶ τὰ τῆς νεαρᾶς Ἐ. Ἰ. Β.—(6) Ἡ λέ. διάτ. Ἐ. Ἰ. Β.

κατεστρώθησαν γὰρ ἐν αὐτῇ σημειώματα (1) βασιλικῷ ῥήματι διαλαμβάνοντα πῶς τοῖς βασιλεῦσιν ἐφεῖται ἐκκλησιαστικὰ μετασκευάζειν δίκαια καὶ προνόμια. Σημείωσαι. Ἡ λθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος ἡ διοριζομένη μὴ γίνεσθαί τινα *ἡγούμενον* (2) δύο μοναστηρίων μὴ ὀφείλουσα ἐνεργεῖν, διὰ τὸ μὴ τεθῆναι εἰς τὰ βασιλικά, ἐνεργεῖ ἀκολούθως τῷ ιέ. κανόνι τῆς ζ'. συνόδου, τῷ διοριζομένῳ μὴ γίνεσθαί τινα κληρικὸν εἰς δύο ἐκκλησίας μιᾶς πόλεως· εἰ γὰρ οὐκ ἐφεῖται κληροῦσθαί τινα εἰς δύο ἐκκλησίας, πολλῷ πλέον οὐδὲ ἡγούμενος δύο μοναστηρίων προστήσεται, ὥσπερ οὐδὲ κεφαλὴ μία δύο σωμάτων. Τὸ δὲ προΐστασθαι τὸν Παντοκρατορηνὸν (3) ἡγούμενον πολλῶν μοναστηρίων οὐκ ἐναντιοῦται τῷ κανόνι· τὰ γὰρ πολλὰ μοναστήρια ὡς ἓν λογίζονται, διὰ τὸ κατ' ἐπίδοσιν περιελθεῖν εἰς τὸν Παντοκράτορα.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῶν χειροτονούντων ἐν ταῖς μὴ οὔσαις ὑπ' αὐτοὺς πόλεσιν ἢ ἐπαρχίαις. Ἀποστόλων κανὼν λέ. Συνόδου Ἀντιοχείας κανὼν ιγ'. κβ'. Συνόδου Ἐφέσου κανὼν ή.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τῶν διὰ προστασίας ἀρχόντων γινομένων ἐγκρατῶν ἐκκλησιῶν. Ἀποστόλων κανὼν λ'. Συνόδου Νικαίας τὸ β'. κανὼν γ'.

Σχόλιον.

Ἀνάγνωθι τὸ ά. κεφ. τοῦ ή. τίτλου τοῦ παρόντος συντάγματος καὶ τὰ ἐν αὐτῷ παραγεγραμμένα.

---

(1) τὸ Χ. Τρ. γράφει σημεῖα βασιλικῷ ῥήματι διαλαβάνοντι, αἱ δὲ ὑφιστάμεναι ἐκδόσεις σημεῖα μετὰ βασιλικὰ ῥήματα. Διωρθώθη δὲ ὡς ἐκ τῆς ἐννοίας καὶ ἀναλόγως τῆς λατινικῆς μεταφράσεως. Δ. ἐκδ. —(2) Χ. Τρ.— τὸ ἡγούμενον ἐλλείπει ἐν Ἐρβ. καὶ Ἰουστ. ὁ δὲ Β. εἰκάζει τὴν ἀνάγκην τῆς λέξεως ταύτης παραθέτων αὐτὴν ἐν περισελίδῳ. —(3) Τὸν Παντοκρατορινὸν Χ, Τρ. καὶ Β.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τῶν διὰ γάμον ἢ παλλακισμὸν μὴ χειροτονουμένων ἐπισκόπων. Ἀποστόλων κανὼν ιβ'. ιή. ιθ'. Συνόδου στ'. κανὼν γ'. ιβ'. Βασιλείου κανὼν ιβ'.

Κείμενον.

Τίτλος ά. τῶν νεαρῶν, διάτ. ά. β' ιζ'. ἐν αἷς εἴρηται, ὅτι ὁ χειροτονούμενος ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος ὀφείλει εἶναι παρθένος, ἢ ἐκ παρθενίας μονογαμήσας παρθένον.

Σχόλιον.

Ἡ ά. β'. καὶ ιζ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐτέθησαν εἰς νεαρὰς Ἰουστινιανείους ς'. ρκγ'. ρλζ'. πλὴν τὰ τῆς ς'. νεαρᾶς οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά· τὰ δὲ τῆς ρκγ'. νεαρᾶς ἐτέθησαν ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. ά. κεφ. κζ'. οὕτω λεγοντι· Κληρικοὺς δὲ οὐκ ἄλλως χειροτονεῖσθαι συγχωροῦμεν εἰ μὴ γράμματα ἴσασι, καὶ ὀρθὴν πίστιν καὶ βίον σεμνὸν ἔχουσι, καὶ οὐδὲ παλλακὴν, οὐ φυσικὸν ἔσχον ἢ ἔχουσι παῖδα, ἀλλὰ ἢ σωφρόνως βιοῦντας, ἢ γαμετὴν νόμιμον, καὶ αὐτὴν μίαν καὶ πρώτην ἐσχηκότας, ἢ ἔχοντας, καὶ μηδὲ χήραν μηδὲ διαζευχθεῖσαν ἀνδρὸς, μηδὲ ἄλλως τοῖς νόμοις ἢ τοῖς θείοις κανόσιν ἀπηγορευμένην. Τὰ δὲ τῆς ρλζ'. νεαρᾶς ἐτέθησαν ἐν κεφ. ζ'. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. οὕτως ἔχοντι· Θεσπίζομεν ὁσάκις χρεία γένηται ἐπίσκοπον χειροτονηθῆναι, συνιέναι τοὺς κληρικοὺς καὶ τοὺς πρώτους τῆς πόλεως, ἧς μέλλει ἐπίσκοπον χειροτονεῖσθαι, καὶ προκειμένων τῶν ἁγίων εὐαγγελίων ἐπὶ τρισὶ προσώποις ψήφισμα ποιεῖν, καὶ ἕκαστον αὐτῶν ὀμνύναι κατὰ τῶν θείων λογίων, καὶ ἐγγράφειν ἐν αὐτοῖς ὅτι τε οὐ διὰ δόσιν, οὔτε διὰ ὑπόσχεσιν, οὔτε διὰ φιλίαν, ἢ χάριν, ἢ ἄλλην οἱανδήτινα προσπάθειαν, ἀλλ' εἰδότες αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως, καὶ σεμνοῦ βίου, καὶ ὑπὲρ τὸ λ'. ἔτος εἶναι, τούτους ἐπελέξαντο, καὶ ὅτι οὐδὲ γαμετὴν ἔχειν, ἢ παλλακὴν, ἢ παῖδας φυσικοὺς αὐτοὺς γιγνώσκουσιν ἐσχηκέναι ἢ ἔχειν, ἀλλ' εἰ καὶ πρότερον τις ἐξ αὐτῶν γαμετὴν εἶχε,

καὶ αὐτὴν μίαν καὶ οὐδὲ χήραν, οὐδὲ ἀνδρὸς ἀποζευχθεῖσαν, οὐδὲ τοῖς νόμοις, οὐδὲ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην. Ἀλλ' οὐδὲ πολιτευόμενον ἢ ταξεώτην τινὰ τῶν ψηφιζομένων εἶναι γινώσκουσι· πλὴν εἰ μὴ ἐν μοναστηρίῳ οὐχ ἧττον δεκαπέντε ἐτῶν, μοναχικὸν ὁ πολιτευόμενος ἢ ὁ ταξεώτης βίον ἀδιαβλήτως ἐξετέλεσε, δηλ. τῆς ἔμπροσθεν ἡμῖν εἰρημένης παρατηρήσεως, καὶ ἐπὶ τούτων τῶν προσώπων ἐν τοῖς γινομένοις περὶ αὐτῶν ψηφίσμασι φυλαττομένης, ἵνα ἐκ τῶν οὕτω ψηφιζομένων τριῶν προσώπων ὁ βελτίων χειροτονηθῇ τῇ ἐπιλογῇ καὶ τῷ κρίματι τοῦ χειροτονοῦντος. Σημείωσαι, εἰ καὶ ἀπὸ τῆς παρούσης ρλζ'. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τοῦ ζ'. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν κωλύεται τὸ ψηφίζεσθαί τινα εἰς ἐπισκοπὴν ἔχοντα γαμετὴν νόμιμον, ἀλλὰ σὺ μὴ προσχῇς ταύτῃ, πρόσχες δὲ μᾶλλον τῷ μή. κανόνι τῆς ἐν τῷ Τρούλλῳ συνόδου, ὃν καὶ ἀνάγνωθι καὶ λέγε, καὶ ἀπὸ τούτου προτιμᾶσθαι τῶν νόμων τοὺς κανόνας. Ἀνάγνωθι δὲ καὶ τὰ γραφέντα παρ' ἡμῶν εἰς τὸν διαληφθέντα κανόνα. Σημείωσαι. Ἐρωτήσει δέ τις ὡς τῆς παρούσης Ἰουστινιανείου νεαρᾶς δεχθείσης εἰς τὰ βασιλικὰ τῆς διοριζομένης, μὴ ἄλλως χειροτονεῖσθαί τινα ἐπίσκοπον εἰμὴ ἐπὶ τρισὶ προσώποις ψήφισμα γένοιτο παρά τε τῶν κληρικῶν καὶ τῶν πρώτων τῆς πόλεως, καὶ ἕκαστος αὐτῶν ἐπομόσεται κατὰ τῶν θείων εὐαγγελίων περὶ αὐτοῦ ὅσα τῇ νεαρᾷ περιέχονται, πῶς οὐδέν τι ἐκ τούτων σήμερον ἐνεργεῖ; Λύσις(1). Ἀπὸ τοῦ δ'. κανόνος τῆς ἐν Νικαίᾳ συνόδου, τοῦ ιθ'.(2) τῆς ἐν Ἀντιοχείᾳ, καὶ τοῦ ιϐ'. τῆς ἐν Λαοδικείᾳ, διοριζομένων τὰς ψήφους τῶν ἀρχιερέων, καὶ τὰς χειροτονίας παρὰ ἐπισκόπων ἐπὶ τῷ κρίματι τούτων γίνεσθαι, ἠπράκτησε τὸ, προκειμένων τῶν ἁγίων εὐαγγελίων γίνεσθαι τὰς ψήφους τῶν ἐπισκόπων παρὰ τῶν κληρικῶν καὶ τῶν πολιτῶν. Διὰ γὰρ τοῦτο ὡς ἔοικεν οὐκ ἐνεργεῖ καὶ ὁ ἐν τῷ ζ'. βιϐ. κείμενος νόμος, καὶ διοριζόμενος δικάζειν τοὺς δικαστὰς προκειμένων τῶν ἁγίων εὐαγγελίων. Τὸ δὲ ἐπὶ τρισὶ προσώποις γίνεσθαι τὰς ψήφους παρὰ τῶν ἐπισκόπων τὴν σήμερον, ὡς νομίζω, ἀπὸ τῆς παρούσης νεαρᾶς ἠναγκασμένον ἐστίν.

(1) Χ. Τρ.—(2) Χ. Τρ.—Ε. Β. ιή.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τῶν ἐπὶ χρήμασι χειροτονουμένων, ἢ λαμβανόντων ὀφφίκια. Ἀποστόλων κανὼν κθ'. Συνόδου Χαλκηδόνος κανὼν β'. (1). Συνόδου ἕκτης κανὼν κβ'. κγ'. Ταρασίου ἀρχιεπισκόπον πρὸς Ἀδριανὸν πάπαν Ῥώμης ἐπιστολή. Συνόδου Νικαίας τὸ β'. κανὼν δ'. ἑ. ιθ'. Βασιλείου ἐκ τῆς πρὸς τοὺς ἐπισκόπους ἐπιστολῆς. Γενναδίου καὶ τῆς σὺν αὐτῷ συνόδου ἐκ τῆς ἐγκυκλίου πρὸς τοὺς ὁσιωτάτους μητροπολίτας ἐπιστολῆς.

Κείμενον.

Βιβλίον ά. τίτ. γ'. διάτ. λ'. μά. καὶ τίτ ά. τῶν νεαρῶν, διάταξις ά. β'. ιά., ἐν αἷς εἴρηται καὶ περὶ τῶν διδομένων ἐμφανιστικῶν παρὰ ἐπισκόπων καὶ κληρικῶν, καὶ ὅτι ἐν Βυζαντίῳ μόνοι οἱ τῆς μεγάλης ἐκκλησίας, οὐ μὴν οἱ τῶν ἄλλων κληρικοὶ τοῖς αὐτῶν συγκληρικοῖς ταῦτα διδόασιν. Οἱ δὲ παρασχόντες οὐ διδόασι πλέον ἑνὸς ἐνιαυτοῦ διάρια. Οὔτε δὲ φρόντισμα οἱονδήποτε ἢ διοίκησιν ἐκκλησιαστικὴν ἐπὶ δόσει τις δύναται λαβεῖν, ἢ ἐπὶ τῶν πτωχείων γίνεσθαι, ἢ ξενῶνος, ἢ εὐαγοῦς οἴκου προστῆναι. Πάντα δὲ τὰ ἐπὶ τούτῳ διδόμενα ἢ ὑπισχνούμενα, ἡ ἐκκλησία, ἢ ὁ εὐαγὴς οἶκος ἐκδικεῖ. Ἐξουσίαν δὲ ἔχουσιν οἱ ἐπίσκοποι, καὶ πρὸ τῆς χειροτονίας, καὶ μετὰ ταῦτα ταῖς ἐκκλησίαις προσφέρειν.

Σχόλιον.

Ἡ λ'. καὶ μά. διάτ. τοῦ γ'. τίτλ. τοῦ ά. βιβ. τοῦ κώδικος οὐκ ἐτέθησαν εἰς τὰ βασιλικὰ, καὶ διὰ τοῦτο ἠπράκτησαν. Ἡ μέν τοι ά. β'. καὶ ιά. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν εἰσι νεαραὶ Ἰουστινιάνειοι στ'. ρκγ'. καὶ νς'. Καὶ τῆς μὲν ς'. τὸ παρὸν κεφάλαιον οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ὡσαύτως οὐδὲ ἡ

---

1) Χ. Τ. —ὁ Ἰ ὁ Ἑρβ. καὶ Β. προτάττουσι τὴν παράθεσιν τοῦ κανόνος τῆς ἐν Χαλκηδόνι συνόδου τοῦ ἀποστολικοῦ.

νς'. νεαρὰ διδάσκουσα περὶ τῶν ἐν τῷ Βυζαντίῳ διδομένων ἐμφανιστικῶν παρὰ τῶν ἐν τούτῳ γινομένων κληρικῶν. Ἡ δὲ ρκγ'. νεαρὰ ἐτέθη, ὡς πολλάκις εἴρηται, ἐν βιβ. γ'. τῶν βασιλ. τίτ. ά. κεφ. θ'. καὶ ἐφεξῆς, ὅπερ θ'. κεφάλαιον κατεστρώθη ἔξωθεν τοῦ έ. κεφαλαίου τοῦ παρόντος τίτλου, ὃ καὶ ἀνάγνωθι διδάσκον περὶ τῶν ἐπὶ χρήμασι χειροτονουμένων. Περὶ δὲ τῶν διδομένων διαρίων ζήτει τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου κεφ. λέ. καὶ λς'. οὕτως ἔχοντα· Ἀλλ' οὐδὲ κληρικὸν οἱουδήποτε βαθμοῦ διδόναι τι ἐκείνῳ ὑφ' οὗ χειροτονεῖται ἢ ἄλλῳ οἱῳδήτινι προσώπῳ οὐ συγχωροῦμεν, μόνας δὲ παρέχειν αὐτὸν τὰς συνηθείας τοῖς τῷ χειροτονοῦντι ὑπηρετουμένοις, καὶ ἐξ ἔθους κομιζομένοις ἑνὸς ἐνιαυτοῦ διάρια μὴ ὑπερβαινούσας. Ἐν δὲ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐν ᾗ (1) κατατάττεται τὴν θείαν πληροῦν λειτουργίαν, καὶ μηδὲν παντελῶς τοῖς ἰδίοις συγκληρικοῖς διδόναι ἕνεκα (2) τῆς ἰδίας ἐμφανείας, μηδὲ διὰ ταύτην τὴν αἰτίαν τῶν ἰδίων παραμυθιῶν ἢ τῶν ἄλλων μεριτικῶν (3) αὐτὸν ἀποστερεῖσθαι, ἀλλὰ μηδὲ ξενοδόχον ἢ πτωχοτρόφον, ἢ νοσοκόμον, ἢ ἄλλου εὐαγοῦς οἱουδήποτε οἴκου διοικητὴν, ἢ οἱονδήποτε ἐκκλησιαστικὸν φρόντισμα χειρίζοντα διδόναι τι ἐκείνῳ ὑφ' οὗ προβάλλεται, ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ τῆς ἐμπιστευθείσης αὐτῷ διοικήσεως. Ὁ δὲ παρὰ ταῦτα ἅπερ διετυπώσαμεν ἢ διδοὺς, ἢ λαμβάνων, ἢ μεσίτης γενόμενος, τῆς ἱερωσύνης ἤτοι τοῦ κλήρου, ἢ τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως γυμνωθήσεται, τῶν διδομένων ἐκδικουμένων τῷ εὐαγεῖ τόπῳ, οὗτινος τὸ τοιοῦτον πρόσωπον τὴν χειροτονίαν, ἢ φρόντισμα, ἢ διοίκησιν ἔλαβεν. Εἰ δὲ κοσμικὸς εἴη ὁ λαμβάνων, ἢ μεσίτης γινόμενος, τὸ δοθὲν διπλοῦν ἀπαιτηθήσεται, καὶ τῷ εὐαγεῖ τόπῳ, ἐν ᾧ τὸ τοιοῦτον πρόσωπον τὴν διοίκησιν ἢ τὴν χειροτονίαν ἢ τὴν φροντίδα ἔλαβε, παρεχέσθω. Εἰ δέ τις κληρικὸς οἱουδήποτε βαθμοῦ, ἢ διοικητὴς οἱουδήποτε εὐαγοῦς οἴκου, ἢ πρὸ τῆς χειροτονίας, ἢ τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως, ἢ φροντίδος, μετὰ ταῦτα βουληθῇ τι τῶν ἰδίων πραγμάτων προσαγαγεῖν τῇ ἐκκλησίᾳ, ἐν ᾗ χειροτονεῖται,

(1) Χ. Τρ. — Αἱ ἄνω μνησθεῖσαι ἐκδόσεις φέρουσιν ᾗ. — (2) Χ. Τρ. — Εἰς δὲ τὰς ἐκδόσεις κεῖται, ὑπὲρ τῆς ἰδίας. — (3) μεριτικιῶν Χ. Τρ.

ἢ τῷ τόπῳ, οὗτινος τὴν διοίκησιν ἢ τὴν φροντίδα ἀναδέχεται, οὐ μόνον οὐ κωλύομεν τοῦτο γίνεσθαι, ἀλλὰ καὶ μᾶλλον προτρέπομεν αὐτοὺς τὰ τοιαῦτα ὑπὲρ σωτηρίας τῆς ἰδίας ψυχῆς ποιεῖν. Ἡμεῖς γὰρ ἐκεῖνα μόνα δίδοσθαι κωλύομεν, ἅτινα ἰδικοῖς τισι προσώποις παρέχονται, οὐ μὴν ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἄλλοις εὐαγέσιν οἴκοις προσφερόμενα. Ἀνάγνωθι καὶ τὸ τέλος τοῦ θ΄. κεφ. τοῦ ά. τίτ. τοῦ γ΄. βιβ. εἰς κεφ. έ. τοῦ παρόντος τίτλου, διὰ τὸ ἐκεῖ καταστρωθῆναι τὸν παρόντα νόμον.

Σημείωσαι. Ἡ μὲν παροῦσα νεαρὰ καθαιρέσει καθυποβάλλει τοὺς κανονικοὺς χειροτονουμένους, ἢ ἕτερόν τι φρόντισμα ἐκκλησιαστικὸν ἐπὶ χρήμασι λαμβάνοντας, καὶ τοὺς μεσάσαντας ἐπὶ τούτοις λαϊκοὺς τῇ εἰς τὸ διπλάσιον ἀπαιτήσει τοῦ δοθέντος αὐτοῖς ἐνοχοποιεῖ. Ὁ δὲ β΄. κανὼν τῆς ἐν Χαλκηδόνι συνόδου ἀναθέματι καθυποβάλλει τοὺς τὰ τοιαῦτα μεσάζοντας λαϊκούς. Τὸ μέν τοι τιμωρεῖσθαι τοὺς λαϊκοὺς ἐπὶ χρήμασιν ἀναδεχομένους διοικήσεις εὐαγῶν οἴκων, ἀπὸ τῆς παρούσης νεαρᾶς ἀναφαίνεται. Ποῖος οὖν ἐστιν ὁ ἀναδεχόμενος λαϊκὸς διοίκησιν εὐαγοῦς οἴκου, ἢ δουλείαν ἐκκλησιαστικὴν, ἢ κληρικὸς γινόμενος, ἢ ἐν κελλιωτικῇ μονῇ καταταττόμενος ἀδοτί, ἀγνοῶ· καὶ διὰ τοῦτο γονυπετῶ πρὸς θεὸν πάντας ἡμᾶς ἐκ τῆς τοιαύτης ῥυσθῆναι ἀπειλῆς, ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, κύριε (1), τίς ὑποστήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τοῦ μὴ γίνεσθαι ἀναχειροτονήσεις. Ἀποστόλων κανὼν ξή. Συνόδου Καρθαγένης κανὼν μή.

ΚΕΦΑΛΑΙΟΝ ΚΣΤ΄.

Περὶ τοῦ μὴ μετιέναι ἐπίσκοπον ἢ κληρικὸν ἀπὸ πόλεως εἰς πόλιν. Συνόδου Νικαίας κανὼν ιέ. ιστ΄. Συνόδου Ἀντιοχείας κανὼν κά. Συνόδου Χαλκηδόνος κα-

(1) Χ. Τρ. — εἰς δὲ τὰς ἄνω ἐκδόσεις, ἐὰν παρατηρήσῃ κύριος.

νῶν έ. ιβ'. κ'. Συνόδου Σαρδικῆς κανὼν ά. β'. ιέ. Συνόδου Καρθαγένης κανὼν νδ'. ξ'. Συνόδου στ'. κανὼν ιζ'. ιή. καὶ κ'.

Κείμενον.

Ἡ θ'. καὶ ί. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν λέγει πῶς εἰς τὴν μεγάλην ἐκκλησίαν Κωνσταντινουπόλεως οἱ τῶν ἄλλων αὐτῆς ἐκκλησιῶν (1) κληρικοὶ μετατίθενται.

Σχόλιον.

Ἡ θ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος γ'. καὶ ἐτέθη εἰς βιβλίον τῶν βασιλικῶν γ'. τίτ. β'. κεφ. ά., ἥτις μετὰ τὸ ἀπαριθμῆσαι τοὺς ὀφείλοντας εἶναι κληρικοὺς εἴς τε τὴν μεγάλην ἐκκλησίαν, καὶ εἰς ἑτέρους θείους ναοὺς, καὶ κωλῦσαι τὴν ἐξ ἑτέρας ἐκκλησίας εἰς ἑτέραν μετάβασιν τῶν κληρικῶν, φησὶ καὶ ταῦτα ῥητῶς· Εἰ γὰρ ἐπὶ τῶν εὐαγῶν μοναστηρίων κωλύομεν ἐξ ἑτέρου μοναστηρίου πρὸς ἕτερον μεταβαίνειν, πολλῷ μᾶλλον οὐδὲ τοῖς εὐλαβεστάτοις κληρικοῖς τοῦτο ἐφήσομεν, κέρδους τε καὶ ἐμπορίας ἀπόδειξιν ἔχειν τὴν τοιαύτην ἐπιθυμίαν ἡγούμενοι. Εἰ δὲ καί ποτε τοιαύτην τινὰ (2) μετάστασιν ἡ σὴ μακαριότης, ἢ ἡ κατὰ καιρὸν βασιλεία γενέσθαι συνίδοι, μὴ ἄλλως τοῦτο πράττεσθαι, πρὶν ἂν εἰς τὸν εἰρημένον ἡμῖν ἀριθμὸν περισταίη, ὥστε τὴν μετάστασιν εἰς τὴν τοῦ λείποντος τάξιν γίνεσθαι, ἀλλ' οὐχ ὑπὲρ τὸν ἀριθμόν τινα παντελῶς ἐμβαίνοντα, τοῦτο γὰρ ἐξ οὐδεμιᾶς μηχανῆς οὐδὲ ἔκ τινος τρόπου γίνεσθαι συγχωροῦμεν. Ἡ δὲ ί. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ις'. καὶ ἐτέθη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. γ'. κεφ. ά. ὃ καὶ ἀνάγνωθι διδάσκον τὰ αὐτὰ σχεδὸν, καὶ τὸ τοὺς λείποντας κληρικοὺς ἀπὸ τῶν περισσῶν δουλευτῶν γίνεσθαι.

[Σημείωσαι, ὅτι ἀπὸ τῆς παρούσης νεαρᾶς ἐνεδόθη τῷ Κωνσταντινουπόλεως Πατριάρχῃ καὶ μόνῳ εἰς ἑτέρας ἐνορίας καὶ δίχα γνώμης τοῦ ἐπισκόπου αὐτῶν(3) ἀπὸ ἑτέρων ἐκκλησιῶν

(1) Χ. Τρ. — Εἰς τὰς ἐκδόσεις κεῖται, ἐκκλησίας. — (2) Χ. Τρ. — εἰς τὰς ἐκδόσεις κεῖται, τοιαύτην μετάστασιν. — (4) Χ. Τρ. — οἱ δὲ Ἑ. Ἰ. καὶ Β. προσθέτουσιν ἐνταῦθα κατὰ πλεονασμὸν ἔχει δὲ τοῦτο τὸ προνόμιον καὶ ὁ Καρθαγένης ἐπίσκοπος καὶ ζήτει.

δέχεσθαι κληρικοὺς, καὶ τῷ ἰδίῳ κλήρῳ ἐγκαταλέγειν, ἢ καὶ ἐπισκόπους ποιεῖν. Τοῦτο δὲ ἐνεδόθη καὶ τῷ ἐπισκόπῳ Καρχηδόνος. Ἀνάγνωθι καὶ τῆς ἐν Καρθαγένῃ συνόδου κανόνα ξγ'.(1) καὶ τῆς οἰκουμενικῆς ζ'. συνόδου κανόνα ί. καὶ τὰ ἐν αὐτοῖς γραφέντα· τότε δὲ λέγεται (2) δύνασθαι τὸν Κωνσταντινουπόλεως καὶ τὸν Καρχηδόνος ἀπὸ ἑτέρων ἐνοριῶν κληρικοὺς σφετερίζεσθαι παρὰ γνώμην τῶν χειροτονησάντων αὐτοὺς, ὅτε ἐν ἐνδείᾳ εἰσὶ κληρικοῦ· ὅπερ τέως εἰς τὸν Κωνσταντινουπόλεως χώραν οὐκ ἔχει, διὰ τὸ πλῆθος τοῦ κλήρου αὐτοῦ, καὶ τὸ πάντως ἐπὶ πᾶσιν ἀνενδεές· καὶ ὅταν δὲ ἀνάγκη συνωθῇ τούτους ἀλλότριον λαβεῖν κληρικὸν, ἄλλως οὐ δυνήσονται τοῦτο ποιῆσαι, εἰμὴ ἐλλιπής ἐστιν ἀριθμὸς τῶν κληρικῶν αὐτῶν. Ὅπως δὲ σήμερον τοῦ ἀριθμοῦ τῶν κληρικῶν ἡ ἀθέτησις ἀκινδύνως γίνεται, ἀγνοῶ.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ ὑποκειμένου ἁμαρτήματι, καὶ χειροτονηθέντος. Συνόδου Νικαίας κανὼν θ'. ί. Συνόδου Νεοκαισαρείας κανὼν θ'. ί. Βασιλείου κανὼν κζ'. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν δ'. έ. ή.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων ἀῤῥένων καὶ θηλειῶν. Συνόδου Καρθαγένης κανὼν ιστ'. Συνόδου στ'. κανὼν ιδ'. ιέ. Συνόδου Νεοκαισαρείας κανὼν ιά. Συνόδου Χαλκηδόνος κανὼν ιέ.

Κείμενον.

Ἡ θ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβ. τοῦ κώδικος οὐ συγχωρεῖ γίνεσθαι διακόνισσαν τὴν μὴ ὑπερβᾶσαν (3) τὸν ξ'. ἐνιαυτόν· ἡ δὲ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, ν'. ἐτῶν

(1) Δ. ἐκδ. — νέ. Ἑ. Ἰ. Β. — (2) Ἑ. — λέγισθαι Ἰ. Β. — (3) Χ. Τρ. — ὑπερβάλλουσαν Ἑ. Ἰ. Β.

αὐτὴν εἶναι θέλει, ὡς εἴγε διά τινα αἰτίαν ἀναγκαίαν ἐλάττων οὖσα ταύτης τῆς ἡλικίας ἐχειροτονήθη, βούλεται μοναστηρίῳ ἐμβληθῆναι, ἐν ᾧ ἀνδρῶν ἐπιμιξία οὐκ ἔστιν, οὔτε αὐτεξούσιος δίαιτα. Ἡ μέν τοι β'. διάτ. τοῦ αὐτοῦ τίτ. οὐ θέλει διακόνισσαν ἐκκλησίας γίνεσθαι τεσσαράκοντα ἐνιαυτῶν ἥττονα. Ἡ αὐτὴ δὲ διάταξίς φησι τὸν χειροτονούμενον πρεσβύτερον μὴ ὀφείλειν εἶναι ἥττονα τῶν λ'. ἐτῶν, καὶ κέ. τὸν διάκονον, τὸν δὲ ἀναγνώστην ἡ (1), καὶ τὸν ἐπίσκοπον λέ. Ἡ δὲ ιζ'. διάτ. τοῦ αὐτοῦ τίτ. θέλει αὐτὸν ὑπερβεβηκέναι τὰ λ'. ἔτη.

Σχόλιον.

Ἡ θ'· διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ς'. οὖσα νεαρὰ Ἰουστινιάνειος, ὡς διείληπται. Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κεῖται δὲ ἐν βιβ. τῶν βασιλ. γ'. τίτ. ά. κεφ. κθ'. ἔχοντι οὕτω· Διακόνισσαν δὲ ἐν ἁγίᾳ ἐκκλησίᾳ μὴ χειροτονεῖσθαι, ἥτις ἐλάττων ἐστὶν ἐνιαυτῶν μ'., ἢ εἰς δεύτερον ἦλθε γάμον. Ὡσαύτως φησὶ τοῦ αὐτοῦ τίτ. κεφ. κή. μέρος ὂν τῆς αὐτῆς νεαρᾶς ταῦτα· Πρεσβύτερον δὲ ἐλάττονα τῶν λ'. ἐνιαυτῶν γενέσθαι οὐκ ἐπιτρέπομεν· ἀλλ' οὐδὲ διάκονον ἢ ὑποδιάκονον ἥττονα τῶν κέ. ἐνιαυτῶν, οὔτε ἀναγνώστην ἐλάττονα τῶν ιή. ἐνιαυτῶν. Πλὴν γίνωσκε ὅτι ἡ μὲν νεαρὰ τοῦ Ἰουστινιανοῦ εἰς πλάτος εὑρισκομένη λέγει γίνεσθαι ἀναγνώστην τὸν ὄντα χρόνων ή. καὶ ἐπίσκοπον τὸν ὄντα χρόνων λέ. καθὼς τοῦτό φησι καὶ τὸ παρὸν βιβλίον. Ἐν δὲ τῇ ἀνακαθάρσει ὁ μὲν χρόνος τοῦ ἐπισκόπου παρελείφθη τελείως, ὁ δὲ χρόνος τοῦ ἀναγνώστου ἐπλεόνασεν· ἀντὶ γὰρ ή. χρόνων, ιή. χρόνων εἶναί φησι τὸν ἀναγνώστην. Ὀφείλεις οὖν προσέχειν πλέον τοῖς γεγραμμένοις ἐν τοῖς βασιλικοῖς παρὰ τοῖς περιεχομένοις ἐν τοῖς βιβλίοις τοῖς ἐνεργοῦσι πρὸ τῆς ἀνακαθάρσεως, καὶ σχολάσασιν. Ἀλλὰ καὶ ἡ ιζ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλζ'. ἥτις

(1) Χ, Τρ. — κ'. Ἐ, Ἰ. Β. ἐν δὲ περισελιδίῳ ὁ Β. διορθοῖ ιή.

ἐτέθη ἐν βιβ. τῶν βασιλικῶν γ'. τίτ. ά. κεφ ή. ὅπερ κεφάλαιον κατεστρώθη ἐν τῷ κγ'. κεφαλαίῳ τοῦ παρόντος τίτλου, ἔχον κατὰ τὰς ἀρχὰς οὕτω, Θεσπίζομεν ὁσάκις χρεία γένηται ἐπίσκοπον χειροτονηθῆναι. *Λέγει δὲ τὸ τοιοῦτον κεφάλαιον καὶ περὶ τοῦ μέλλοντος χειροτονηθῆναι ἐπισκόπου*(1) ταῦτα ῥητῶς ἐν μέρει· Ἀλλ' εἰδότες αὐτοὺς τῆς ὀρθῆς καὶ καθολικῆς πίστεως, καὶ σεμνοῦ βίου, καὶ ὑπὲρ τὸ λ'. ἔτος εἶναι, τούτους ἐπελέξαντο· ἀναιρεῖ γοῦν ἡ τοιαύτη νεαρὰ ὅσον εἰς τοὺς χρόνους τοῦ ἐπισκόπου τὴν ρκγ'. νεαράν.

Ἕτερον σχόλιον.

Σημείωσαι, ὅτι ἀπὸ τοῦ παρόντος κή. κεφ. καὶ τῶν ἐν αὐτῷ γραφέντων, ἔμαθες τοὺς χρόνους τῶν ὀφειλόντων χειροτονεῖσθαι· ὅτι δὲ χάριν τῶν λαμβανόντων ὀφφίκια ἢ ἀξιώματα ἀτελῶν κατέστρωται εἰς τὸ δημοσιακὸν σέκρετον(2) πρόσταγμα τοῦ ἀοιδίμου Βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ· γίνωσκε καὶ τοῦτο ἔχον* οὕτω*(3) κατὰ ῥῆμα· Πολλοὶ προσαγγείλαντες ὠφέλειαν τοῦ δημοσίου τινὰ, ἢ αἰτούμενοι κατὰ φιλοτιμίαν λαβεῖν, ἢ ἀνταλλάξαι, ἢ πωλῆσαι ἀξίωμα οἱονδήποτε, ἢ ὀφφίκιον, μεταβιβάζουσι ταῦτα εἰς παῖδας μικρούς. Ἵνα οὖν μὴ τοῦτο γίνηται, μηδὲ δοκῶσι φενακίζειν ἢ ἀπατᾷν οἱ τοιοῦτοι, διορίζεται ἡ βασιλεία μου, ἵνα ὅστις λάβῃ ἀξίωμα ἢ ὀφφίκιον, εἴτε διὰ προσαγγελίαν, εἴτε δι' εὔνοιάν τινα, εἴτε κατὰ ἐναλλαγὴν, εἴτε κατὰ δωρεὰν καὶ φιλοτιμίαν τῆς βασιλείας μου, ἢ ψυχικὸν αὐτῆς, μὴ δέχεσθαι πρόσωπον(4) τιμώμενον ἔλαττον τῶν κ'. χρόνων, ἀλλὰ πάντες οἱ διὰ τὰς αὐτὰς αἰτίας ἢ ἀξίωμα ἢ ὀφφίκιον λαμβάνοντες, ἔστωσαν μείζους τῶν κ'. χρόνων. Ὅτε δὲ ἡ βασιλεία μου, οὐ διὰ τοιαύτην αἰτίαν, ἀλλ' ἀμέσως τιμήσῃ τινὰ, ἢ δωρήσεται ὀφφικιόν τινι, κἂν ἐλάττων ᾖ τῶν κ'. χρόνων ὁ τιμώμενος, καταστρωννυέσθω οὕτως ἀναμφιβόλως. Καταστρωθήτω οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς τῶν ὑφ' ἡμᾶς δεκρέτων (5) χαρτίοις, εἰς δήλω-

(1) Χ. Τρ. — εἰς τὰς ἐκδόσεις Ε. Ἰ. καὶ Β. ἡ φράσις αὕτη οὐχ εὕρηται. —(2) Χ. Τρ. εἰς τὸν δημοσιακὸν σεπτόν.—(3) Χ. Τρ.—(4) τὸ τιμώμενον Χ. Τρ. — (5) σεκρέτων χαρτίοις Χ. Τρ.

σιν τῆς προστάξεως καὶ οἰκονομίας τῆς βασιλείας μου, ὡς ἂν οὕτως ἐνεργεῖται ἀπὸ τοῦ νῦν καὶ ἐπὶ τὰ ἔμπροσθεν. Ὀφείλει δὲ προκεῖσθαι εἰς τὸ πιττάκιον τοῦ ἀμέσως τιμωμένου τὸ, καταστρωθήτω, μὴ κωλυόμενον ἀπὸ τῆς γεγονυίας προστάξεως παρὰ τῆς βασιλείας μου περὶ τῶν τιμωμένων ἐλαττόνων τῶν κ'. ἐτῶν· καὶ ἔστω γνώρισμα τοῦτο τῶν ἀμέσως ὡς εἴρηται τιμωμένων, ὡς ἐν εἰδήσει τούτου γινομένης τῆς βασιλείας μου. Τῷ μηνὶ Ἰανουαρίῳ Ἰνδικτιῶνος ιέ. Διὰ τοῦ Βασιλέως.

Σημ. Τὰ μὲν ἄλλα τῶν καταστρωθέντων ἐνταῦθα νόμων χάριν τῶν ἐπισκόπων, τῶν ἱερέων, τῶν διακόνων, καὶ τῶν ὑποδιακόνων περὶ τῶν χρόνων τῆς ἡλικίας αὐτῶν, κρατοῦσι καὶ ἐνεργοῦσιν, ὅτι καὶ τοῖς κανόσι ταῦτα ἔδοξαν· τὸ δὲ περὶ τῆς ἡλικίας τοῦ χρόνου τῶν ἀναγνωστῶν ὅπως οὐκ ἐνεργεῖ ἀγνοῶ. Τοῦ γὰρ νόμου λέγοντος ιή. χρόνων ὀφείλειν εἶναι τὸν ἀναγνώστην, σήμερον σφραγίζονται ἀναγνῶσται κληρικοὶ ἑξαετεῖς, ἔξι δ' ὅτε καὶ τριετεῖς. Ἀνάγνωθι οὖν τὸν ιδ' καὶ ιέ. κανόνα τῆς στ'. συνόδου καθαιρέσει καθυποβάλλοντας τοὺς χειροτονοῦντας διακόνους καὶ ὑποδιακόνους πρὸ συμπληρώσεως τοῦ κέ. χρόνου αὐτῶν, ὡσαύτως καὶ τοὺς ἱερεῖς πρὸ τοῦ λ'. χρόνου. Οἱ δὲ λέγοντες μὴ βλάπτεσθαι τοὺς σφραγιζομένους ἀναγνώστας πρὸ συμπληρώσεως τοῦ ιή. χρόνου τῆς ἡλικίας αὐτῶν, διὰ τὸ μὴ μεμνῆσθαι καὶ τούτων τοὺς κανόνας, κακῶς λέγουσιν· ἔνθα μὲν γὰρ οὐδέν τι οἱ κανόνες διορίζονται, ὀφείλομεν τοῖς νόμοις ἀκολουθεῖν, καὶ(1) ἐκ τῶν ὁμοίων τέμνειν τὰ ὅμοια.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ ποιήσεως χωρεπισκόπων, καὶ πότε, καὶ πῶς προσφέρουσιν ἢ μεταδιδόασι, καὶ τίνας χειροτονοῦσιν ἢ οὔ. Συνόδου Ἀγκύρας κανὼν ιγ'. Συνόδου Νεοκαισαρείας κανὼν ιγ'. Συνόδου Ἀντιοχείας κανὼν ί. Βασιλείου ἐκ τῆς πρὸς τοὺς χωρεπισκόπους ἐπιστολῆς.

(1) Χ. Τρ. — ἢ Ἑ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ τοῦ ἑπτὰ καὶ μόνους εἶναι διακόνους *ὀφείλειν* (1), κἂν ἡ πόλις μεγάλη ᾖ. Συνόδου Νεοκαισαρείας κανὼν ιδ'. Συνόδου στ'. κανὼν ιστ'.(2).

Κείμενον.

Ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν ὅτι τὸν ἀριθμὸν τῶν ἐν ἑκάστῃ ἐκκλησίᾳ λειτουργούντων ἡ ποσότης τῆς προσόδου(3) καὶ ἡ κρατήσασα *ὁρίζει* (4) συνήθεια. Ἡ δὲ θ'. διάτ. τοῦ αὐτοῦ τίτ. προστάττει ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως εἶναι πρεσβυτέρους ἑξήκοντα, διακόνους ἑκατὸν, καὶ εἴκοσι διακονίσσας, ὑποδιακόνους ἐνεννήκοντα, ἀναγνώστας ἑκατὸν δέκα, ψάλτας εἰκοσιπέντε, θυρωροὺς ἑκατόν. Ἡ δὲ ί. τοῦ αὐτοῦ τίτ. διάτ. βούλεται ἐν ταῖς ἄλλαις ἐκκλησίαις φυλάττεσθαι τὸ ἐξ ἀρχῆς ὁρισθὲν στατοῦτον. Ἀπὸ δὲ τύπου τοῦ δεσπότου Ἡρακλείου ὡρίσθησαν ἐν τῇ αὐτῇ μεγάλῃ ἐκκλησίᾳ πρεσβύτεροι ὀγδοήκοντα, διάκονοι διακόσιοι πεντήκοντα(5), διακόνισσαι τεσσαράκοντα, ὑποδιάκονοι ἑβδομήκοντα ἀναγνῶσται ἑκατὸν ἑξήκοντα, ψάλται εἰκοσιπέντε, θυρωροὶ ἑβδομήκοντα πέντε.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστιάνειος ς'. τοῦτο δὲ τὸ κεφάλαιον αὐτῆς οὐκ ἐτέθη εις τὰ βασιλικά. τοῦ αὐτοῦ δὲ τίτ. ἡ θ'. διάτ. ἐστὶ νεαρὰ Ἰουστινιάνειος γ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. β'. κεφ. ά. θέματι προτελευταίῳ, οὕτως ἔχοντι· Ὥςε θεσπίζομεν μὴ περαιτέρω μὲν ξ'· (6) πρεσβυτέρων κατὰ τὴν μεγάλην ἐκκλησίαν εἶναι, διακό-

---

(1) Χ. Τ. — (2) τὸ Χ. Τρ. καὶ Ἑ. Ἰ. Β. παραθέτουσιν ἐσφαλμένως τὸν κανόν. — (3) Χ. Τρ. — προσόδων Ἑ. Ἰ. Β. — (4) Χ. Τ. — ἐν δὲ ταῖς ἐκδ. Ι. Ε. Β. οὐχ εὕρηται. (5) τὸ Χ. Τρ. γράφει διάκονοι ἑκατὸν πεντήκοντα. — (6) Οἱ ἀριθμοὶ κεῖνται ὁλογράφως ἐν Χ. Τρ.

νους δὲ ἄῤῥενας ρ'. καὶ μ'. θηλείας, καὶ ὑποδιακόνους ϛ', καὶ ἀναγνώστας δὲ ρί., καὶ ψάλτας κέ., ὡς εἶναι τὸν ἅπαντα ἀριθμὸν τῶν εὐλαβεστάτων κληρικῶν τῆς μεγάλης ἐκκλησίας ἐν υκέ. προσώποις, καὶ ρ'. πρὸς τούτοις τῶν καλουμένων πυλωρῶν. Καὶ ἡ ί. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ις'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν, τίτ. γ'. κεφ. ά. ϐ καὶ ἀνάγνωθι εἰ θέλεις· οὐ κατεστρώθη γὰρ ἐνταῦθα διὰ τὸ παντελῶς ἀχρηστῆσαι (1). Οὐ μόνα δὲ τὰ τοῦ τοιούτου νόμου ἠχρήστησαν, ἀλλὰ καὶ τὰ τῆς Ἡρακλείου νεαρᾶς τῆς μνημονευομένης ἐν τῷ παρόντι συντάγματι· καὶ γὰρ ἐδέξατο ἀπὸ συνηθείας ἀριθμὸν κληρικῶν ἡ ἐκκλησία ἕτερον, διὰ τὴν τῶν πραγμάτων ἀνωμαλίαν. Οὐδενὶ γὰρ ἠγνόηται ὡς εἰ μὴ τὸ ἔλεος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως προέφθασεν εἰς τὴν μεγάλην ἐκκλησίαν, ὡς καὶ πανταχοῦ, *ἀλλὰ μὴν καὶ ἡ ἐτήσιος χειραγωγία τοῦ τρισμακαρίστου* ἁγίου βασιλέως καὶ πατρὸς αὐτοῦ (2), εἰς ὀλίγον πάντῃ ποσὸν (3) ἂν (4) περιέστη ὁ τῶν κληρικῶν ἀριθμὸς διὰ τὴν τῶν πραγμάτων στενοχωρίαν. Διὸ καὶ αὐτῶν μὲν ὑπερεύχεσθαι χρεών· ταῖς δὲ περὶ τοῦ ἀριθμοῦ τῶν κληρικῶν παλαιοτέραις νομοθεσίαις μὴ προσέχειν· ἀρκετὸν γὰρ εἰ τῇ μακρᾷ συνηθείᾳ ἑπόμεθα, καὶ κατὰ ταύτην ποιοῦμεν.

ΚΕΦΑΛΑΙΟΝ. ΛΑ'.

Τίνες εἰσὶ κληρικοὶ ἢ τῆς ἐκκλησιαστικῆς τάξεως, Συνόδου Λαοδικείας κανὼν. κδ'.

Κείμενον.

Ἡ ϐ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν κληρικοὺς λέγει πρεσβυτέρους, διακόνους, ὑποδιακόνους, ἀναγνώστας, ψάλτας. Ἡ μέντοι στ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος καὶ ἐξορκιστῶν καὶ πυλωρῶν μέμνηται.

---

(1) Χ. Τ. ἀχρηστεῦσαι. — (2) Χ. Τ.— ὁ δὲ Ἑ. Ἰ. καὶ Β. οὕτως, εἰ μὴ τὸ ἔλεος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καὶ τοῦ ἁγίου βασιλέως ἡμῶν καὶ πατρὸς αὐτοῦ προέφθασεν. — (3) Χ. Το. — Ἰ. Β. παντάποσον. — παντάπασιν Ἑ. — (4) Ἑ. — ἵνα Χ. Τρ. καὶ Ἰ.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. ά. κεφ'. μβ'. τοιοῦτον μὲν οἷον ἐντός φησι τὸ λα'. κεφ'. μὴ περιέχοντι, διαλαμβάνοντι δὲ ταῦτα ῥητῶς· Τοὺς δὲ πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους, καὶ ἀναγνώστας, καὶ ψάλτας, οὓς πάντας κληρικοὺς καλοῦμεν, τὰ πράγματα ἀφ' οἱουδήποτε τρόπου εἰς τὴν αὐτῶν δεσποτείαν περιελθόντα ὑπὸ τὴν ἰδίαν ἔχειν ἐξουσίαν προστάττομεν, καθ' ὁμοιότητα τῶν στρατιωτικῶν πεκουλίων, ὥστε δύνασθαι αὐτοὺς καὶ δωρεῖσθαι κατὰ (1) νόμους καὶ ἐπ' αὐτοῖς διατίθεσθαι, εἰ (2) καὶ ὑπὸ τὴν τῶν γονέων εἰσὶν ἐξουσίαν· οὕτω μέν τοι γε, ὥστε τοὺς τούτων παῖδας, ἢ τούτων μὴ ὑπόντων, τοὺς γονεῖς αὐτῶν τὸ νόμιμον μέρος κομίζεσθαι. Ἡ ς'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβ. τοῦ κώδ. ἐτέθη ἐν βιβ. γ'. τῶν βασιλικῶν τίτ. γ'. κεφ. έ. πλὴν τὸ περὶ τῶν ἐξορκιστῶν παρελείφθη ἐν τῇ ἀνακαθάρσει· ἔχει γὰρ οὕτω τὸ κεφάλαιον· Πᾶς κληρικὸς ἄχρι καὶ τῶν ὀστιαρίων, προσωπικῶν ἐξκουσατευέσθω λειτουργιῶν· καὶ ταῦτα μὲν οὕτω. Σὺ δὲ γίνωσκε, ὅτι ἄλλους σήμερον ἐπιγινώσκει ἡ ἐκκλησία ὀστιαρίους καὶ πυλωρούς· δι' ὃ οὐκ ὀφείλομεν προσέχειν τοῖς περὶ τούτων γεγραμμένοις, ἀλλὰ τῇ κρατούσῃ συνηθείᾳ. Κληρικοὶ δὲ ἐκεῖνοι καλοῦνται καὶ σήμερον, οὓς τὸ μβ'. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβ. ἀπηριθμήσατο ὅπερ καὶ κατεστρώθη ἐν μέρει ἄνωθεν.

Σημείωσαι. Ὁ μὲν συνθέμενος τὸ νομοκάνονον πατριάρχης μέλλων διδάξαι τίνες εἰσὶ κληρικοί, παρέπεμψεν αὐτίκα (3) εἰς τὸν κδ'. κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου συναριθμοῦντα τοῖς κληρικοῖς καὶ τοὺς μοναχούς· ἐγὼ δὲ οὐκ ἀφίσταμαι ὧν ἔγραψα εἰς τὸν ιδ'. κανόνα τῆς ζ'. συνόδου, καὶ ἀνάγνωσον (4) ταῦτα. Προστίθημι δὲ τοῖς γραφεῖσι καὶ ταῦτα, ὅτι εἰ δοθῇ ἀπὸ μόνης τῆς ἀποκάρσεως ἀναγνώστας εἶναι τοὺς μο-

(1) τοὺς Χ. Τρ. — (2) εἰ δὲ καὶ Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — αἱ δὲ εκδ· Ἑ Ἰ. καὶ Β. αὐτό. — (4) Χ. Τρ. — αἱ δὲ ἐκδόσεις Ἑ Ἰ. καὶ Β. καὶ ἀνὰ ταῦτα.

ναχοὺς, ἀδιαστίκτως τὰ τῶν ἀναγνωστῶν ἐνεργήσουσι πάντες μοναχοὶ ἀποκεκαρμένοι, κἂν παρὰ μοναχῶν ἱερέων ἀπεκάρησαν, μήτε ἡγουμένων ὄντων, μήτε ἀπὸ ἐπισκόπου λαβόντων τὸ ἐνδόσιμον, ὅπερ ἄτοπον. Καὶ γυναιξὶ δὲ μοναχαῖς τοῦτο τὸ δίκαιον ἐπιφιλοτιμηθήσεται διὰ τὴν ἀπόκαρσιν, ὅπερ ἐστὶν ἐπὶ πλέον ἀτοπώτατον. Μὴ γοῦν προσχῇς τῇ κακῇ συνηθείᾳ, ζήτει δὲ τὴν διόρθωσιν (1).

Σημείωσαι, ἀπὸ τοῦ παρόντος νόμου καὶ μόνου ἀναφαίνεσθαι τὸ μὴ ἀπολύεσθαι ἐκ τῆς ὑπεξουσιότητος διὰ τὸ κληρωθῆναι· τὸ δὲ ἔχειν *τὸν* (2) ὑπεξούσιον κληρικὸν τὰ ἀφ' οἱουδήποτε τρόπου ἐπικτηθέντα αὐτῷ πράγματα κατὰ δεσποτείαν καὶ χρῆσιν καθ' ὁμοιότητα τῶν στρατιωτικῶν πεκουλίων, μὴ ἐκλάβῃς (3) καὶ εἰς τὰ ἀπὸ ληγάτων, ἢ κληρονομιῶν, ἢ δωρεῶν περιελθόντα αὐτοῖς τὰ καὶ λεγόμενα πεκούλια ἀπροσπόριστα, ἀλλ' εἰς μόνα τὰ προφάσει τοῦ κλήρου ἐπικτηθέντα αὐτοῖς. Οὕτω γὰρ ἐκληπτέον τὸ ἀφ' οἱουδήποτε (4) τρόπου, ὅτι οὐδὲ ἀνετράπησαν ὑπὸ τοῦ (5) παρόντος νόμου οἱ περὶ τῶν πεκουλίων νόμοι. Ζήτει δὲ καὶ τὸν λϐ'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, ἕτερόν τι διδάσκοντα παρὰ τὸν παρόντα νόμον χάριν τῶν προφάσει τοῦ κλήρου περιελθόντων πραγμάτων εἰς τοὺς κληρικοὺς, καὶ χάριν τῶν ἐν διαθήκαις καταλιμπάνεσθαι ὀφειλόντων ὑπὸ τούτων πραγμάτων· νομίζω γὰρ ὡς προτιμηθήσονται τὰ τοῦ κανόνος κἂν ἀπὸ συνηθείας κακῆς (6) τοῦτο οὐ γίνεται. Καὶ ταῦτα μὲν χάριν τῶν πραγμάτων τῶν κληρικῶν, καὶ τῆς ὑπεξουσιότητος αὐτῶν. Τὰ δὲ τοῦ Κωνσταντινουπόλεως (7) μόνου ἀρχοντίκια ἀπολύουσι τῆς ὑπεξουσιότητος τοὺς κληρικοὺς, καὶ ἀνάγνωθι τὰ περὶ τούτου παρ' ἡμῶν γραφέντα εἰς τὸ λς'. κεφ. τοῦ παρόντος τίτ. Τὸ δὲ ἀξίωμα τῆς ἐπισκοπῆς ἀπεντεῦθεν (8) ἀπαλλάττει τοὺς χειροτονουμένους ἐκ τῆς ὑπεξουσιότητος, καθὼς καὶ τὰ περὶ τούτου ἐν τῷ αὐτῷ κεφ. πλατύτερον παρεδηλώσαμεν.

---

(1) Χ. Τρ. — Ἑ. Ἰ. Β. τὴν διάλυσιν. — (2) Χ. Τρ. — Ἐν Ἑ. Ἰ. Β. οὐ κεῖται τόν.—(3) Χ. Τ. —Ἑ Ἰ. Β. μὴ ἐκλαβοῦ.—(4) Χ. Τ.— Ἐ. Ἰ. Β. ἀφ' οἱουδήτινος.—(5) Χ. Τρ.—Ἐ. Ι. Β. ὑπὸ παρόντος νόμου.—(6)Χ. Τρ.—Ἑ. Ἰ. Β. ἐλλείπει τὸ κακῆς.—(7)Ἐ. Ι. Β. καὶ μόνον.—(8)Χ. Τρ.—Ἑ. Ι. καὶ Β. ἀπέναθεν·

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τοῦ μὴ χειροτονεῖσθαι οὗτινος ἡ γυνὴ ἐμοιχεύθη, καὶ ἐὰν γυνὴ κληρικοῦ μοιχευθῇ. Συνόδου Νεοκαισαρείας κανὼν ἡ.

Κείμενον.

Καὶ ὁ πολιτικὸς νόμος *πάντας* (1) τοὺς τὰς γυναῖκας ἑαυτῶν μοιχευομένας μὴ ἀπολύοντας τιμωρεῖται. Ἡ δὲ β'. διάτ. τοῦ θ'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος λέγει, ὅτι προαγωγός ἐστιν ὁ τὴν ἑαυτοῦ γαμετὴν μοιχευθεῖσαν μὴ ἀπολύσας, οὐ μὴν ὁ ψιλῶς ὑποπτεύσας. Σήμερον δὲ καὶ μετὰ *τὴν* (2) καταδίκην δύναται ὁ ἀνὴρ ἀναλαβεῖν ἐκ τοῦ μοναστηρίου τὴν μοιχευθεῖσαν αὐτοῦ γυναῖκα, κατὰ τὴν παρατήρησιν τῆς περὶ ρεπουδίου ρλδ'. νεαρᾶς.

Σχόλιον.

Ὁ θ'. τίτ. τοῦ θ'. βιβ. τοῦ κώδικος ἐτέθη ἐν βιβλίῳ ξ'. τῶν βασιλικῶν τίτ. λζ'. κεφ. μβ'. τοῦτο δὲ τὸ κεφ. παρελείφθη (3). Ἡ ρλδ'. νεαρὰ τοῦ Ἰουστινιανοῦ ἐτέθη ἐν βιβλίῳ κή. τῶν βασιλικῶν τίτ. ζ'. κεφ. ά. θέμ. ζ'. ἐν μέρει οὕτως ἔχοντι· Τὴν *δὲ* (4) μοιχευθεῖσαν γυναῖκα ταῖς προσηκούσαις ὑποβαλλομένην ποιναῖς ἐν μοναστηρίῳ ἐμβάλλεσθαι· καὶ εἰ μὲν εἴσω διετίας ὁ ἀνὴρ αὐτὴν ἀναλαβεῖν βουληθείη, ἐξουσίαν αὐτῷ διδόαμεν τοῦτο ποιεῖν, καὶ συνοικεῖν αὐτῇ, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ, μήτε διὰ τῶν ἐν μέσῳ γινομένων καταβλαπτομένου τοῦ γάμου. Καὶ ταῦτα μέν φησιν ὁ πολιτικὸς νόμος, καὶ ἔχε τὰ τῆς νεαρᾶς ταύτης ἐπὶ τῶν λαϊκῶν. Ὁ γὰρ ἐκκλησιαστικὸς νόμος, ἤτοι ὁ ἡ. κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου οὔτε τὸν ἄνδρα τῆς μοιχευθείσης γυναικὸς εἰς ὑπηρεσίαν ἱερατικὴν παραχωρεῖ ἔρχεσθαι, οὔτε τὸν ἱερέα τὸν σύζυγον τῆς μετὰ τὴν χειροτονίαν μοιχευθείσης παραχωρεῖ καὶ αὖθις εἶναι ἱερέα, ἀλλ' ἀναγκάζει τοῦτον ἀπο-

---

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. — (2) Χ. Τ. — Ε. Ἰ. Β. ἐλλείπει τὸ, τὴν. — (3) καὶ οὐκ ἐτέθη Χ. Τρ. — (4) Χ. Τρ. — οὐχ εὕρηται ὁ δὲ ἐν ταῖς ἐκδόσεσιν Ἑ. Ἰ. καὶ Β.

λῦσαι τὴν μοιχευθεῖσαν γυναῖκα αὐτοῦ, εἰ θέλει τέως ἱερατεύειν (1).

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τοῦ μὴ χειροτονεῖσθαι κληρικὸν ἀπολελυμένως, ἀλλὰ πάντως εἰς ἐκκλησίαν ἢ μοναστήρια. Συνόδου Χαλκηδόνος κανὼν στ'. (2).

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ περιοδευτῶν (3), καὶ τῶν ἐν ταῖς κώμαις ἐκκλησιῶν. Συνόδου Λαοδικείας κανὼν νζ'.

Κείμενον.

Ἡ ιά. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου λέγει ἐκ τῶν χωρίων, καὶ ἐκ τῶν κωμῶν, καὶ οὐκ ἔξωθεν εἰς τὰς ἐκκλησίας αὐτῶν χειροτονεῖσθαι, ὥστε συντελεῖν ἰδίαν καπιτιῶνα καὶ τὸ δημόσιον. Ἡ δὲ ιστ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ ἡ β'. τοῦ ά. τίτ. τῶν νεαρῶν φησι τοὺς ἐναπογράφους καὶ ἀκόντων τῶν δεσποτῶν ἐν ταῖς κατ' αὐτοὺς κτήσεσι χειροτονεῖσθαι, ἐφ' ᾧ διὰ τῶν δεσποτῶν τὴν καπιτιτιῶνα συντελεῖν, καὶ διὰ ὑποκαταστάτων λειτουργεῖν.

Σχόλιον.

Ἡ ιά. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς βιβλίον γ'. τῶν βασιλικῶν, τίτ. γ'. κεφ. ς'. οὕτως ἔχον· Ἐξ αὐτῆς τῆς κώμης, ἐν ᾗ ἐστιν ἡ ἐκκλησία κατ' ἀναλογίαν τῶν τόπων κληρικοὶ κρίσει τοῦ ἐπισκόπου χειροτονείσθωσαν, καὶ τὴν οἰκείαν (4) ἐπιγινωσκέτωσαν κεφαλιτιῶνα. Ἡ ις'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου οὐκ ἐτέθη εἰς τὰ βασιλικά· ἡ δὲ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. καὶ ἐτέθη εἰς βιβλίον τῶν βασιλικῶν γ'.

---

(1) Καὶ ζήτει τὸν κανόνα τοῦτον Χ. Τρ. — (2) κστ'. κατὰ λάθος τὸ Χ. Τρ. καὶ Β. — (3) Χ. Τρ. — Β. περιοδούντων. — (4) ἰδίαν Χ. Τρ.

τίτ. ά. κεφ. λή. οὕτως ἔχον· Τοὺς ἐναπογράφους ἐν αὐταῖς μόνον ταῖς κτήσεσιν, ἐν αἷς εἰσιν ἐναπόγραφοι, κληρικοὺς καὶ παρὰ γνώμην τῶν δεσποτῶν γίνεσθαι συγχωροῦμεν, ἐφ' ᾧ μέν τοι ὥστε κληρικοὺς αὐτοὺς γινομένους αὐτοῖς τὴν ἐπικειμένην αὐτοῖς γεωργίαν πληροῦν. Πλὴν γίνωσκε ὅτι αὕτη ἡ νεαρὰ ἡ περὶ τῶν ἐναπογράφων ἄλλως εἶχε πρὸ τοῦ συντεθῆναι τὸ πλάτος τῶν νεαρῶν, καὶ ἄλλως ἐγράφη εἰς τὸ πλάτος, καὶ μετετέθη εἰς τὰ βασιλικά. Πρότερον μὲν γὰρ καπιτιῶνός τε ἐμέμνητο ἤτοι κεφαλιτιῶνος, ὅτι καὶ καπίτους ἡ κεφαλὴ κατὰ Λατίνους λέγεται, καὶ δι' ὑποκαταστάτων λειτουργεῖν τοὺς ἐναπογράφους διωρίζετο. Εἰς δὲ τὸ πλάτος καὶ εἰς τὰ βασιλικὰ τὸ ἓν ἐξ αὐτῶν ἤτοι τῆς κεφαλιτιῶνος οὐκ ἐτέθη· δι' ὃ καὶ ὀφείλεις προσέχειν χάριν μὲν τῆς κεφαλιτιῶνος, ἤτοι τοῦ κανονικοῦ, τῷ ἄνωθεν καταστρωθέντι νόμῳ καὶ κειμένῳ ἐν βιβλίῳ γ'. τίτ. γ'. κεφ. στ'. χάριν δὲ τῶν ἐναπογράφων τῷ νζ'. κανόνι τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ τῇ ρκγ'. Ἰουστινιανείῳ νεαρᾷ, ἤγουν τῷ λή. κεφ. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, τῷ καὶ ἄνωθεν καταστρωθέντι· χάριν δὲ τοῦ κανονικοῦ καὶ τῶν ὑπὲρ χειροτονίας διδομένων συνηθειῶν, ἐνεργεῖ μέχρι τοῦ νῦν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἰσαακίου τοῦ Κομνηνοῦ, οὕτως ἔχον ἐν μέρει· Τυποῖ δὲ ἡ βασιλεία μου, καὶ ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων, καὶ ἐπὶ τῷ κανονικῷ τὸν παλαιὸν ἐνεργεῖν τύπον, καὶ μηδὲν ἐπὶ τῇ χειροτονίᾳ λαμβάνειν πλέον τὸν χειροτονοῦντα τοῦτον ἐπίσκοπον (1), ἀλλ' ἢ μόνα τὰ ζ'. χρυσᾶ νομίσματα τῆς προτιμωμένης χαραγῆς τῆς βασιλείας μου, ἤγουν ἓν μὲν ὅτε ποιεῖ αὐτὸν λιτὸν παπᾶν ἤτοι ἀναγνώστην, τρία δὲ ὅτε χειροτονεῖ αὐτὸν διάκονον, καὶ ἕτερα τρία ὅτε πληροῖ (2) αὐτὸν ἱερέα, ἤτοι πρεσβύτερον. Ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ ἀπὸ τοῦ ἔχοντος χωρίου λ'. καπνοὺς, νόμισμα ἓν χρυσοῦ ὅμοιον, ἀργυρᾶ δύο, κριὸν ἕνα, κριθῆς (3) μοδίους ἓξ, οἴνου μέτρα ἓξ, ἀλεύρου μόδια ἓξ, καὶ ὀρνίθια λ'. ἀπὸ δὲ τοῦ ἔχοντος κ'. κα-

(1) Χ. Τρ. ἢ τὸν ἀρχιεπίσκοπον.—(2) Χ. Τρ. ποιεῖ.—(3) Χ. Τρ. κρίθου—Ἑ. Ἰ. καρπὸν μοδίους ἓξ.

πνοὺς, τὸ δίμοιρον τοῦ νομίσματος, καὶ ἀντὶ τῶν δύο ἀργυρῶν ἀργυροῦν ά. μέσαρνον ἓν, κριθῆς (1) μόδια δ'. οἴνου μέτρα δ'. ἀλεύρου μόδια δ'. καὶ ὀρνίθια κ'. ἀπὸ δὲ τοῦ ἔχοντος ί. καπνοὺς χωρίου, ἀργυρᾶ έ. ἀρνίον ἓν (2), κριθῆς μόδια β'., οἴνου μέτρα β'. ἀλεύρου μόδια β'. καὶ ὀρνίθια ί. καθὼς καὶ ἐν τοῖς σιγίλλοις τῶν παλαιῶν πρακτικῶν(3) ἀναγράφεται· καὶ ἡ σύμφωνος κατάθεσις τῶν ὅλων θεματικῶν παρέστησε τῇ βασιλείᾳ μου. Σὺν τῷ τοιούτῳ δὲ χρυσοβούλλῳ τυπικῷ γέγονε καὶ σημείωμα συνοδικὸν κατὰ τὴν ιέ. τοῦ Νοεμβρίου μηνὸς τῆς ι'. Ἰνδικτιῶνος παρὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Νικολάου παρακελευόμενον κατὰ τὸ τοιοῦτον χρυσόβουλλον δίδοσθαι τὰ κανονικὰ, καὶ τὰ ὑπὲρ χειροτονίας.

[Σημείωσαι (4). Ἀναγκαῖον διὰ τὰ ζητούμενα κανονικὰ παρὰ τῶν ἀρχιερέων, καὶ μὴ διδόμενα ἴσως, οἱ πλείους γὰρ τῶν λαϊκῶν οὐ διδόασι καλοθελῶς πρὸς τοὺς ἀρχιερεῖς αὐτῶν τὰ κανονικὰ, λέγοντες τὸ εὐαγγελικὸν ῥῆμα, δωρεὰν ἐλάβετε, δωρεὰν δότε, ὅπερ ἐστὶν ἀμέτοχον· οὐδὲ γάρ ἐστι μισθὸς τὸ χάριν ἀποτροφῆς διδόμενον τῷ ἀρχιερεῖ.]

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ τοῦ ὑπὸ τὸν ἐπίσκοπον τῆς πόλεως εἶναι τοὺς κληρικοὺς τῶν πτωχείων, καὶ μοναστηρίων, καὶ μαρτυρίων. Συνόδου Χαλκηδόνος κανὼν η'.

ΚΕΦΑΛΑΙΟΝ ΛΣΤ'.

Περὶ δούλων κληρουμένων. Ἀπσστόλων κανὼν πϐ'.

Κείμενον.

Ἡ λς'. διάταξις τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώ-

(1) Χ. Τρ. κρίθου. — Ἐ. Ἰ. καρπόν. — (2) Χ. Τρ. — Οἱ δὲ Ἰ. Β. ἄρνα ἕν. — (3) Χ. Τρ. —Ἐ Ἰ. Β. πραιτόρων. — (4) ἡ σημείωσις αὕτη εὕρηται μὲ κενὰ ἐν περισελιδίῳ τοῦ Χ, Τρ. δι' ἐρυθρᾶς γραφῆς, μὴ ἀποτελοῦσα μέρος τῶν σχολίων.

δικός φησιν ὅτι δοῦλος οὔτε κατὰ γνώμην τοῦ δεσπότου κληροῦται, εἰμὴ πρότερον ἐλευθερωθῇ. Ἡ δὲ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν ὅτι ἐὰν γινώσκοντος, καὶ μὴ ἀντιλέγοντος τοῦ δεσπότου κληρωθῇ, ἐλευθεροῦται, καὶ εὐγενὴς γίνεται. Εἰ δὲ ἠγνόησε, δεικνὺς εἴσω ἐνιαυτοῦ τὴν τύχην λαμβάνει αὐτόν. Ὁ δὲ ἐλευθερούμενος ἐὰν κοσμικὸς γένηται, παραδίδοται εἰς δουλείαν τῷ δεσπότῃ αὐτοῦ. Ἡ δὲ αὐτὴ διάτ. λέγει ὅτι ἡ ἐπισκοπὴ καὶ δουλικῆς καὶ ἐναπογράφου τύχης ἐλευθεροῖ, καὶ ὑπεξουσιότητος· τὸ αὐτὸ δὲ καὶ ἡ πά. νεαρὰ, ἡ διαλαμβάνουσα διὰ ποίων ἀξιωμάτων βουλευτηρίου τις ἐλευθεροῦται, καὶ ὑπεξουσιότητος.

Σχόλιον.

Ὁ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος ἐτέθη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν κεφ. β'. πλὴν τὸ κεφ. τοῦτο παρελείφθη εἰς τὴν ἀνακάθαρσιν, καὶ οὐκ ἐτέθη. Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. καὶ ἐτέθη εἰς βιβλίον τῶν βασιλικῶν γ'. τίτ. ά. κεφ. λζ'. οὕτως ἔχον ὡς συνωφίσθη. Τὸ δὲ ἐλευθεροῦσθαι τοὺς ἐναπογράφους μέρος ἐστὶ τῆς αὐτῆς ρκγ'. νεαρᾶς, καὶ ἐτέθη ἐν βιβ. γ'. τῶν βασιλ. τίτ. ά. κεφ. ιά. ἔχοντι οὕτω· Μετὰ δὲ τὴν χειροτονίαν καὶ δουλικῆς ἐναπογράφου τύχης τοὺς ἐπισκόπους εἶναι ἐλευθέρους κελεύομεν, εἰ μὴ ταξεώτης παρὰ τὴν προειρημένην χειροτονηθείη παρατήρησιν· τοὺς γὰρ τοιούτους τῆς ἐπισκοπῆς ἀποκινουμένους τῇ τάξει ἀποκαθίστασθαι κελεύομεν, ἵνα μὴ ἐκ τῆς τοιαύτης τύχης τῇ ἱερωσύνῃ ὕβρις γένηται, Ἡ μέν τοι πά. Ἰουστινιάνειος νεαρὰ κεῖται εἰς βιβλίον λά. τῶν βασιλικῶν τίτ. έ. κεφ. ά. οὕτως ἔχον περὶ τὴν ἀρχήν· Θεσπίζομεν τούς τε ἐμβάθμους ὑπάτους, καὶ ἐφεξῆς παρακελεύεται ἡ αὐτὴ νεαρὰ ἵνα πάντες οἱ ἀξιωματικοὶ καὶ οἱ ἔχοντες ὀφφίκια ἄρχοντες αὐτεξούσιοι ὦσι, κἂν τῆς πατρικῆς χειρὸς οὐκ ἔφθασαν ἀπολυθῆναι. Ἡ μέν τοι θ'. ί. καὶ ιά. νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου παρακελεύονται τὸν κληρωθέντα δοῦλον ἐν ἀγνοίᾳ τοῦ δεσπότου, ἀλλὰ μὴν καὶ τὸν μονάσαντα, καὶ τὸν γεγονότα

ἐπίσκοπον, ἀποκαθίστασθαι τῷ προτέρῳ δεσπότῃ. Σὺ γοῦν μαθὼν ἀπὸ τοῦ ιά. κεφ. τοῦ ά. τίτλου τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, ὅτι καὶ δουλικῆς ἐναπογράφου τύχης οἱ ἐπισκοπικῷ τετιμημένοι ἀξιώματι ἐλευθεριάζουσι, μὴ ἐναντιωθῇς τῷ λζ'. κεφ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου λέγοντι, μὴ ἄλλως τὸν δοῦλον ἐλευθεροῦσθαι κἂν κληρωθῇ, εἰμὴ παρακολουθῇ (1) καὶ τοῦ δεσπότου εἴδησις, ἀλλὰ κατὰ τοῦτο νόει καὶ ἐκεῖνο τὸ κεφ. οἱ γὰρ λέγοντες, ὅτι διὰ τὸ τῆς ἐπισκοπῆς ἀξίωμα ἐλευθεροῦται ὁ δοῦλος, κἂν παρὰ γνώμην τοῦ δεσπότου ἐπίσκοπος γένηται, οὐ καλῶς λέγουσιν· ἑρμηνεύεται γὰρ *καὶ* τὸ τοιοῦτον κεφάλαιον ἀπὸ τοῦ ἑφεξῆς κεφ. μιᾶς γάρ εἰσι νεαρᾶς καὶ ἀμφότερα, καὶ πάντως ἀπὸ τοῦ μεταγενεστέρου ἤτοι τοῦ λζ'. κεφ. τὸ προγενέστερον κεφ. ἤτοι τὸ ιά. ἑρμηνευθήσεται. Αἱ νεαραὶ δὲ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ, ἃς καὶ ἀνάγνωθι μετ' ἐπιμελείας, καὶ τὸν κληρωθέντα, καὶ τὸν μονάσαντα, καὶ τὸν ἐπίσκοπον γεγονότα δοῦλον, ἀποκαθιστῶσι πρὸς τὴν προτέραν δουλικὴν τύχην, ἂν ἐν ἀγνοίᾳ τοῦ δεσπότου τοιούτου τινὸς *ὁ δοῦλος* (2) ἀξιωθῇ. Πλὴν εὑρίσκων τὴν ί. νεαρὰν τοῦ αὐτοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ λέγουσαν ὅτι τὸ παλαιὸν μέχρι τριῶν χρόνων ἠδύνατο ὁ δεσπότης τὸν μονάσαντα φυγάδα δοῦλον αὐτοῦ ἀνακαλεῖσθαι, τούτου δὲ τοῦ χρόνου παρελθόντος ἀπεκλείετο, καὶ διοριζομένην τὸν γνώμῃ τοιαύτῃ μονάσαντα οἰκέτην κατὰ πάντα καθ' ὃν ἂν εὑρίσκηται καιρὸν ὑπὸ τὸν πρότερον δεσπότην τάττεσθαι, καὶ διὰ τὸ εἶναι τὸν δοῦλον ἀφανῆ μὴ βλάπτεσθαι τὸν δεσπότην ἐκ τῆς παραδρομῆς τῆς τριετίας· ἐσπούδασα εὑρεῖν τὸν περὶ τῆς τριετίας διδάσκοντα νόμον, καὶ οὐχ εὗρον αὐτὸν ἄνευ μόνου τοῦ καταστρωθέντος ἄνωθεν, καὶ λέγοντος ἐντὸς ἐνιαυτοῦ δύνασθαι τὸν δεσπότην ἀναζητεῖν τὸν κληρωθέντα δοῦλον δίχα γνώμης αὐτοῦ· διὸ καὶ ἀναγκάζομαι ἀκολουθεῖν τοῖς παρὰ τοῦ Σοφοῦ νομοθετηθεῖσι. Νομίζω δὲ ὅτι καὶ τὰ τῆς τοιαύτης νεαρᾶς εἴπερ θελήσει τις ἀπολεπτύναι (3), μεγάλην ἂν (4) εὑρήσῃ

(1) Χ. Τρ. — Ἑ. Ἰ. Β. παρακολουθήσει. — (2) Χ. Τρ. καὶ Ἑ.— οὐχ εὕρηται ἡ λέξις ἐν Β. — (3) Χ. Τ. — ἀπολειφθεῖναι Ἑ. Ἰ. Β. — (4) Δ, Ἐκδ. — τὸ Χ. Τρ. καὶ αἱ ἐκδ. ἵνα.

ἀμφιβολίαν (1). Εἰ γὰρ, ὡς αὕτη φησὶ, τὸν ἐν φυγῇ ὄντα δοῦλον καὶ μονάσαντα μέχρι τῆς ἐμφανείας αὐτοῦ ὁ δεσπότης ἀναζητεῖ, πάντως ἐξ ἀντιδιαστολῆς τὸν μὴ ἐν φυγῇ μοναχὸν ὄντα δοῦλον, ἀλλ' ἐμφανιζόμενον ἐντὸς μόνης τριετίας ὁ δεσπότης ἀνακαλέσεται, τοῦτο δὲ μὴ ποιήσας ἀποκλεισθήσεται· τοῦτο ὅπερ διορίζεται γίνεσθαι ἐντὸς ἐνιαυτοῦ ἡ ῥηθεῖσα Ἰουστινιάνειος νεαρά (2). Εἰ ταῦτα οὕτως εἴπῃς καὶ ἑρμηνεύσῃς, συμβιβασθήσονται αἱ τῶν βατιλέων νεαραὶ ἄνευ μόνου τοῦ χρόνου ἐπὶ τριετίαν διϊκνουμένου διὰ περίθαλψιν τοῦ δεσπότου. Ἀπὸ τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς τῆς κειμένης, ὡς εἴρηται, ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. ά. καὶ διοριζομένης μετὰ τὴν χειροτονίαν, καὶ δουλικῆς ἐναπογράφου τύχης τοὺς ἐπισκόπους ἐλευθέρους εἶναι· ὡσαύτως καὶ ἀπὸ τῆς πά. νεαρᾶς τῆς κειμένης ἐν βιβλίῳ τῶν βασιλικῶν λά. τίτ. έ. κεφ. ά. καὶ παρακελευομένης πάντας τοὺς τιμηθέντας παρὰ βασιλέων ἀξιώμασιν ἢ ὀφφικίοις ἀρχοντικοῖς, ἀπαλλάττεσθαι τῆς ὑπεξουσιότητος, καὶ δίχα γνώμης τοῦ πατρὸς, εἰπόν τινες καὶ τοὺς ἐκκλησιαστικοὺς ἄρχοντας, ἅμα τῷ σφραγισθῆναι, ἀξιωματικοὺς εἶναι, καὶ ὀνομάζεσθαι, καὶ αὐτεξουσίους γίνεσθαι. Χρώμενοι δὲ καὶ τῷ παρὰ τοῦ ἀοιδίμου βασιλέως καὶ ἰσαποστόλου ἁγίου Κωνσταντίνου ἀπολυθέντι νεαρῷ θεσπίσματι πρὸς τόν τε πάπαν Ῥώμης ἅγιον Σίλβεστρον, τῷ καὶ καταστρωθέντι παρ' ἡμῶν ἔξωθεν τοῦ ά. κεφ. τοῦ ή. τίτ. τοῦ παρόντος συντάγματος, καὶ διοριζομένῳ ἔχειν ἐπ' ἀδείας τὸν πάπαν Ῥώμης ἀξιώμασι τιμᾶν τοὺς ὑπ' αὐτὸν κληρικοὺς, ὁποίοις καὶ ὁ βασιλεὺς τιμᾷ τοὺς ὑπ' αὐτὸν, καὶ εἶναι τὴν ἱερὰν σύνοδον οἵαν καὶ τὴν βασιλικὴν σύγκλητον· ὡσαύτως καὶ τοῖς νόμοις τοῖς καταστρωθεῖσιν ὁμοίως (3) παρ' ἡμῶν, καὶ διοριζομένοις ἔχειν τὴν ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως τὰ προνόμια τῆς παλαιᾶς Ῥώμης. Ἕτεροι δὲ τῷ τέλει τῆς πά. νεαρᾶς χρησάμενοι, τῆς κειμένης ἐν τῷ έ. τίτλῳ τοῦ λά. βιβλ. (4) καὶ λεγούσης ταῦτα ῥητῶς· Πρόδηλον δὲ ὡς οὐκ ἔστιν ὃς ἀγνοεῖ, πρό

(1) Χ. Τρ. — Ἑ. Ι. καὶ Β. μεγάλας . . . ἀμφιβολίας. — (2) νεαρὰ ί. Ἑ. καὶ Β. — τὸ ί. οὐχ εὕρηται ἐν Χ. Τρ. — (3) Χ. Τρ. — Ἑ. Ἰ. καὶ Β. ὁμοίως καὶ διοριζομένους. — (4) Χ. Τρ. — Ἑ Ι. καὶ Β. ἐν τῷ ε'. βιβλ. τοῦ λά. τίτλου·

γε (1) ἁπάντων τοῖς ὁσιωτάτοις ἐπισκόποις ἅμα τῇ χειροτονίᾳ καὶ τὴν αὐτεξουσιότητα προσγίνεσθαι. Οἱ γὰρ πάντων ὄντες πνευματικοὶ πατέρες πῶς ἂν ὑπὸ τὴν ἑτέρων ἐξουσίαν τελοῖεν, ἐπεχείρησαν εἰπεῖν ἀπὸ μόνου τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἐλευθεριάζειν τοὺς ἐπισκόπους τῆς ὑπεξουσιότητος· οὐ μὴν δὲ καὶ τοὺς ἐκκλησιαστικοὺς ἄρχοντας αὐτεξουσίους γίνεσθαι ἐκ (2) τῆς πατριαρχικῆς σφραγίδος, ἣ γὰρ ἄν, φασι, καὶ τοῦτο τῇ νεαρᾷ προσετέθη. Ἐμοὶ δὲ δοκεῖ μὴ καλῶς λέγειν τούτους, οὐδὲ γὰρ ἀνῃρέθη τὸ νεαρὸν θέσπισμα τοῦ ἁγίου Κωνσταντίνου ὑπὸ τῆς Ἰουστινιανείου νεαρᾶς, τὸ διοριζόμενον ἐπίσης τῇ βασιλείᾳ καὶ τὴν ἐκκλησίαν τῆς Ῥώμης ἐν ἀξιώμασι (3) σεμνύνεσθαι, ἀλλὰ τοῦ ἐπισκοπικοῦ ἀξιώματος διδομένου μὴ μόνον παρὰ τῶν πατριαρχῶν, ἀλλὰ καὶ παρὰ μητροπολιτῶν, κἂντεῦθεν τινῶν ἀμφιβαλλόντων μὴ γίνεσθαι αὐτεξουσίους τοὺς ἐπισκόπους πάντας, ἡ Ἰουστινιάνειος νεαρὰ πάντας τοὺς ἐπισκόπους αὐτεξουσίους γίνεσθαι διωρίσατο, κἂν μὴ παρὰ πατριαρχῶν χειροτονῶνται. Ὅθεν καὶ ἀνενδοιάστως φημὶ ἀξιωματικοὺς εἶναι τοὺς τῆς μεγάλης ἐκκλησίας ἄρχοντας, καὶ ὀφείλειν αὐτοὺς τιμᾶσθαι ὡς τῆς ἱερᾶς συγκλήτου λογάδας, κατὰ τὸ θέσπισμα τοῦ ἁγίου Κωνσταντίνου καὶ τὰ λοιπὰ νόμιμα τὰ ἄνωθεν μνημονευθέντα. Τοῦτο δὲ ἰδικόν ἐστι προνόμιον τοῖς ἄρχουσι τοῦ θρόνου τῆς ἐκκλησίας τῶν Κωνσταντινουπολιτῶν διὰ τὸ τοῦ ἁγίου Κωνσταντίνου θέσπισμα. Οἱ γὰρ ἄρχοντες τῶν ἄλλων πατριαρχῶν, προσέτι γε μὴν καὶ τῶν μητροπολιτῶν, καὶ τῶν ἐπισκόπων, τῶν αὐτῶν προνομίων οὐκ ἀξιωθήσονται.

Σημείωσαι. Ἀπὸ τῶν ἐν τῷ παρόντι λς'. κεφαλαίῳ καταστρωθεισῶν νεαρῶν συνάγαγε καὶ εἰπὲ, ὅτι οἱ παρὰ γνώμην τοῦ δεσπότου κληρούμενοι δοῦλοι, ἢ καὶ ἐπισκοπεύοντες, εἰς τὸν πρότερον δεσπότην καὶ ἄκοντες ἀντιστρέφονται, ἐκ τῆς χειροτονίας μὴ ὠφελούμενοι. Ὡσαύτως εἰπὲ, ὅτι οὐκ ἀπροσδιορίστως δύναται ὁ δεσπότης ἀνακαλεῖσθαι τούτους, ἀλλ' ἐντὸς τριετίας μετὰ τὸ λαβεῖν αὐτοὺς εἴδησιν τοῦ γεγονότος

(1) Χ. Τρ. — Ἑ. Ἰ. Β. πρός γε. — (2) Χ. Τρ. — ἐν Ἑ. Ἰ. καὶ Β. οὐ κεῖται τὸ, ἐκ. — (3) ἀξιώμασι, Χ. Τρ.

ψηφιζομένης. Ἔτι εἰπὲ ὅτι τοῦ νόμου λέγοντος τὸν ἐπερωτώμενον, καὶ μὴ ἀντιλέγοντα ἀλλὰ σιωπῶντα, κερδαίνοντα μὲν ἀντὶ συναινοῦντος παραλαμβάνεσθαι, ζημιούμενον δὲ ἀντὶ ἀρνουμένου· ἐπὶ τοῦ παρόντος θέματος ὁ εἰδὼς τὴν χειροτονίαν τοῦ δούλου αὐτοῦ καὶ μὴ ἀντιλέγων ἀντὶ συναινοῦντος λογίζεται, καὶ ταῦτα βλαπτόμενος· καὶ ἔστι τοῦτο ἰδικὸν διὰ τὴν ἐλευθερίαν. Ἔτι εἰπὲ ὅτι ἀπὸ μόνης τῆς ἐπισκοπικῆς χειροτονίας οἱ ὑπεξούσιοι αὐτεξούσιοι γίνονται, οὐ μὴν ἀπὸ κληρώσεως οἱασδήτινος. Τὰ δὲ ἀρχοντίκια τοῦ πατριάρχου Κωνσταντινουπόλεως καὶ μόνου αὐτεξουσίους ποιοῦσι τοὺς ὑπεξουσίους. Τὸ δὲ εἰς τριετίαν παρεκτείνεσθαι τῷ δεσπότῃ τὴν ἀνάκλησιν τοῦ χειροτονηθέντος δούλου ἀπὸ τῆς νεαρᾶς τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ ἐστι καὶ κρατεῖ, κἂν *ἐπιβλαβὲς* (1) τῇ ἐλευθερίᾳ ἐστὶ, διὰ τὸ δίκαιον.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ διακονισσῶν, καὶ ὅτι γυνὴ οὐ γίνεται πρεσβυτέρα. Συνόδου Νικαίας κανὼν ιθ'. Συνόδου Λαοδικείας κανὼν ιά. Συνόδου Χαλκηδόνος κανὼν ιε'. Συνόδου ς'. κανὼν ιδ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ τῶν διὰ τῆς χειροτονίας λυομένων ἁμαρτημάτων. Συνόδου Νεοκαισαρείας κανὼν θ'.

(1) Διόρθ. ἐκδ. — Οἱ Ἑ. Ἰ. καὶ Β. ἐπιβαλὲς, τὸ δὲ Χ. Τρ. δυσανάγνωστον.

ΤΙΤΛΟΣ Β΄.

ΠΕΡΙ ΠΟΙΗΣΕΩΣ ΕΚΚΛΗΣΙΩΝ,

ΚΑΙ ΠΕΡΙ ΚΑΘΙΕΡΩΣΕΩΣ ΕΚΚΛΗΣΙΩΝ, ΚΑΙ ΜΑΡΤΥΡΙΩΝ ΜΗ ΕΧΟΝΤΩΝ ΛΕΙΨΑΝΑ ΑΓΙΩΝ,

Καὶ περὶ ἱερῶν σκευῶν, καὶ ἀναθημάτων, καὶ κληρικῶν παρὰ γνώμην ἐπισκόπων ἱστώντων θυσιαστήρια.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΠΕΡΙ ποιήσεως ἐκκλησιῶν, καὶ περὶ καθιερώσεως ἐκκλησιῶν καὶ μαρτυρίων μὴ ἐχόντων λείψανα ἁγίων. Συνόδου Καρθαγένης κανὼν ς΄. πγ΄. Συνόδου Νικαίας τὸ β΄. κανὼν ζ΄. ιζ΄.

Κείμενον.

Ἐν τῷ ιδ΄. κεφαλαίῳ τοῦ γ΄. τίτ. τοῦ παρόντος συντάγματος παρεγράφη πῶς γίνεται ἐκκλησία. Λέγει δὲ καὶ διάταξις ιε΄. τοῦ β΄. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικος, ὡς ἐάν τις δωρήσηται πρᾶγμα κινητὸν, ἢ ἀκίνητον, ἢ αὐτοκίνητον, (1) εἰς πρόσωπον μάρτυρος, ἢ προφήτου, ἢ ἀγγέλου, ὡς αὐτῷ μέλλων εὐκτήριον οἰκοδομεῖν, καὶ τὴν δωρεὰν ἐμφανίσῃ, ἐφ᾽ ὧν ἀναγκαῖόν ἐστιν, ἀναγκάζεται τὸ ἔργον, κἂν μὴ ἤρχθη, πληρῶσαι μετὰ κληρονόμων (2), καὶ πληρωθέντος δοῦναι τὰ τῆς δωρεᾶς. Τὸ αὐτὸ καὶ ἐπὶ ξενοδοχείων, καὶ νοσοκομείων, καὶ πτωχείων, ἀδείας οὔσης τοῖς ἐπισκόποις καὶ οἰκονόμοις ἐνάγειν αὐτοῖς (3). Τούτων δὲ πληρουμένων ἡ διοίκησις κατὰ τὰ δόξαντα τοῖς φιλοτιμησαμένοις (4) καὶ τοὺς ἐπιτεθέντας ὅρους

(1) ἢ δίκαιον Δ. 15 κώδ. 1. 2. — (2) κληρικῶν Ἑ. Ἰ. Β. — (3) αὐτοὺς Δ. 15 κώδ. 1. 2. — (4) φιλοτιμουμένοις Χ. Τρ.

γίνεται. Καὶ ἡ μέ. διάταξις τοῦ γ'. τίτλου τοῦ αὐτοῦ ά. βιβλίου φησὶν, ὅτι ἐάν τις εὐσεβῆ ποιήσοιτο διατύπωσιν ἢ ἐν ἐνστάσει, ἢ ληγάτῳ, ἢ εἰς τὴν πίστιν αὐτῶν (1), ἢ μόρτις καῦσα δωρεὰν, ἀνάγκην ἔχει ὁ κελευσθεὶς διὰ τοῦ ἐπισκόπου, κἂν ἐκωλύθη ἀπὸ διαθεμένου προνοῆσαι (2), εἰ μὲν ἐκκλησίαν ἐπετράπη ποιῆσαι, πληροῦν (3) αὐτὴν εἴσω τριετίας, εἰ δὲ ξενῶνα, εἴσω ἐνιαυτοῦ· δυνατὸν γὰρ καὶ οἶκον εἰς ἀνάκλισιν(4) τῶν ἀσθενούντων μισθοῦσθαι, ἑωσοῦ τὸ ἔργον πληρωθῇ. Τοῦ δὲ τοιούτου χρόνου παρερχομένου ἀπαιτεῖ τὸ καταλειφθὲν ὁ ἐπίσκοπος μετὰ καρπῶν καὶ ἐπαυξήσεων ἀπὸ τοῦ καιροῦ τῆς τοῦ διαθεμένου τελευτῆς, καὶ ποιεῖται τὰς οἰκοδομὰς τῶν ἐκκλησιῶν, καὶ τῶν ξενώνων, καὶ τῶν γηροκομείων, ἢ ὀρφανοτροφείων, ἢ νοσοκομείων, ἢ πτωχείων, καὶ προχειρίζεται τοὺς διοικητὰς αὐτῶν, εἴγε μὴ ῥητῶς ὁ τελευτήσας εἴπῃ τὸν ὀφείλοντα διοικεῖν· εἰ δὲ καὶ ὀνομάζῃ, ἄδειαν ἔχει ὁ ἐπίσκοπος κακῶς αὐτὸν διαγενόμενον ἀποκινεῖν, καὶ ποιεῖν ἄλλον· εἰ δὲ ὁ κελευσθεὶς καὶ παρὰ τοῦ ἐπισκόπου ὀχληθεὶς ἀρχικὴν ὑπόμνησιν ἀναμείνῃ, δίδωσι διπλοῦν τὸ καταλειφθέν· ῥαθυμοῦντος δὲ τοῦ ἐπισκόπου ἀναγκάζει πληρωθῆναι τὸ διατυπωθὲν ὁ μητροπολίτης ἢ ὁ τῆς διοικήσεως ἐκείνης ἀρχιεπίσκοπος, καὶ πᾶς βουλόμενος τῶν πολιτῶν κινεῖ. Εἰ δὲ μετὰ τὴν ἰδίαν τελευτὴν οἱ κληρονόμοι ἐκελεύσθησαν δοῦναι, ἤ τι ποιῆσαι, ὁ προδηλούμενος χρόνος μετὰ τὴν ἀποβίωσιν αὐτῶν ἀριθμεῖται· οἱ δὲ ἄρχοντες ἀναγκάζουσι ταῦτα πληροῦσθαι.

Σχόλιον.

Ἡ ιέ. διάταξις τοῦ 6'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος,

(1) φιδεϊκομμίσῳ Χ. Τρ. — (2) Χ. Τρ. — προνοῆσθαι. Ἐ. Β. — (3) πληροῖ Ἐ. Ἰ. Β. καὶ Χ. Τρ. — διωρθώθη κατὰ τὸ κείμενον τῆς διατ. 15 τοῦ κώδ. 1. 3. Διόρθ. Ἐκδ. —(4) ἀνάκλησιν Ἐ. Ἰ. Β. Χ. Τρ. ἀλλὰ διωρθώθη κατὰ τὴν μνησθεῖσαν διάτ. τοῦ κώδικος ἐν ᾗ ἀναγινώσκεται δυνατὸν οὖν καὶ οἶκον μισθώσασθαι, καὶ τοὺς ἀῤῥώστους ἐγκαταστῆσαι, Δ. ἐκδ.

ἐτέθη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. ά. κεφαλαίῳ ζ'. οὕτως ἔχουσα ὡς ἐντὸς συνωψίσθη (1). Ἡ μέ. διάταξις τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, καὶ μηδὲ σὺ ταύτῃ προσχῇς. Ἀνάγνωθι δὲ τὸ θ'. κεφάλαιον τοῦ τίτ. γ'. τοῦ έ. βιβλίου τῶν βασιλικῶν, μέρος ὂν τῆς ρλά. Ἰουστινιανείου νεαρᾶς, τὰ αὐτὰ σχεδὸν νομοθετοῦν καὶ καταστρωθὲν εἰς τὸ ἐπιὸν καταβατόν. Κατὰ τὸν Μάρτιον μῆνα τῆς ιδ'. Ἰνδικτιῶνος γέγονε νεαρὰ τοῦ ἁγίου ἡμῶν αὐτοκράτορος κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ ἐν μέρει τάδε διεξιοῦσα· Σὺν τούτοις καὶ τοῦτο θεσπίζοντες τοῖς προγραφεῖσι προστίθεμεν. Πολλοὶ τῶν ἀνθρώπων, ἐν τοῖς ἐπιτελευταίοις αὐτῶν διατάγμασιν, ἐπιτρόπους ἤγουν διοικητὰς τῶν παρ' αὐτῶν διορισθέντων καταλιμπάνουσι, καὶ τούτοις ἀνατιθέασι τὴν τῶν πραγμάτων αὐτῶν οἰκονομίαν τε καὶ διοίκησιν, τὸν Χριστὸν κληρονόμον γράφοντες, τὸ γλυκὺ τοῦτο καὶ κοσμοσωτήριον ὄνομα. Τοῦτο δὲ δοκοῦσι ποιεῖν δι' ὧν τοῖς πένησι τὰς περιουσίας αὐτῶν καταμερισθῆναι προστάττουσι. Τοῦ γὰρ αἰτοῦντος λαμβάνοντος ἵσταται ὁ Χριστὸς συγκοιλαίνων τούτῳ τὴν χεῖρα· ἐφόσον γάρ, φησιν, ἑνὶ τούτων τῶν ἐλαχίστων ἀδελφῶν ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. Παρακελευόμεθα οὖν ὅταν ἐπιτροπικαὶ τοιαῦται διοικήσεις πρόκεινται, καὶ εἰς εὐσεβεῖς αἰτίας διανομαὶ, καὶ πρὸς ψυχικὰς οἰκονομίας, καὶ ὀρφανῶν ἀφηλίκων τε καὶ πενήτων ἀναγωγὰς καὶ διατροφὰς τείνωσι, μὴ χώραν ἔχειν ἐν ταύταις τοὺς τῶν δικαστηρίων ὑπερβιβασμοὺς, καὶ τὰς ἐντεῦθεν χρονοτριβήσεις· συμβαίνει γὰρ ἐντεῦθεν τὰς τῶν τελευτώντων ζημιοῦσθαι ψυχὰς, καὶ τοὺς ἐπ' ἀγαθῷ καὶ κοινῇ λυσιτελείᾳ τοῦ παντὸς τεθέντας νόμους, εἰς τοὐναντίον περιΐστασθαι· οὐ γὰρ δίκαιον κρίνει ἡ βασιλεία μου τὴν ἐπὶ τοῖς λοιποῖς δικαστηρίοις κρατοῦσαν ἀκολουθίαν, καὶ ἐπὶ τοῖς τοιούτοις πολιτεύεσθαι, ἀλλὰ τὰς ἐπὶ ταῖς τοιαύταις ὑποθέσεσιν ἀμφιβολίας ἀπεντεῦθεν λύεσθαι, μὴ λιβέλλου διδομένου, εἰδήσεως δὲ τριημέρου ἢ καὶ ἐπὶ τέταρτον παρεκτεινομένης, μήτινος γὰρ δικαστικῆς ὑποθέσεως ἐπει-

(1) Ἅπασα ἡ πρώτη αὕτη περίοδος ἐλλείπει ἐν Χ, Τρ.

σαγομένης, ἡ τῶν προσόντων ἑκάστῳ δικαίων γενήσεται κατεξέτασις, καὶ μετακληθήσονται καὶ ἄμφω τὰ μέρη δίχα τινὸς ὑπερημερίας, καὶ ἀπαιτηθήσονται ἑκάτερα τὰ μέρη (1) τὰ δοκοῦντα συντείνειν αὐτοῖς προβαλέσθαι, καὶ οὕτω δι' ὀλίγου καιροῦ μηνιαίου τυχὸν, ἢ καὶ εἰς δεύτερον παρεκτεινομένου κατὰ τὸ δόξαν τῷ δικαστῇ, προσήκουσαν δέξοιτο λύσιν τὸ ἀνακύψαν ἀμφίβολον, τηρουμένων δηλονότι τῶν νόμων ἐπὶ τῆς οἰκείας ἕδρας καὶ παγιότητος, ὅσοι μὴ μετὰ τὸν τοῦ τελευτήσαντος θάνατον, εὐθὺς τοὺς ἐκείνου διαδόχους εἰς δικαστήριον ἕλκεσθαι διακελεύονται (1), ἀλλὰ μετὰ παραδρομὴν ἡμερῶν τινῶν καθὼς τὰ περὶ τούτων πλατύτερον τοῖς βασιλικοῖς διηγόρευται. Εἰ δέ γε ἐπίτροπος εἰς ὑπερθέσεις φανείη χωρῶν, καὶ τοιαῦτα σκαιωρῶν φωραθείη, καὶ πρὸς ὑπερβιασμοὺς χωρήσῃ, μὴ ποιῶν καθὼς ὁ διαθέμενος διετάξατο, τῆς ἐπιτροπῆς καὶ οἰκονομίας τῶν τοῦ τελευτήσαντος πραγμάτων μετακινηθήσεται, ἀνατεθήσεται δὲ αὖτη, οἷς ἂν ὁ βασιλεὺς διορίσηται, ἢ τούτου ἴσως ἀποδημοῦντος, ὁ τῆς πόλεως ἔπαρχος, ἅμα τῷ τῆς ἁγιωτάτης ἐκκλησίας οἰκονόμῳ, τὴν τούτου ποιήσεται οἰκονομίαν τε καὶ διοίκησιν, ὀφείλοντες εἴδησιν διδόναι τῶν ἐπὶ ταῖς τοιαύταις ὑποθέσεσιν οἰκονομουμένων τῷ βασιλεῖ, καὶ τῷ κατὰ τὴν ἡμέραν ἁγιωτάτῳ πατριάρχῃ, εἰ τύχῃ τὸν βασιλέα ἀπόδημον εἶναι, καὶ μὴ κατὰ πρόσταξιν αὐτοῦ τὰ τοῦ τελευτήσαντος πληρωθῶσι θελήματα.

Κείμενον.

Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν φησι διὰ δημοσίων προσώπων δὶς ὀχλούμενον τὸν κελευσθέντα παρὰ τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου, καὶ ὑπερθέμενον, ἐκπίπτειν παντὸς κέρδους, καὶ τὴν οὐσίαν πᾶσαν ὁ ἐπίσκοπος μετὰ τῶν ἐν μέσῳ ἐπαυξήσεων δαπανᾷν εἰς τὰ διατυπωθέντα, μὴ παρακρατουμένου φαλκιδίου· τὸ αὐτό ἐστι κἂν πρὸς ἅπαξ τι ληγατευθῇ. Ἡ αὐτὴ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν φησιν εἴσω ἓξ μηνῶν μετὰ τὴν ἐμφά-

(1) Χ. Τρ. — τὰ μέρη δίχα τινὸς Ἐ. Ἰ Β. — (2) διορίζονται Β. ἐν περισελιδίῳ.

νειαν τῆς διαθήκης, ἐξ ὑπερθέσεως καρποὺς, καὶ τόκους, καὶ ἐπαυξήσεις, ἀπὸ τελευτῆς τοῦ καταλείποντος ἀπαιτεῖσθαι. Ἡ αὐτὴ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν φησιν εἴσω πενταετίας τὴν ἐκκλησίαν ὀφείλειν πληροῦσθαι, τοὺς δὲ ἄλλους εὐαγεῖς οἴκους εἴσω ἐνιαυτοῦ, εἰ δὲ μὴ ἐντὸς τοῦ ἐνιαυτοῦ ποιήσουσιν οἱ κληρονόμοι, ἀναγκαζέσθωσαν οἶκον ἀγοράζειν, ἢ μισθοῦσθαι, ἔνθα δύναται τὰ κελευσθέντα πληροῦσθαι· τὰ δὲ περὶ τῆς διοικήσεως ὁμοίως τῇ προλαβούσῃ μέ. διατάξει δατυποῖ.

Σχόλιον.

Ἡ γ'. διάταξις τοῦ β'. τίτλου τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ έ. τίτλῳ γ'. τὰ δὲ συνοψισθέντα εἰσὶ τοῦ αὐτοῦ τίτλου κεφάλαιον θ'. οὕτως ἔχον· Εἰ δὲ ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων τι καταλέλειπται, καὶ μὴ ὀνόματι ὁ διαθέμενος εἴπῃ, διὰ τίνος χρὴ γενέσθαι τὴν ἀνάῤῥυσιν, καὶ οὕτω κελεύομεν τὰ πράγματα τὰ ἐπὶ τούτῳ (1) καταλειφθέντα, τὸν τῶν (2) τόπων ἐπίσκοπον καὶ τὸν τούτου οἰκονόμον λαβεῖν, καὶ τὸ τοιοῦτον εὐσεβὲς ἔργον πληροῦν. Ἐν πάσαις γὰρ ταῖς τοιαύταις εὐσεβέσι βουλήσεσι, τοὺς ὁσιωτάτους τῶν τόπων ἐπισκόπους βουλόμεθα προνοεῖν, ὥστε πάντα κατὰ τὴν τοῦ τελευτήσαντος βούλησιν προβαίνειν, εἰ καὶ τὰ μάλιστα παρὰ τῶν διαθεμένων ἢ τῶν δωρησαμένων ἀπαγορευθῇ αὐτοῖς ἔχειν πρὸς αὐτά τινα μετουσίαν. Εἰ δὲ οἱ ταῦτα ποιῆσαι κελευσθέντες ἅπαξ καὶ δὶς παρὰ τοῦ μακαριωτάτου τῶν τόπων ἐπισκόπου καὶ τῶν τούτων οἰκονόμων διὰ δημοσίων προσώπων ὑπομνησθέντες ὑπέρθωνται τὰ διατυπωθέντα πληρῶσαι, κελεύομεν τούτους ἅπαν τὸ κέρδος τὸ καταλειφθὲν αὐτοῖς παρὰ τοῦ ταῦτα κελεύσαντος ἀπολλῦναι, τοὺς δὲ ὁσιωτάτους τῶν τόπων ἐπισκόπους πάντα τὰ πράγματα τὰ πάσαις ὡς εἴρηται ταῖς εὐσεβέσιν αἰτίαις ἀφορισθέντα, μετὰ καρπῶν καὶ ἐπαυξήσεων τοῦ μέσου χρόνου, καὶ τοῦ μνημονευθέντος χρόνου κέρδους ἐκδικεῖν, καὶ ἅπερ ὁ διαθέμενος διε-

(1) Χ. Τρ. — ἐπὶ τούτου Ἐ. Β.—(2) Χ. Τρ.—τούτων τοπων Ἐ. Ι. Β.

τύπωσε, πληροῦν, εἰδότας ὡς, εἰ ῥᾳθυμήσαιεν, ὑπὲρ πάντων τούτων λόγον τῷ Θεῷ παρέξουσιν. Εἰ μέν τοι ὁ ὁσιώτατος τῶν τόπων ἐπίσκοπος παραλείπῃ τι τῶν ἡμῖν εἰρημένων, ἐξέστω καὶ τῷ ὁσιωτάτῳ αὐτοῦ μητροπολίτῃ ταῦτα ἀπαιτεῖν καὶ πληροῦν· καὶ παντὶ δὲ ἑτέρῳ ἄδεια ἔστω, τὴν τοιαύτην ζήτησιν κινεῖν, καὶ σπουδάζειν ἵνα πᾶσι τρόποις αἱ τοιαῦται εὐσεβεῖς αἰτίαι πληρωθῶσιν. Εἰ δὲ ὁ κληρονόμος τὰ εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένα μὴ πληρώσῃ, λέγων τὴν καταλειφθεῖσαν αυτῷ κληρονομίαν (1) μὴ ἀρκεῖν εἰς ταύτας, κελεύομεν, παντὸς τοῦ ἐκ τοῦ φαλκιδίου κέρδους σχολάζοντος, ὅσον δήποτε εὑρεθῇ ἐν τῇ τοιαύτῃ οὐσίᾳ προχωρεῖν ἐν τῇ προνοίᾳ τοῦ ἁγιωτάτου τῶν τόπων ἐπισκόπου εἰς τὰς αἰτίας εἰς ἃς καταλέλειπται. Εἰ δὲ ληγάτον παρά τινος εἰς εὐσεβεῖς αἰτίας καταλειφθείη, κελεύομεν εἴσω μηνῶν ἓξ ἀπὸ τῆς ἐμφανίσεως τῆς διαθήκης ἀριθμουμένων, τοῦτο πᾶσι τρόποις παρέχεσθαι οἷς καταλέλειπται. Εἰ δὲ ὑπέρθωνται οἱ τούτῳ βεβαρημένοι τὸ τοιοῦτον ληγάτον παρέχειν, καὶ καρποὺς, καὶ τόκους, καὶ πᾶσαν νόμιμον ἐπαύξησιν ἀπαιτηθήσονται ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ (2) ταῦτα καταλιπόντος. Εἰ δὲ ληγάτον ἐτήσιον οἱῳδήποτε σεβασμίῳ οἴκῳ καταλειφθείη, εἰ μὲν οἱ τοῦτο (3) δοῦναι κελευσθέντες, ἢ ὁ τόπος, ἐξ οὗ ἐκελεύσθη τοῦτο παρέχεσθαι, ἐν τῇ αὐτοῦ ἢ τῇ γείτονι ἐπαρχίᾳ εἴη, κελεύομεν μηδενὶ τρόπῳ (4) τὸ τοιοῦτον ληγάτον ἐκποιεῖσθαι. Εἰ δὲ οἱ τόποι ἢ τὰ πρόσωπα' ἐξ ὧν τοῦτο δοθῆναι προσετάχθη, πορρώτερω εἴησαν, τηνικαῦτα ἐξέστω ἐκείνοις οἷς τοῦτο καταλέλειπται, εἰ καὶ τὸ ἐνεχόμενον μέρος συναινεῖ, ἀμείβειν τὸ ληγάτον, καὶ πλησίον λαμβάνειν ὑπὲρ τούτου πρόσοδον εὔπορον, καὶ μετὰ προσθήκης οὐκ ἐλάττονος τοῦ τετάρτου μέρους τῆς καταλειφθείσης ποσότητος, καὶ μηδὲ πολλοῖς δημοσίοις (5) τελέσμασι βεβαρημένης. Εἰ δὲ καὶ πωλῆσαι βούλεται τοιοῦτον, μὴ ἔλαττον εἰς τὸ τίμημα λαβεῖν, τοῦ ὅσον ὑπὲρ τοιούτου ληγάτου ἐπὶ λέ. ἐνιαυτοῖς συνάγεται· οὕτω μέν τοι ὥστε τὸ τοιοῦτον τίμημα εἰς τὸ συμφέρον τοῦ προειρημένου σεβασμίου οἴκου ὅπου κατελείφθη προχωρεῖν. Καὶ κε-

(1) περιουσίαν Χ. Τρ. — (2) Χ. Τρ. ἐλλείπει τὸ τοῦ Ἑ. Ἰ. Β. —(3) Χ. Τρ. οἱ τοιοῦτοι Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. μὴ ἐπι τρόπῳ Ἰ. Β. — (5) ἐτησίοις Χ. Τρ

φάλαιον ζ'. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου οὕτως ἔχον· Εἴτις κατασκευὴν εὐκτηρίου ναοῦ, ἢ ξενῶνος, ἢ πτωχείου, ἢ ὀρφανοτροφείου, ἢ νοσοκομείου, ἢ ἄλλου σεβασμίου οἴκου, ἐν τελευταίᾳ βουλήσει γενέσθαι διατυπώσει, τὸ εὐκτήριον μὲν πέντε εἴσω ἐνιαυτῶν πληροῦσθαι κελεύομεν προνοίᾳ τοῦ τῶν τόπων ἐπισκόπου, καὶ τοῦ πολιτικοῦ ἄρχοντος, τὸν δὲ ξενῶνα, καὶ τὸ πτωχεῖον, ἢ ἄλλον σεβάσμιον οἶκον, εἴσω ἑνὸς ἐνιαυτοῦ γίνεσθαι. Εἰ δὲ ἐντὸς ἐνιαυτοῦ μὴ ποιήσωσιν οἱ κληρονόμοι τὸν ξενῶνα, ἢ οἱονδήποτε σεβάσμιον οἶκον, ὑπὸ τοῦ διαθεμένου διατυπωθέντα γενέσθαι, κελεύομεν τούτους οἶκον ἢ ἀγοράζειν, ἢ μισθοῦσθαι, ὅπου δύνανται τὰ κελευσθέντα πληρῶσαι, ἕως ἂν ὁ τοιοῦτος σεβάσμιος οἶκος πληρωθῇ. Καὶ εἰ μὲν αὐτὸς ὁ διαθέμενος ὁρίσῃ τοὺς ὀφείλοντας ξενοδόχους γενέσθαι, ἢ πτωχοτρόφους, ἢ ἄλλους τοιούτους διοικητὰς, εἴτε τοῖς ἰδίοις κληρονόμοις τὴν τοιαύτην ἐπιλογὴν παράσχῃ, κελεύομεν τρόποις ἅπασι τοὺς κληρονόμους αὐτοῦ, τὰ παρ' αὐτοῦ διατυπωθέτα πληροῦν, τῶν κατὰ τόπον μακαριωτάτων ἐπισκόπων ἐποπτευόντων εἰ καλῶς ἡ διοίκησις προβαίνει, καὶ εἰ εὕρωσι μὴ χρησίμους ὄντας τοὺς διοικητὰς, ἄδειαν ἐχόντων ἄνευ ζημίας ἄλλους ἀντὶ τοιούτων ἐπιτηδείους ποιεῖν.

[Σημείωσαι (1) ἀπὸ τῶν ἐνταῦθα καταστρωθεισῶν νεαρῶν, ὅτι τὰ παρὰ τῶν κτητόρων γινόμενα τυπικὰ εἰ μὴ τοῖς κανόσιν ἐναντιοῦνται, κρατοῦσιν, ὅτι ὁ κατὰ χώραν ἐπίσκοπος, καὶ οἰκονόμος αὐτοῦ καταναγκάζουσι καὶ μὴ βουλομένους μὴ μόνους τοὺς διαδόχους τῶν δωρησαμένων πράγματά τινα χάριν εὐσεβοῦς αἰτίας, ἀλλὰ καὶ αὐτοὺς τοὺς δωρησαμένους, δοῦναι τὰ δωρηθέντα, κἂν μὴ ἐνεδόθη τοῦτο παρὰ τοῦ διαθεμένου, ἢ κἂν καὶ ἐκωλύθη, ὅτι τὰ εἰς εὐσεβεῖς αἰτίας καταλιμπανόμενα οὐ φαλκιδοῦνται (2), ὅτι ἔξεστι τοῖς ἐπισκόποις μετακινεῖν ἀπὸ τῆς διοικήσεως τῶν οἴκων, τοὺς καταλιμπανομένους παρὰ τῶν κτητόρων διοικητὰς κακοὺς ἀναφαινομένους, καὶ ἄλλους ποιεῖν. Καὶ ταῦτα σημειωσάμενος λέγε, ἀνυπόστατα εἶναι τὰ ἐν τοῖς τυπικοῖς γραφόμενα παρὰ τῶν

(1) ἡ Σημ. κεῖται ἐν περισελιδίῳ τοῦ Χ. Γρ. δι' ἐρυθρᾶς γραφῆς. —(2) Χ. Γ. καὶ Ε. —φεικιδοῦνται Ι. φεικιδιοῦνται Β.

κτητόρων χάριν τοῦ μὴ μετέχειν ὅλως τοὺς ἐγχωρίους ἀρχιερεῖς εἰς τὰ παρ' αὐτῶν κτιζόμενα μοναστήρια. Ὡσαύτως καὶ τὰ τῶν ἀρχιερέων ὑπομνήματα τὰ διαλαμβάνοντα μὴ μετέχειν εἰς τὰ μοναστήρια τοὺς μετ' αὐτοὺς ἐπισκόπους, καὶ τοὺς παρὰ τοῦτο ἐπισειομένους ἐκ παραβασίας ἀφορισμοὺς στρέφεσθαι ὡς ἀνευλόγους εἰς τὰς κεφαλὰς τῶν ἀφορισάντων.]

Κείμενον.

Λέγει δὲ βιβλίον ά. τῶν διατάξεων τίτ. ή. διάτ. ά. ὅτι τὰ ἱερὰ θείου δικαίου εἰσί, καὶ ὑπ' οὐδενὸς δεσπόζονται· ἱερὸν δὲ πρᾶγμά ἐστι, τὸ ἀνιερωθὲν δημοσίῳ· τὰ γὰρ ἰδιωτικὰ οὐκ εἰσὶν ἱερά, ἀλλὰ βέβηλα. Εἰ δὲ καταπέσῃ τὸ οἰκοδόμημα, μένει ὁ τόπος ἱερὸς ὡς διάταξις στ'. καθιεροῦνται δὲ καὶ ἐν πόλεσι καὶ ἐν χωρίοις. Δημόσιος δὲ τόπος παρ' ἐκκέλευσιν βασιλέως οὐ γίνεται ἱερὸς, ὡς διάταξις ή. καὶ θ'. Ἀδιατίμητον δέ ἐστι τὸ ἱερὸν, ὡς διάταξις ί. καὶ ἰνστιτουτίων β'. τίτ. ά. φησὶν, ὅτι ἱερόν ἐστι τὸ ὀρθῶς καὶ διὰ τοῦ ἱερέως τῷ θεῷ ἀνιερωμένον, ὡς οἱ ναοὶ καὶ τὰ σκεύη· τοῦ δὲ ναοῦ καταπεσόντος μένει ὁ τόπος ἱερός. Οὐκ ἔστι δὲ ἱερὸν ὅπερ τις κατ' οἰκείαν αὐθεντίαν ὡς ἱερὸν ποιήσει· καὶ τίτ. στ'. ὅτι οὐ κτᾶταί τις τὰ ἱερὰ διὰ τῆς χρονίας νομῆς, οὔτε ἰσχυρῶς τις ἐπερωτᾷ λαβεῖν ἱερὸν, ὡς ἰνστιτουτίων γ'. τίτ. ιθ'. καὶ τίτ. κγ'. ὅτι οὐδεὶς ἐν εἰδήσει ἀγοράζει ἱερόν· εἰ δὲ ἀπατηθεὶς ἠγόρασεν ὡς ἰδιωτικὸν, κινεῖ ἐπὶ τῷ διαφέροντι. Καὶ ἰνστιτουτίων δ'. τίτ. ιέ. ὅτι κωλύεταί τις ἐν ἱερῷ κτίζειν. Βιβλίον ά. τίτ. ιστ'. διάταξις ζ'. Οἱ ἄρχοντες ἐπιβλέπουσι τὰ ἱερὰ καὶ παρασκευάζουσιν αὐτὰ φιλοκαλεῖσθαι. Βιβλίον β'. τίτ. ιδ'. διάταξις ξ'. Οὐ καλῶς τις πακτεύει μὴ (1) καθιεροῦν τὸν ἴδιον τόπον. Βιβλίον στ'. τίτ. ά. διάταξις κγ'. Τὰ ἱερὰ ὡς ἡμέτερα ἐκδικεῖν οὐ δυνάμεθα. Βιβλίον ή. τίτ. ά. διάτ. ιδ'. Ἱεροῦ τόπου

(1) Χ. Τρ. — ὁ μὴ ἐλλείπει ἐν Ἰ. Ε. καὶ Β.

παρεντιθεμένου καὶ ἡ δι' αὐτοῦ πάροδος εἰς ἰδιωτικὸν ἐμποδίζεται· δουλεία γὰρ οὐ συνίσταται διὰ τοῦ τοιούτου (1) τόπου. Βιβλίον ιά. τίτ. ζ'. διάταξις λστ'. Τὰ ἱερὰ γινόμενα ὑπὸ τοὺς πολεμίους παύεται εἶναι ἱερά, ὥσπερ ὁ ἐλεύθερος δουλωθείς· ἀπολυθέντα δὲ τῆς συμφορᾶς ἀναλαμβάνει τὴν προτέραν κατάστασιν. Βιβλίον ιζ'. τίτ. β'. διάτ. ξγ'. ὅτι ἐὰν ἀνιερωθῇ τὸ κοινὸν πρᾶγμα, λύεται ἡ ἐπ' αὐτῷ κοινωνία. Καὶ βιβλίον ιή. τίτ. ά. διάτ. δ'. στ'. ξβ'. Τοῦ ἱεροῦ πράγματος ἀγορασία συνίσταται, ἐὰν ἀγνοῇ ὁ ἀγοραστὴς ἱερὸν αὐτὸ εἶναι, καὶ ἔχει κατὰ τοῦ πράτου (2) εἰς ὅπερ αὐτῷ διέφερε μὴ ἀπατηθῆναι· εἰ δὲ γινώσκει ὁ ἀγοραστὴς, οὐ συνίσταται ἡ πρᾶσις. Καὶ διάτ. ογ'. τοῦ αὐτοῦ τίτ· Τοῦ ἱεροῦ πεσόντος ὁ τόπος οὐ γίνεται βέβηλος, ὅθεν οὐδὲ πωλεῖται.

Σχόλιον.

Τὸ ά. διάταγμα τοῦ ή. τίτλου τοῦ ά. βιβλίου τῶν διατάξεών (3) ἐστι βιβλίον μς'. τῶν βασιλικῶν τίτλος γ'. κεφάλαιον ά. οὕτως ἔχον ὡς ἐγράφη. Τὸ ς'. διάταγμά ἐστι κεφάλαιον ή. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου ὅμοιον κατὰ πάντα τῷ διατάγματι (4). Ὡσαύτως καὶ τὸ ή. θ'. καὶ ί. τὰ παρὰ (5) τοῦ ά. καὶ στ'. τίτλου τῆς ϐ'. Ἰουστιτουτιῶνος οὕτως ἔχουσιν, ὡς ἐν τοῖς ἰνστιτούτοις ἐγράφη. Ζήτει οὖν ἀπὸ τούτων μαθεῖν τελειότερον τὰ ἐκ τούτων γραφέντα (6) ἐν τῷ παρόντι συντάγματι. Τὸ δὲ παρὰ γνώμην τῶν ἱερέων γεγονὸς ἱερὸν παρά τινος, οὐκ ἔστιν ἱερὸν, ὡς οἶμαι· νοεῖται δὲ ὅσον εἰς τὸ λογίζεσθαι ἐπισκοπικὸν, καὶ ἔχειν προνόμια καθολικῆς ἐκκλησίας, καὶ μὴ λογίζεσθαι ἰδιωτικὸν (7), ἐπεί τοι γε εἰς τὸ μὴ κοινωθῆναι, κἂν μὴ ἱερὸν ὀνομάζηται, ἀλλὰ ἅγιόν ἐστι· καὶ τὸ οἰκοδομηθὲν δίχα εὐχῆς ἱερέως, κἂν καταπέσῃ ὡς ἅγιον, οὐκ ἔτι κοινωθήσεται (8). Τὸ ζ'. διάταγμα τοῦ ις'. τίτλου τοῦ ά.

(1) Χ. Τρ. — διὰ τούτου Ἑ. Ἰ. Β. — (2) κατὰ τοῦ πράγματος Χ. Τρ.— (3) τῶν διγέστων Χ. Τρ. — (4) τῷ διγέστῳ Χ. Τρ. — (5) τὸ περὶ Χ. Τρ. — (6) τεθέντα Χ. Τρ.—(7) καὶ μὴ λογίζεσθαι ἱερὸν οὐ κεῖνται ἐν Χ. Τρ.—(8) ὅλη ἡ φράσις ἔχει ἄλλως ἐν Χ. Τρ. Ἐπείτοι γε εἰς τὸ μὴ κοινωθῆναι ἱερόν ἐστι,

βιβλίου τῶν διατάξεών ἐστι βιβλίον τῶν βασιλικῶν ς'. τίτλος ϐ'. κεφάλαιον θ'. οὕτως ἔχον ὡς ἐγράφη. Τὸ ζ'. διάταγμα τοὺ ιδ'. τίτλου τοῦ ϐ'. βιβλίου ἐστὶ βιβλίον τῶν βασιλικῶν ιά. τίτ. ά. κεφ. ξ'. λέγον τὰ αὐτά. Τὸ κγ'. διάταγμα τοῦ ϐ'. τίτλου τοῦ ς'. βιβλίου τῶν διγέστων (1) ἐστὶ βιβλίον ιέ. τίτλος ά. κεφάλαιον κγ'. θέμα ϐ'. οὕτως ἔχον ὡς ἐγράφη. Τὸ ιδ'. διάταγμα τοῦ ά. τίτλου τοῦ ή. βιβλίου τῶν διγέστων (2) ἐστὶ βιβλίον νή. τίτλος ά. κεφάλαιον ιδ'. θέμα τελευταῖον ὁμοίως ἔχον. Τὸ λστ'. διάταγμα τοῦ ζ'. τίτ. τοῦ ιά. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον τῶν βασιλικῶν νθ'. τίτ. ά. κεφάλαιον λς'. οὕτως ἔχον ὡς ἐγράφη. Τὸ ξγ'. διάταγμα τοῦ ϐ'. τίτλου τοῦ ιζ'. βιβλίου τῶν διατάξεών ἐστι βιβλίων τῶν βασιλικῶν ιϐ'. τίτλος ά. κεφάλαιον ξγ'. θέμα τελευταῖον λέγον· Λύεται ἡ κοινωνία φθειρομένων τῶν προσώπων, ἢ τοῦ πράγματος, ἢ τῆς ἀγωγῆς, ἢ τῆς γνώμης· προσώπων μὲν ἐπὶ τῆς μεγάλης ἢ μέσης καταστάσεως ἐναλλαγῆς, καὶ θανάτου· φθείρεται δὲ τὸ πρᾶγμα ὅταν ἢ παντελῶς οὐχ ὕπεστιν, ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἀνιερωθὲν ἢ καὶ δημευθέν. Ἀκούων δὲ τοῦ νόμου μεμνημένου βεβηλότητος, μὴ ἐκλαβοῦ αὐτὴν εἰς ἀκαθαρσίαν ἀλλ' εἰς ἰδιωτείαν. Τὸ έ. ς'. καὶ ξϐ'. διατάγματα τοῦ ά. τίτ. τοῦ ιή. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον ιθ'. τίτ. ά. κεφ. δ'. τὰ αὐτὰ λέγον· καὶ τὸ ογ'. διάταγμα τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου ἐστὶ τοῦ αὐτοῦ ιθ'. βιβλίου τίτ. ά. κεφάλαιον ογ'. οὕτως ἔχον ὡς γέγραπται. Γίνωσκε δὲ ὅτι τὰ μὲν μὴ ἱερωθέντα ἅγια καὶ πωλοῦνται, καὶ δωροῦνται, καὶ οὐσουκαπιτευόνται, καὶ διὰ χρόνου κυριεύονται· τὰ δὲ ἱερὰ ὁπωσδήποτε οὐ δεσπόζονται, καὶ ὅτι ὁ μὲν κλέψας ἱερὸν, ὡς ἱερόσυλος κολάζεται· ὁ δὲ κλέψας ἰδιωτικὴν ἁγίαν εἰκόνα, ὡς κλέπτης ἐνέχεται. Εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ τούτων διαφοραί. Εἰ δέ τις ἐρεῖ καὶ πῶς πωλοῦνται μοναστήρια καὶ σκευοφυλάκια, ἀκουσάτω ὅτι τοιοῦτό τι οὔτε ἀγοράζεται, οὔτε πωλεῖται· τὸ δὲ δίκαιον τὸ ἐπὶ τούτοις προσαρμόζον τινὶ καὶ

κἂν γὰρ εὐκτήριόν τις οἰκοδομήσῃ δίχα εὐχῆς ἱερέως, ἱερός ἐστι ὁ τοιοῦτος τόπος, καὶ οὐκ ἔτι κοινωθήσεται. — (1) Χ. Τρ. — ϐ', τίτλου Ἑ. Β. — (2) Χ. Τρ. ἐν. Ἰ. Ἑ. Β. ἐλλείπει τῶν διγέστων.

πωλεῖται καὶ ἀγοράζεται· ὁ γὰρ ἀγοράζων ἱερὸν τόπον ἢ σκεῦος ἐν εἰδήσει ἀπόλλυσι τὸ τίμημα, καὶ κολάζεται· καὶ ζήτει βιβλίον . . . τίτλον . . . κεφάλαιον (1). Ἐξ εὐλόγων δέ τινων αἰτιῶν πωλεῖται ἔστιν ὅτε καὶ τὰ ἱερά· καὶ ζήτει τὸν ά. καὶ β'. τίτλον τοῦ έ. βιβλίου, διδάσκουσι γὰρ περὶ ἐκκλησιῶν, καὶ μοναστηρίων, καὶ εὐαγῶν οἴκων, καὶ περὶ τῶν πραγμάτων καὶ δικαιωμάτων αὐτῶν, καὶ περὶ ἐκποιήσεως, καὶ ἐμφυτεύσεως ἐκκλησιαστικῶν πραγμάτων. Καὶ ταῦτα μὲν περὶ τῶν ἱερῶν· τὰ δὲ ἐπὶ καρποφορίᾳ προσαγόμενα οὐκ εἰσὶν ἱερά· καὶ ζήτει βιβλίον νδ'. τίτλον γ'. κεφάλαιον ά.

Κείμενον.

Καὶ βιβλίον κδ'. τίτ. ά. διάταξις έ. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου τόπον ἐφ' ᾧ ποιῆσαι ναὸν ἐν αὐτῷ, καὶ γίνεται ὁ τόπος ἱερός. Βιβλίον κζ'. τίτ. ί. διάτ. ιβ'. Ὁ τοῦ μαινομένου κουράτωρ οὐ δύναται πρᾶγμα αὐτοῦ καθιεροῦν. Βιβλίον λ'. διάτ. λθ'. Ὁ ἱερὸν ληγατεύων δοκεῖ μαίνεσθαι, καὶ οὔτε τὸ τίμημα δίδοται, ἐπειδὴ οὔτε ὅλως πωλεῖται. Βιβλίον λθ'. τίτλος ά. διάτ. ά. Ἡ περὶ τῆς καινοτομίας παραγγελία χώραν ἔχει, ἵνα μὴ γένηται παρὰ τὸν νόμον ἔργον ἐν ἱερῷ τόπῳ. Τίτ. γ'. διάτ. ιζ'. Ἱεροῦ τόπου παρεντιθεμένου δουλεία οὐ συνίσταται. Βιβλίον μά. τίτ. β'. διάτ. λά. Νέμεσθαι παυόμεθα τόπον γινομένου ἱεροῦ, κἂν μὴ ὡς τοιοῦτον, ἀλλ' ὡς ἰδιωτικὸν αὐτὸν ἔχωμεν. Τίτ. γ'. διάτ. θ'. Τὰ ἱερὰ οὐ κτώμεθα διὰ χρονίας νομῆς. Βιβλίον μγ'. τίτ. ά. διάτ. ά. β'. Οὐ δεῖ γίνεσθαί τι κατὰ ἱεροῦ τόπου, καὶ γενόμενον ἀποκαθίσταται. Τίτ. ς'. τοῦ αὐτοῦ βιβλίου διάτ. ά. τίτ. ά. Οὐκ ἔξεστί τι ποιεῖν, ἢ ἐμβάλλειν ἐν ἱερῷ τόπῳ ὅπερ ἀμορφίαν καὶ οὐ κόσμον αὐτῷ φέρει· τοῦτο δὲ πρὸς τὰ ἰδιωτικὰ ἱερὰ οὐκ ἀνήκει. Ἡ δὲ φυλακὴ τῶν ἱερῶν τοῖς προεστῶσιν αὐτῶν ἐπιτέτραπται. Τίτ. ή. διάτ. β'. Κτί-

(3) οὔτε τὸ X. Τρ. οὔτε αἱ ἐκδόσεις Ἑ. Ἰ. καὶ Β. σημειοῦσι τὸν ἀριθμὸν τοῦ βιβλ. τίτ. καὶ κεφ.

ζειν οὐκ ἔξεστι κατὰ τόπου ἱεροῦ, ἀλλὰ καὶ τὸ κτισθὲν καταλύεται. Βιβλίον μδ'. τίτ. στ'. διάτ. γ'. Οὐκ ἔξεστι τὸ ἐπίδικον τῷ θεῷ καθιεροῦν, καὶ ὁ τοῦτο ποιήσας δίδωσι τὸ διπλοῦν τῷ ἀντιδίκῳ αὐτοῦ, ὑπὲρ ὧν δυνατωτέρῳ ἀντιδίκῳ αὐτοῦ παρεδόθη.

Σχόλιον.

Τὸ έ. διάταγμα τοῦ ά. τίτλου τοῦ κδ'. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον λ'. τίτλος ά. κεφάλαιον έ. θέμα ή. Εἰ καὶ πολύτιμον κενοτάφιον δωρήσομαι τῇ γαμετῇ μου, ἔρρωται, μεθὸ μέν τοι θάψει ἐν αὐτῷ. Εἰ δὲ καὶ αὕτη ἐν αὐτῷ ταφῇ, γίνεται εἰς ταφὴν ἀνιερωμένον, καὶ ἐπὶ τῷ προσαγαγεῖν τῷ θεῷ, καλῶς δωροῦμαι τῇ γαμετῇ μου ἢ τόπον, ἐφ' ᾧ ποιῆσαι ἐν αὐτῷ δημόσιον ἔργον ὅπερ ἐπηγγείλατο, ἢ ναὸν, καὶ γίνεται ὁ τόπος ἱερός. Τὸ ιϐ'. διάταγμα τοῦ ί. τίτλου τοῦ κζ'. βιβλίου ἐστὶ βιβλίον λή. τίτλος ί. κεφάλαιον ί. θέμα β'. κεφάλαιον ιά. καὶ ιϐ'. οὕτως ἔχον· Ὁ κουράτωρ τοῦ μαινομένου καλῶς ἴδιον πρᾶγμα ὡς τοῦ μαινομένου ἐκποιεῖ, οὐ μὴν τὸ τοῦ μαινομένου ὡς ἴδιον. Δύναται δὲ ἐπὶ συμφέροντι τοῦ μαινομένου ἐνεχυριάζειν, καθιεροῦν δὲ αὐτοῦ πρᾶγμα οὐ δύναται. Τὸ λθ'. διάταγμα τοῦ λ'. βιβλίου ἐστὶ βιβλίον μδ'. τίτλος ά. κεφάλαιον λθ'. θέμα τελευταῖον. Εἰ δέ τις τὰ δημόσια ἢ τὰ ἱερὰ, ἢ τὰ ἰδικὰ τοῦ βασιλέως ληγατεύσει, μαίνεσθαι δοκεῖ· καὶ οὔτε τὸ τίμημα αὐτοῦ δίδοται, ἐπειδὴ τὰ μὲν οὐδ' ὅλως πωλεῖται, τὰ δὲ βασιλικὰ οὐ παρὰ γνώμην τοῦ βασιλέως. Τὸ ά. διάταγμα τοῦ ά. τίτλου τοῦ λθ'. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον νή. τίτλος ί. κεφάλαιον ά. θέμα β'. Τὸ δὲ περὶ τῆς καινοτομίας παράγγελμα, ἐπὶ τοῖς μέλλουσιν ἔργοις ἁρμόζει. Εἰ γὰρ ἤδη γέγονε τὸ ὅπερ βίᾳ ἢ λάθρᾳ πραχθὲν, ἢ τὸ περὶ τόπου σεβασμίου, ἢ τὸ περὶ τόπου ἱεροῦ, ἢ τὸ περὶ ποταμοῦ δημοσίου, ἢ τὸ περὶ ὄχθης δημοσίας, χώραν ἔχει. Τὸ ιζ'. διάταγμα τοῦ γ'. τίτλου ἐστὶ βιβλίον νή. τίτλος ιγ'. κεφάλαιον ιζ'. θέμα δ'. περὶ τὸ τέλος· Εἰ δὲ κεῖται μεταξὺ ἡμῶν τόπος ἱερὸς, ἢ εἰς ταφὴν, ἢ ἅγιος, οὐ δύναται συστῆναι δουλεία. Τὸ λά. διάταγμα τοῦ β'. τίτλου τοῦ μά. βιβλίου ἐστὶ τίτλος β'.

κεφάλαιον λ'. θέμα ϛ'. τοῦ ν'. βιβλίου· Παύομαι νέμεσθαι ὅπερ ἄλλος ἀφείλετό μου, καὶ τὸ μνημεῖον ἱερὸν γενόμενον. Πρόσχες οὖν ὅτι ἐν τῇ ἀνακαθάρσει οὐκ ἐτέθη τὸ ἐντὸς κείμενον μέρος τοῦ νόμου τὸ λέγον, κἂν μὴ ὡς τοιοῦτον, ἀλλ' ὡς ἰδιωτικὸν αὐτὸν ἔχωμεν· καὶ διὰ τοῦτο ὀφείλεις προσέχειν πλέον τοῖς ἐν τοῖς βασιλικοῖς (1) περιεχομένοις. Τὸ θ'. διάταγμα τοῦ γ'. τίτλου ἐστὶ βιβλίον γ'. τίτλος γ'. κεφάλαιον θ'. Διὰ χρονίας νομῆς δεσπόζονται τὰ σωματικὰ, χωρὶς ἱερῶν ἢ ἁγίων, ἢ δημοσίων, ἢ δήμου Ῥωμαίων, ἢ πόλεως, ἢ ἐλευθέρων ἀνθρώπων. Τὸ ά. καὶ β'. διάταγμα τοῦ ά. τίτλου τοῦ μγ'. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον *τῶν βασιλικῶν* (2) νή. τίτλος ιδ'. κεφάλαιον ϛ'. θέμα παρατέλευτον. Τὰ νόμιμα παραγγέλματα ἁρμόζουσιν ἢ διὰ θεῖον δίκαιον, ὥσπερ ἵνα μηδὲν (3) γένηται ἐν ἱερῷ τόπῳ, ἢ κἂν γένηται, ἵνα ἀποκαταστῇ, καὶ περὶ τοῦ εἰσκομίσαι νεκρὸν, ἢ κτίσαι τάφον. Τὸ ά. διάταγμα τοῦ στ'. τίτλου ἐστὶ τίτλος ιέ. κεφάλαιον ά. τοῦ νή. βιβλίου οὕτως ἔχον· Λέγει ὁ πραίτωρ, ἐν ἱερῷ τόπῳ ἢ ποιεῖν ἢ εἰσπέμπειν τι κωλύω. Τοῦτο περὶ ἱεροῦ τόπου, οὐ περὶ βεβήλου ἁρμόζει, οὐ διὰ τὸ κοσμεῖσθαι αὐτὸν, ἀλλὰ διὰ τὸ μὴ βλάπτεσθαι. Ἡ δὲ φροντὶς τῶν ἱερῶν τόπων τοῖς φροντίζουσιν αὐτῶν ἀνήκει. Τὸ β'. διάταγμα τοῦ ή. τίτλου τοῦ μγ'. βιβλίου ἐστὶ βιβλίον νή. τίτλος ή. κεφάλαιον έ. θέμα ιά. οὕτως ἔχον ὡς καὶ ἐν τῷ κειμένῳ ἐγράφη. Τὸ γ'. διάταγμα τοῦ στ'. τίτλου τοῦ μδ'. βιβλίου ἐστὶ βιβλίον κζ'. κεφάλαιον θ'. λέγον οὕτως, ὡς ἐγράφη εἰς τὸ κείμενον (4). Ἐρωτήσει τις καί τίνος χάριν οὐ προσετέθη ἐν τοῖς βασιλικοῖς τὸ μέρος τοῦτο τοῦ νόμου τὸ λέγον, κἂν μὴ ὡς τοιοῦτον, ἀλλ' ὡς ἰδιωτικὸν αὐτὸν ἔχωμεν (5). Ἐνομοθετήθη ἐν κεφαλαίῳ ιγ'. τοῦ δ'. τίτλου τοῦ μ'. βιβλίου, μὴ περικόπτεσθαι τὴν οὐσουκαπητίαν, ἐκ τοῦ λαβεῖν διὰ παραγγελίας εἴδησιν τὸν καλῇ τῇ πίστει νομέα, ὅτι ἀλλότριον νέμεται. Ἔδοξεν οὖν διὰ τοῦτο τῷ ποιοῦντι τὴν ἀνακάθαρσιν, ἄδικον εἶναι τὸ περικόπτεσθαι τὴν

(1) Χ. Τρ. — βασιλικῷ Β. — (2) Χ. Τρ. — (3) Χ. Τρ. μὴ γένηται Β. (4) ὡς καὶ ἐντὸς ἐγράφη ἀπαραλλάκτως Χ. Τρ. — (5) τὸ Χ. Τρ. φέρει ἐνταῦθα δι' ἐρυθρῶν γραμμάτων τὸ λ ύ σ ι ς, μεθ' ὃ ἕπεται ἡ ἀπάντησις.

νομὴν τοῦ καλῇ πίστει νομέως, ἐκ τοῦ ἀνατεθῆναι τῷ θεῷ τὸ παρὰ τοῦ καλῇ πίστει νομέως νεμόμενον, καὶ μᾶλλον εἰ μηδὲ τὴν περὶ τούτου εἴδησιν ἔλαβεν ἀπὸ τοῦ δικαστηρίου, ἄλλως ὡς (1) ἰδιωτικὸν αὐτὸν ἐνέμετο. Διά τοι τοῦτο τὸ μέρος τοῦ νόμου τὸ λέγον, κἂν μὴ ὡς ἱερὸν, ἀλλ' ὡς ἰδιωτικὸν αὐτὸν νεμόμεθα, οὐκ ἐδέχθη. Ἅγια ἐνταῦθα μὴ τὰ ἰδιωτικὰ ἅγια εἴπῃς, ἀλλὰ τὰ μνημεῖα, τὰ καὶ ῥελεγιόσα λεγόμενα· τὰ γὰρ ἰδιωτικὰ ἅγια ὡς τὰ μὴ ἱερωθέντα δεσπόζονται.

Κείμενον.

Βιβλίον μέ. τίτ. ά. διάτ. λή. Καλῶς ἐπερωτῶ σε κτίσαι ἱερὸν, καὶ ἡ ἐπὶ τῷ τοιούτῳ γὰρ μίσθωσις ἔῤῥωται. Διάταξις πγ'. Οὐ δυνατὸν ἱερὸν ἐπερωτᾶν, κἂν εἰ δύναται γενέσθαι ἰδιωτικόν· εἰ γὰρ καὶ ἰδιωτικὸν ἐπερωτηθῶ τόπον, καὶ συμβῇ αὐτὸν χωρὶς δόλου μου καθιερωθῆναι, ἐλευθεροῦμαι, καὶ εἰ συμβῇ ἔκ τινος νόμου γενέσθαι πάλιν ἰδιωτικὸν τὸν τόπον, οὐκ ἐνέχομαι. Οὐ δύναμαι δὲ ἱερὸν ἐπερωτᾶν ὑφ' αἵρεσιν τὴν ὅταν ἰδιωτικὸν γένηται· ἐκεῖνα γὰρ ἐπερωτᾶν δυνάμεθα, ὅσα κατὰ τὸν καιρὸν τῆς ἐπερωτήσεως τῆς χρήσεως καὶ τῆς δεσποτείας ἡμῶν εἶναι δύναται. Διάταξις ιά. Ἐὰν τὸ ἐπερωτηθὲν πρᾶγμά ἐστι μὲν ἐν φύσει, οὐ δύναται δὲ δοθῆναι διὰ τὸ τυχὸν αὐτὸ γενέσθαι ἱερόν· εἰ μὲν ἐν καιρῷ τῆς ἐπερωτήσεως ἦ μετὰ ταῦτα τοῦ ἐπερωτηθέντος ἦν, καὶ οὕτω γέγονε ἱερὸν, ἐνέχεται· ὥσπερ δὲ δι' ἑτέρου πωλήσαντος αὐτὸ γέγονεν ἱερόν. Εἰ δὲ τοῦ πράγματος ὄντος ἀλλοτρίου συμβῇ δι' ἑτέρου ἱερὸν γενέσθαι, οὐκ ἐνέχεται ὁ ἐπερωτηθεὶς, εἰ μὴ μετὰ τὸ ποιῆσαι αὐτὸν ὑπέρθεσιν γέγονε τὸ πρᾶγμα ἱερόν. Διάτ. ρλζ'. Ἀνισχύρως ἐπερωτῶ ὑφ' αἵρεσιν ὑπὸ τοῦ νόμου κεκωλυμένην, οἷον δίδως, ἐάν τις πωλήσῃ τὸ ἱερὸν, εἰ καὶ δυνατόν ἐστιν ὕστερον ἐναλλαγῆναι τὸ δίκαιον αὐτοῦ.

---

(1) Χ, Τρ. — ἄλλῳς Β.

Σχόλιον.

Τὸ λή. διάταγμα τοῦ ά. τίτλου τοῦ μέ. βιβλίου ἐστὶ βιβλίον μγ΄. τίτ. ά. κεφ. ιζ΄. θέμα έ. οὕτως ἔχον· Καλῶς ἐπερωτῶ σε παριστᾷν τόδε, ἢ κτίζειν ἱερὸν ἢ μνημείου τόπον· καὶ ἡ ἐπὶ τῶν τοιούτων γὰρ τόπων μίσθωσις ἔῤῥωται. Τὸ πγ΄. διάταγμα τούτου ἐστὶ βιβλίον μγ΄. τίτλος ά. κεφάλαιον πγ΄. θέμα δ΄. Οὔτε ἱερὸν, οὔτε μνημείου πρᾶγμα, οὔτε τὸ διηνεκῶς τῇ δημοσίᾳ χρήσει (1) ἀφορισθὲν ἐπερωτᾷν δύναμαι, οὔτε τὸν ἐλεύθερον ἄνθρωπον, κἂν εἰ δύναται δοῦλος ὁ ἐλεύθερος γενέσθαι, καὶ ὁ ἱερὸς ἢ ὁ δημόσιος ἰδιωτικός. Εἰ γὰρ καὶ ἰδιωτικὸν ἐπερωτηθῶ τόπον, ἢ δοῦλον, καὶ συμβῇ τὸν τόπον καθιερωθῆναι ἢ τὸν δοῦλον ἐλευθερωθῆναι· χωρὶς δόλου μου, ἐλευθεροῦμαι, καὶ εἰ συμβῇ ἔκ τινος νόμου πάλιν τὸν τόπον ἰδιωτικὸν, ἢ τὸν ἐλεύθερον δοῦλον γενέσθαι, οὐκ ἐνέχομαι. Καὶ θέμα ζ΄. τοῦ αὐτοῦ κεφαλαίου λέγον· Τὸν ἐλεύθερον οὐ δύναμαι ἐπερωτᾷν ὑπὸ αἵρεσιν τοῦ ὅτε δοῦλος γένηται, οὔτε τὸ ἱερὸν ἢ μνημεῖον ὅτε γένωνται ἰδιωτικά· ἐκεῖνα γὰρ ἐπερωτᾷν δυνάμεθα, ὅσα κατὰ τὸν καιρὸν τῆς ἐπερωτήσεως, τῆς χρήσεως, καὶ τῆς δεσποτείας ἡμῶν γενέσθαι δύναται. Τὸ ιά. διάταγμά ἐστι βιβλίον μγ΄. τίτ. ά. κεφάλαιον ιά. θέμα ϛ΄. τὰ αὐτὰ σχεδὸν διαλαμβάνον ὅσα καὶ ὁ πατριάρχης περιφραστικῶς ἔγραψε. Τὸ ρλζ΄. διάταγμά ἐστι τοῦ μγ΄. βιβλίου καὶ τίτλου, κεφαλαίου ρλζ΄. θέματος δ΄. λέγον· Ἀνισχύρως ἐπερωτῶμαι ὑπὸ αἵρεσιν ὑπὸ τοῦ νόμου κεκωλυμένην, οἷον δίδως ἐὰν Πέτρος πωλήσῃ τὸ ἱερὸν, ἢ τὸ μνημεῖον, ἢ τὸ τῇ δημοσίᾳ χρήσει ἀφωρισμένον· εἰ καὶ δυνατόν ἐστι τὸ δίκαιον τῶν τοιούτων ἐναλλαγῆναι πραγμάτων· τὸ αὐτὸ κἂν τῇ φύσει ἀδύνατός ἐστιν ἡ αἵρεσις.

Μίσθωσις δὲ ἡ ἐπὶ τῷ ἱερῷ ἔῤῥωται(2), ἡ συστᾶσα χάριν τοῦ κτισθῆναι τὸ ἱερὸν, οὐ μὴν ἡ ἐπὶ ἐκδόσει τοῦ ἱεροῦ. Ἐὰν γάρ τις ἐκλάβηται μισθωτικῶς μοναστήριον, οὐ μόνον οὐκ ὠφεληθήσεται ἀπὸ τῆς μισθώσεως ὡς οὔσης παρανόμου καὶ ἀνισχύ-

(1) Χρείᾳ Χ. Τρ.—(2) Κατὰ ταύτην τὴν τάξιν εὕρηται ἐν Χ. Τρ. ἅπαν τὸ χωρίον τοῦτο ἀπὸ τοῦ, Μίσθωσις δὲ ἡ ἐπὶ τῷ ἱερῷ ἔῤῥωται, ἕως τῆς λέξεως κατάκρισιν, ἐν ᾧ αἱ ἐκδ. Ἑ. Ἰ. καὶ Β. θέτουσιν αὐτὸ ἐν τῷ τέλει τοῦ σχολίου ὡς σημείωσιν. Βεβαίως κατὰ τὴν σειρὰν τῆς ἐννοίας προτιμητέα ἡ γραφὴ τοῦ Χ. Τρ.

ρου, ἀλλὰ καὶ κολασθήσεται· οἱ γὰρ μισθούμενοι καὶ οἱ πακτωτικῶς ἐκλαμβανόμενοι μοναστήρια, ὡς παράνομον συνάλλαγμα πεποιηκότες, ὑφοράσθωσαν τὴν ἀπὸ τοῦ Θεοῦ καὶ τοῦ νόμου κατάκρισιν.

Κείμενον.

Βιβλίον μζ΄. τίτλος κβ΄. διάτ. β΄. Οἱ σὺν ὅπλοις κατέχοντες τόπον ἱερὸν ὑπόκεινται ποινῇ· κινεῖται γὰρ κατ' αὐτῶν ὁ περὶ καθοσιώσεως νόμος. Καὶ βιβλίον μή. τίτ. δ΄. διάτ. ά., βιβλίον ν΄. τίτ. ιστ΄. διάτ. ιζ΄. Τὰ ἱερὰ οὐκ εἰσὶ δημόσια.

Σχόλιον.

Τὸ β΄. διάταγμα τοῦ κβ΄. τίτλου τοῦ μζ΄. βιβλίου ἐστὶ βιβλίον ξ΄. (1) τίτλος λβ΄. κεφάλαιον β΄. Ὁ παράνομον ποιῶν σύστημα τῇ κατὰ τῶν σὺν ὅπλοις τόπον δημόσιον ἢ ἱερὸν κατεχόντων ὑπόκειται ποινῇ. Τὸ ά. διάταγμα τοῦ δ΄. τίτλου τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον ξ΄. τίτλος λς΄. κεφάλαιον ά. Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ Ῥωμαϊκοῦ δήμου πλημμελήσας, καὶ ὁ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν Βασιλέως ἀναιρεθῆναι τοὺς ὁμήρους, ἢ ἵνα ἔνοπλοι ἄνθρωποι ἐν πόλει κατὰ τῆς πόλεως ὦσιν, ἢ ἵνα τόπος ἢ ἱερὰ κατασχεθῶσιν, ἢ στασιώδης γένηται σύνοδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων· καὶ ὁ πρὸς τοὺς πολεμίους ἄγγελον ἢ γράμματα πέμψας, καὶ σημεῖον αὐτοῖς δεδωκὼς, ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὑπονοθεύσας, ἢ ἐρεθίσας στρατιώτας πρὸς στάσιν ἢ θόρυβον κατὰ τῆς πολιτείας. Τὸ ιζ΄. διάταγμα τοῦ ις΄. τίτλου τοῦ ν΄. βιβλίου ἐστὶ βιβλίον β΄. τίτ. β΄. κεφ. ιζ΄. οὕτω λέγον περὶ τὰς ἀρχάς· Ἐν δὲ τοῖς δημοσίοις οὐ περιέχεται οὔτε τὰ ἱερὰ, οὔτε τὰ μνημεῖα, οὔτε τὰ ταῖς δημοσίαις χρήσεσιν ἀφωρισμένα, ἀλλ' εἴ τινά ἐστι τῶν πόλεων, οἷον αἱ οὐσίαι.

Κείμενον.

Βιβλίον λγ΄. τίτ. ά. διάτ. κ΄. Ἐὰν ληγατεύσω τοῖς

(1) τῶν βασιλικῶν Σ, ἰκδ.

ἱεροφύλαξι δέκα νομίσματα δίδοσθαι τῷ καιρῷ τῆς ἑορτῆς, αὐτῷ τῷ ἱερῷ δοκῶ τὰ ί. νομίσματα καταλιπεῖν ἐτήσια. Βιβλίον λδ'. τίτ. ά. διάτ. ιζ'. Ἐὰν ἀφορίσας δούλους μου εἰς παραφυλακὴν τοῦ παρ' ἐμοῦ κτιζομένου ἱεροῦ ληγατεύσω αὐτοῖς ἐτήσια πρὸς ἀποτροφὴν, καὶ βεστιάριον, λαμβάνουσιν ἀπό μου τελευτῆς μέχρις οὗ πληρωθῇ ὁ ναός· δοῦλοι δὲ μένουσι τοῦ κληρονόμου οὓς ὁ διαθέμενος εἰς παραφυλακὴν τοῦ αὐτοῦ κτισθέντος ἱεροῦ ἀφώρισεν, εἰ μὴ αὐτοὺς ἠλευθέρωσεν, ὡς βιβ. μ'. τίτ. ιβ'. διάτ. λέ. βιβ. κδ'. τίτ. ά. διάτ. έ. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου πρᾶγμα ἐφ' ᾧ τῷ θεῷ προσαγαγεῖν αὐτό. Βιβ. λδ'. τίτ. β'. διάτ. λζ'. Ἐὰν εἴπω γενέσθαι σταυροὺς ἀπὸ ἑκατὸν λιτρῶν καὶ ἀνατεθῆναι τῷ δε τῷ ἱερῷ, πάντες δὲ οἱ ἐν τῷ αὐτῷ ἱερῷ ὄντες ἀργυροῖ καὶ χαλκοῖ εἰσιν, οὐ μὴν χαλκοῦς δίδωσιν, οὔτε χρυσοῦς ἀναγκάζεται ποιεῖν, ἀργυροῦς δὲ ὁ κληρονόμος ἀναγκάζεται.

Σχόλιον.

Τὸ κ'. διάτ. τοῦ ά. τίτ. τοῦ λγ'. βιβλίου τῶν διατάξεών ἐστι θέμα τελευταῖον τοῦ κ'. κεφ. τοῦ δ'. τίτ. τοῦ μδ'. βιβλ. οὕτως ἔχον ὡς συνωψίσθη. Τὸ ιζ'. διάταγμα τοῦ ά. τίτ. τοῦ λδ'. βιβλίου ἐστὶ τῶν βασιλικῶν βιβλίον μδ'. τίτ. ιδ'. κεφ. ιζ'. οὕτως ἔχον ὡς συνωψίσθη. Τὸ λέ. διάτ. τοῦ ιβ'. τίτ. τοῦ μ'. βιβλίου ἐστὶ βιβλίον μή. τίτ. ή. κεφ. λέ. Κτίζων τις εὐκτήριον ἀφώρισεν αὐτῷ δούλους, τοῦ κληρονόμου ἔσονται οὗτοι. Τὸ έ. διάτ. τοῦ ά. τίτ. τοῦ κδ'. βιβλ. ἐστὶ βιβλίον τῶν βασιλικῶν λ'. τίτ. ά. κεφ. έ. θέμα ή. ἔχον ἐν μέρει καθὼς εἰς τὸ κείμενον ἐτέθη. Τὸ λζ'. διάτ. τοῦ β'. τίτ. τοῦ λδ'. βιβλίου ἐστὶ βιβλίον μδ'. τῶν βασιλικῶν τίτ. ιέ. κεφ. λζ'. θέμα τελευταῖον οὕτως ἔχον· Ἐὰν εἴπω γενέσθαι σταυροὺς ἀπὸ ρ'. λιτρῶν, καὶ ἀνατεθῆναι ἐν τῷ δε τῷ ἱερῷ, πάντες δὲ οἱ ἐν τῷ αὐτῷ ἱερῷ ὄντες ἀργυροῖ καὶ χαλκοῖ εἰσιν, ἀργυροῦς ὁ κληρονόμος ἀναγκάζεται ποιεῖν, οὐ μὴν χαλκοῦς δίδωσιν, οὔτε χρυσοῦς.

Κείμενον.

Βιβ. λέ. τίτ. β'. διάτ. ά. Καὶ ἐπὶ τοῖς τῷ θεῷ ληγατευομένοις, χώρα τῷ φαλκιδίῳ. Βιβ. ν'. τίτ. ιβ'. διάτ. β'. Ἐάν τις πρᾶγμα καρποφορήσῃ, γίνεται αὐτὸς ἔνοχος, οὐ μὴν τὸ πρᾶγμα· ὅταν δὲ τὸ πρᾶγμα καταβληθῇ, αὐτὸ μὲν ἱερὸν οὐ γίνεται, ἐλευθεροῦται δὲ ὁ ἐπαγγειλάμενος· ἐκ δὲ τῆς τοιαύτης ἐπαγγελίας ἐνέχονται αὐτεξούσιοι ἔφηβοι, οὐ μὴν ὑπεξούσιοι ἔφηβοι παρὰ γνώμην τῶν πατέρων ἢ τῶν δεσποτῶν. Εἰ δέ τις τὸ ἱ. μέρος καρποφορήσῃ τῶν αὐτοῦ πραγμάτων, ἕως ἂν αὐτὸ χωρίσῃ, οὐ παύεται εἶναι τῆς οὐσίας αὐτοῦ· εἰ δὲ τελευτήσει μὴ χωρίσας, ἐνέχονται οἱ κληρονόμοι αὐτοῦ, διαβαίνει γὰρ εἰς κληρονόμους ἡ τῆς καρποφορίας ἐνοχή. Βιβ. ά. τοῦ κώδικος τίτ. β'. διάτ. ά. Ἔξεστι τῷ βουλομένῳ καταλιμπάνειν ἐν τελευταίᾳ βουλήσει ταῖς ἁγίαις ἐκκλησίαις· βεβαίας γὰρ εἶναι δεῖ τὰς τῶν τελευτώντων βουλήσεις. Διάτ. ιγ'. Ἐν ἐῤῥωμένῃ διαθήκῃ, ἢ κωδικέλλῳ, ἢ (1) ἀγράφῳ βουλήσει ἔξεστι ταῖς χήραις, καὶ ταῖς διακονίσσαις, καὶ ταῖς ἱεραῖς παρθένοις, καὶ ταῖς μοναστρίαις, καὶ ταῖς ἄλλαις ἱεραῖς καταλιμπάνειν ἐκκλησίαις, καὶ κληρικοῖς, καὶ μοναχοῖς, καὶ πτωχοῖς, ἐν ἐνστάσει, καὶ ὑποκαταστάσει, καὶ ληγάτοις, καὶ φιδεϊκομμίσοις ἰδικοῖς καὶ καθ' ὁμάδα.

Σχόλιον.

Τὸ ά. διάτ. τοῦ β'. τίτ. τοῦ λέ. βιβλίου τῶν διατ. (2) ἐστὶ βιβλ. μά. τῶν βασιλικῶν τίτ. ά. κεφ. ά. θέμα γ'. λέγον ἐν μέρει φαλκιδιοῦσθαι καὶ τὰ τῷ Θεῷ ληγατευόμενα· ἔξωθεν δὲ τοῦ αὐτοῦ κεφ. φησὶν ὁ Παλαιὸς ταῦτα ῥητῶς· Ἡ περὶ διαφόρων κεφαλαίων ἐκκλησιαστικῶν ρλά. νεαρὰ οὐ συγχωρεῖ τῷ φαλκιδίῳ περικόπτεσθαι τὰ εἰς εὐσεβεῖς αἰτίας ληγατευόμενα. Ὁ δὲ

(1) Χ. Τρ. — καὶ Ἑ. Ἰ. Β. — (2) τῶν ἁγίστων Χ. Τρ.

σχολιαστής φησι ταῦτα· Οἶμαι ὡς τὸ παρὸν διάτ. ἀνῃρέθη παρὰ τῆς ρλά. νεαρᾶς τῆς κειμένης ἐν τῷ γ'. τίτ. τοῦ έ. βιβλίου, καὶ αὐτίκα διδάσκει πλατύτερον πῶς ἀνῃρέθη ὁ νόμος οὗτος. Καὶ ταῦτα μὲν εἶπον ὁ σχολιαστὴς καὶ ὁ Παλαιός. Ἐμοὶ δὲ δοκεῖ ὅτι οὐ καλῶς αὐτοῖς ἐξελήφθησαν τὰ τῆς νεαρᾶς· οὐδὲ γὰρ ἀδιαστίκτως ἀφαλκιδίωτα δίδονται τὰ εἰς εὐσεβεῖς αἰτίας καταλειφθέντα. Ἀλλ' εἰ μὲν καιροπραγμονήσει (1) ὁ κληρονόμος περὶ τὴν δόσιν τοῦ ληγατευθέντος, ἀπόλλυσι τὸν ἀνήκοντα τούτῳ φαλκίδιον, καὶ δίδωσι τὰ ληγατευθέντα ὡς ἡ νεαρά φησιν, εἰ δὲ εὐγνωμονήσει περὶ τὴν δόσιν τούτων, λαμβάνει τον ἀνήκοντα αὐτῷ φαλκίδιον· φησὶ γὰρ ἡ αὐτὴ νεαρὰ κειμένη ἐν βιβλίῳ έ. τίτ. γ'. κεφ. θ'. οὕτω ῥητῶς· Εἰ δὲ ὁ κληρονόμος τὰ εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένα μὴ πληρώσει, λέγων τὴν καταλειφθεῖσαν αὐτῷ περιουσίαν μὴ ἀρκεῖν εἰς ταύτας, κελεύομεν παντὸς τοῦ ἐκ τοῦ φαλκιδίου κέρδους σχολάζοντος, ὁσονδήποτε εὑρεθῇ ἐν τῇ τοιαύτῃ οὐσίᾳ, προχωρεῖν τῇ προνοίᾳ τοῦ ἁγιωτάτου τῶν τόπων ἐπισκόπου εἰς τὰς αἰτίας, εἰς ἃς καταλέλειπται. Ζήτει καὶ τὸ ὅλον θ'. κεφ. καὶ ἀνάγνωθι αὐτὸ ἀναγκαῖον ὄν. Τὸ ϛ'. διάτ. τοῦ ιϛ'. τίτ. τοῦ ν'. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον τῶν βασιλικῶν νδ'. τίτ. ιδ'. κεφ. ϛ'. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη. Ἡ ά. διάτ. τοῦ ϛ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. ά. τοῦ ά. τίτ. τοῦ έ. βιβλίου οὕτως ἔχον ὡς εἰς τὸ κείμενον συνωψίσθη. Ἡ ιγ'. διάτ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

Κείμενον.

Διάταξις ιθ΄. Αἱ γινόμεναι μέχρι πεντακοσίων νομισμάτων δωρεαὶ ἀνεμφανίστως εἰς ἐκκλησίαν, ἢ ξενοδοχεῖον, ἢ νοσοκομεῖον, ἢ ὀρφανοτροφεῖον, ἢ βρεφοτροφεῖον ἢ πτωχεῖον, ἔῤῥωνται· αἱ δὲ λοιπαὶ κἂν εἰς εὐσεβεῖς αἰτίας γένωνται, χρήζουσιν ἐμφανείας, καὶ αἱ λεχθεῖσαι ὑπὲρ τὰ πεντακόσια νομίσματα οὖσαι, ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν. Διάταξις κϐ'. Τὰ εἰς εὐαγεῖς οἴκους ἀπὸ φιλοτι-

(1) εἰ μὲν κακοπραγμονήσει Χ. Τρ.

μίας βουλευτικῆς ἐρχόμενα οὐχ ὑπόκεινται τῇ τῶν ἐπικερδῶν ἤτοι λουκρατίβων διαγραφῇ. Διάταξις κγ'. Ἐάν *τι*(1) δωρηθῇ, ἢ κληρονομία, ἢ ληγάτον εὐαγεῖ τόπῳ καταλειφθῇ εἰς ἀνάῤῥυσιν αἰχμαλώτων, κινητὸν ἢ ἀκίνητον, ἁρμόζουσι περσοναλίαι, καὶ ἰν ρὲμ, καὶ ὑποθηκαρίαι, καὶ μόνῃ τῇ τῶν ἑκατὸν ἐνιαυτῶν ἐκβάλλονται παραγραφῇ· οὗτος γὰρ ὁ χρόνος ἐστὶ τοῦ μακροβίου ἀνθρώπου. Διάταξις κέ. Ἐάν τις γράψῃ τὸν δεσπότην Χριστὸν κληρονόμον, μὴ προσθεὶς εὐκτηρίου προσηγορίαν, ἡ ἐκκλησία τοῦ τόπου καθ' ἣν *ἣν* (2) ὁ τελευτήσας δοκεῖ γεγράφθαι. Τὸ αὐτὸ καὶ ἐπὶ ληγάτου, καὶ προχωρεῖ εἰς ἀποτροφὴν πτωχῶν. Εἰ δέ τινι τῶν ἁγίων ἀγγέλων ἢ μαρτύρων καταλίπῃ μὴ μνημονεύσας οἴκων· εἰ μέν ἐστιν *ἐν* (3) ἐκείνῃ τῇ πόλει ἢ τῇ ἐνορίᾳ αὐτῆς τοιοῦτος οἶκος, αὐτὸς λαμβάνει· εἰ δὲ μή ἐστιν, ὁ ἐν τῇ μητροπόλει λαμβάνει· εἰ δὲ μήτε ἐκεῖ τοιοῦτός ἐστιν οἶκος, αἱ κατὰ τὸν τόπον ἐκκλησίαι λαμβάνουσιν αὐτὰ, τῶν ἄλλων οἴκων αὐταῖς παραχωρούντων, εἰ μὴ δειχθῇ ὁ τελευτήσας ἕτερον ἐνθυμηθεὶς καὶ ἕτερον εἰπών· τότε γὰρ τὸ ἀληθὲς καὶ οὐ τὸ γεγραμμένον κρατεῖ. Εἰ δὲ τόπον εἴπῃ ῥητὸν, εὑρεθῶσι δὲ πολλοὶ τοῦ αὐτοῦ ὀνόματος ἐν τῇ πόλει, ἢ τῇ περιοικίδι, εἰ μὲν πρός τινα τούτων εἶχε μείζονα προσπάθειαν, ἢ συνεχῶς ἐκεῖ ἐφοίτα, αὐτῷ δοκεῖ καταλελεῖφθαι· τοιούτου δέ τινος μὴ εὑρισκομένου, ὁ μᾶλλον ἐκ τῶν τοιούτων οἴκων ἐνδεὴς λαμβάνει τὸ καταλειφθέν.

Σχόλιον.

Ἡ ιθ'. διάτ. τοῦ β'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. ή. τοῦ ά. τίτ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ἐπὶ λέξεων ὡς εἰς τὸ κείμενον ἐγράφη. Σημείωσαι δὲ ὅτι ἡ κβ'. διάταξις ἐτέθη εἰς βιβλίον έ. τίτ. ά. κεφ. ί. πλὴν οὐχ ὡς εἰς τὸ κείμενον κεῖται, ἀλλὰ ἄλλως· φησὶ γὰρ, μὴ δια-

(1) Χ. Τρ. — ἐὰν διαδωρηθῇ Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — (3) Χ. Τρ.

γραφέσθω ἐκκλησία, ἢ εὐσεβὴς οἶκος, ἢ μοναστήριον ἐπὶ κέρδει. Καὶ σημείωσαι τοῦτο πολλὰ χρησιμεῦον εἰς τοὺς ἐκπροικίζοντας μοναστήρια, καὶ πωλοῦντας, καὶ ἀγοράζοντας εὐαγεῖς οἴκους. Ἡ κγ'. διάταξις καὶ ἡ κέ. οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά· σὺ δὲ γίνωσκε ὅτι κἂν ἡ τοιαύτη διάταξις διορίζηται μόνῃ ἑκατονταετίᾳ τοὺς εὐαγεῖς οἴκους ἐκβάλλεσθαι, ἀλλὰ τὸ ά. κεφ. τῆς ριά. Ἰουστινιανείου νεαρᾶς, ἤτοι τὸ τελευταῖον κεφ. τοῦ ϛ'. τίτ. τοῦ έ βιβλίου τῶν βασιλικῶν ταῦτα ῥητῶς θεσπίζει· Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ, εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ'. ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέν τοι γε τοὺς οἰκείους χρόνους.

Κείμενον.

Καὶ τίτλου τρίτου τοῦ αὐτοῦ βιβλίου διάταξις κδ'. φησὶν ἐρρῶσθαι τὸ τοῖς πτωχοῖς καταλιμπανόμενον. Διάταξις κή. τοῦ αὐτοῦ τίτ. Ἐρρῶται τὸ καταλιμπανόμενον εἰς ἀνάρρυσιν αἰχμαλώτων. Καὶ εἰ μὲν εἶπεν ὁ διαθέμενος τὸν ὀφείλοντα ὑπουργῆσαι τῷ πράγματι, αὐτὸς ἀπαιτεῖ, καὶ κατὰ τὴν οἰκείαν συνείδησιν πληροῖ τὴν διατύπωσιν· εἰ δὲ μὴ εἶπε τὸ πρόσωπον, ὁ τῆς πόλεως ἐπίσκοπος ἐν ᾗ ὁ διαθέμενος ἐτέχθη, λαμβάνει τὸ καταλειφθὲν, φανερὸν ἐπὶ πράξεως δῶρον παρὰ τῷ ἄρχοντι συνισταμένης τὸ ποσὸν τῶν δοθέντων αὐτῷ χρημάτων, καὶ μετ' ἐνιαυτὸν τὸν ἀριθμὸν τῶν ἀναῤῥυσθέντων καὶ τῶν ὑπὲρ αὐτῶν δοθέντων. Εἰ δὲ βάρβαρος ἦν ὁ διαθέτμενος, καὶ περὶ τῆς αὐτοῦ πόλεως ἀμφιβάλλεται, ὁ ἐπίσκοπος τοῦ τόπου καθ' ὃν ἐτελεύτησε, λαμβάνει τὰ χρήματα, καὶ πληροῖ τὸ διατυπωθέν· ὁ δὲ γινώσκων τὸ καταλειφθὲν καλῶς ποιεῖ λέγων τῷ ἄρχοντι καὶ τῷ ἐπισκόπῳ, καὶ οὐκ ἔστι δηλατήριος. Ἡ τρίτη διάταξις τοῦ δευτέρου τίτλου τῶν νεαρῶν εἶπε, τὸν ἐπίσκοπον τῆς πόλεως, ἐν ᾗ τὴν οἴκησιν εἶχεν ὁ διαθέμενος, λαμβάνειν τὰ χρήματα, καὶ ποιεῖν τὰ διατυπωθέντα. Διάταξις μέ.

Ἐὰν ἐτήσιον διηνεκὲς ληγατευθῇ, ἢ δωρηθῇ τόποις εὐαγέσιν, ἢ κλήρῳ, ἢ μοναχοῖς, ἢ μοναστρίαις, ἢ πτωχοῖς, καὶ ἁπλῶς εὐαγέσιν οὐκ ἀπηγορευμένοις συστήμασιν, οὐκ ἔξεστιν ἐπ' αὐτοῖς διαλύεσθαι, εἰ μὴ δοθῇ πρόσοδος εὐθαλὴς, μηδὲ βεβαρημένη δημοσίοις, καὶ προσθήκη οὐχ ἧττον τοῦ τετάρτου τῆς καθαρᾶς προσόδου μέρος ἔχουσα, μηδέποτε ἐκποιηθησόμενα(1). Δεῖ δὲ καὶ συνθήκας, καὶ διαλύσεις ἐγγράφους ἐπὶ τούτῳ γίνεσθαι, καὶ ἐν ὑπομνήμασιν ἐμφανίζεσθαι. Εἰ δὲ παρὰ ταῦτα, ἐκπίπτει τοῦ δοθέντος χρυσίου ὁ διαλυσάμενος, *καὶ* ἐκδικεῖ τὸ πρᾶγμα ὁ εὐαγὴς οἶκος, ἔχων εἰς ὑποθήκην τὰ πράγματα τοῦ καταλιπόντος, καὶ ἐπὶ καρποῖς, καὶ προσόδοις, καὶ πάσῃ νομίμῳ ἐπαυξήσει, καὶ οὐκ ἀντίκειται τῇ ἀγωγῇ χρονία παραγραφὴ, κατ' ἐνιαυτὸν γὰρ τίκτεται. Τῷ μέν τοι δεδωκότι τὸ χρυσίον ὑπόκειται ὁ συμβαλὼν αὐτῷ μετὰ κληρονόμων, καὶ οἴκοθεν αὐτὸ δίδωσιν, ὡς ἡ νέ. διάτ. τοῦ αὐτοῦ τίτλου.

Σχόλιον.

Ἡ κδ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστ βιβλίον μδ'. τίτ. ιή. κεφ. λδ'. οὐκ ἐτέθη δὲ ἐν τοῖς βασιλικοῖς, ὡς ὁ κώδιξ διελάμβανεν· ἀλλ' οὕτω φησὶν ὁ βασιλικός· Τὸ τοῖς πτωχοῖς καταλιμπανόμενον μὴ νομιζέσθω ἄδηλον. Ἡ κή. διάταξις οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνιος ρλά. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. γ'. κεφ. ή. οὕτως ἔχοντι· Εἰ δὲ καί τις ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων, ἢ ἀποτροφῆς πενήτων κληρονομίαν ἢ ληγάτον καταλείπῃ ἐν πράγμασι κινητοῖς, ἢ αὐτοκινήτοις, ἢ ἀκινήτοις, εἴτε ἅπαξ, εἴτε ἐτήσιον, καὶ τοῦτο τρόποις ἅπασι κατὰ τὴν τοῦ διαθεμένου γνώμην ἀπὸ τῶν κελευσθέντων τοῦτο ποιῆσαι, πληρούσθω. Εἰ δὲ μὴ ἰδικῶς εἴπῃ ποίου τόπου πένησι ταῦτα κατέλιπε, κελεύομεν τὸν ὁσιώτατον τῆς πόλεως ἐπίσκοπον ἐν ᾗ οἰκίαν (2) ὁ

(1) Χ, Τρ. Ἑ. — ἐκποιηθησόμενον Β. — (2) τὴν οἴκησιν Χ. Τρ.

διαθέμενος εἶχε παραλαμβάνειν τὰ αὐτὰ πράγματα, καὶ τοῖς τῆς αὐτῆς πόλεως πένησι διανέμειν. Ἡ δὲ μέ. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν οὐκ ἐτέθη εἰς τὰ βασιλικά· ὡσαύτως οὐδὲ ἡ νέ. διάτ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ.

Κείμενον.

Ἡ δὲ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν, ἐπὶ τοῦ τοιούτου ληγάτου φησίν· Εἰ μὲν οἱ διδόναι καὶ οἱ λαμβάνειν κελευσθέντες, ἢ ὁ τόπος ἐξ οὗ ἐτυπώθη δίδοσθαι ἐν τῇ αὐτῇ ἢ τῇ γείτονι ἐπαρχίᾳ εἴησαν, μηδενὶ τρόπῳ τὸ ληγάτον ἐκποιεῖσθαι· Εἰ δὲ πορρώτερῳ εἰσίν, ἔξεστιν ἑκατέρου μέρους συναινοῦντος, πλησίον ὑπὲρ αὐτοῦ (1) λαμβάνειν πρόσοδον εὔπορον, καὶ μετὰ προσθήκης τοῦ δ'. τῆς καταλειφθείσης ποσότητος μὴ βεβαρημένης πολλοῖς τελέσμασιν. Εἰ δὲ πωλῆσαι τὸ ληγάτον βούλοιντο, μὴ λαμβανέτωσαν ἧττονα τιμὴν τοῦ συναγομένου ἐπὶ λέ. ἐνιαυτοὺς ἀπὸ τοῦ ληγάτου, ὥστε μέν τοι τὸ τίμημα, εἰς τὸ συμφέρον τοῦ σεβασμίου οἴκου, ᾧ κατελείφθη προχωρῆσαι.

Σχόλιον.

Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. γ'. κεφ. θ'. ἃ δὴ καὶ κατεστρώθη ἐξ ὁλοκλήρου ἐν τῷ καταρχῆς τοῦ παρόντος κεφαλαίου, ἀρχόμενον οὕτως, Εἰ δὲ ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων, *καὶ τὰ ἑξῆς* (2).

Κείμενον.

Ἡ δὲ μή. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβ. φησὶν, ὅτι ἐῤῥωμένως γράφει τις αἰχμαλώτους κληρονόμους, καὶ λαμβάνει τὴν κληρονομίαν ὁ ἐπίσκοπος, καὶ ὁ τῆς πόλεως οἰκονόμος, ἐν ᾗ τὴν οἴκησιν εἶχε, καὶ δαπανῶσιν εἰς ἀνάῤῥυσιν τῶν αἰχμαλώτων, ἢ τὰς τιμὰς τῶν πραγ-

(1) Χ. Τρ. — αὐτῷ Ἐ. Β. — (2) Χ. Τρ.

μάτων, ἢ τὰς προσόδους τῶν ἀκινήτων, παρακρατοῦντες φαλκίδιον, καὶ ἐνάγονται ἐπὶ τοῖς χρέεσι. Καὶ τοὺς πτωχοὺς καλῶς τις γράφει κληρονόμους· καὶ ἐὰν μὴ προσδιορίσηται ποίους, ὁ ξενοδόχος τῆς αὐτῆς πόλεως λαμβάνει τὰ πράγματα, καὶ ἐκ τῆς διαπράσεως αὐτῶν ἀγοράζει πρόσοδον. Εἰ δὲ πολλοὶ ξενῶνές εἰσιν ἐν τῇ πόλει, ὁ μᾶλλον ἀπορώτερος αὐτὰ λαμβάνει, τὰ περὶ τούτου δοκιμάζοντος τοῦ ἐπισκόπου, καὶ τῶν ὑπ' αὐτὸν κληρικῶν. Εἰ δὲ μὴ ἔχῃ ξενῶνα ἡ πόλις, διανέμονται τὰ πράγματα διὰ τοῦ ἐπισκόπου, ἢ τοῦ οἰκονόμου εἰς τοὺς πτωχοὺς, ἢ ἄλλως ἐνδεεῖς μὴ παρακρατουμένου φαλκιδίου. Εἰ δὲ πρὸς δῆλον ἢ ἄδηλον (1) ὄνομα ἐκκλησίας, ἢ εὐαγοῦς οἴκου ἀπιδὼν κατέλιπεν, αὐτὸς λαμβάνει μόνος, μὴ ὑφιστάμενος φαλκίδιον. Ἡ δὲ τρίτη διάταξις τοῦ δευτέρου τίτλου τῶν νεαρῶν λέγει, ὅτι τοῖς πένησι διὰ τοῦ ἐπισκόπου διανέμονται. Καὶ ἡ πεντηκοστὴ δευτέρα διάταξις τοῦ τρίτου τίτλου τοῦ πρώτου βιβλίου τοῦ κώδικός φησιν, ὅτι ἐάν τις βαρυνθῇ ὑποκαταστάσει ἢ ἀποκαταστάσει (2) ἐξ ἀπαιδίας, καὶ μὴ βουληθῇ γαμῆσαι δι' ἄσκησιν, μένει ἔχων τὰ πράγματα καὶ δαπανᾷ ταῦτα περιὼν, ἢ καταλιμπάνει ὡς θέλει, εὐσεβῶς μέν τοι. Εἰ δὲ καὶ ὑπὸ αἵρεσιν παιδοποιίας καταλειφθῇ αὐτοῖς, ἔχουσιν αὐτὰ, καὶ μὴ παιδοποιοῦντες. Τὸ αὐτὸ καὶ ἐπὶ παρθενευούσαις, καὶ ἐπὶ τοῖς γαμεῖν κωλυομένοις κληρικοῖς. Ἡ δὲ δευτέρα διάταξις τοῦ πρώτου τίτλου τῶν νεαρῶν λέγει, ὅτι ὁ βεβαρημένος λιγάτῳ, ἢ ἀποκαταστάσει *ὑπὸ αἵρεσιν* (1) γάμου, ἢ ἀπαιδίας, ἢ ἐὰν οὕτω δωρηθῇ ἢ ἐαθῇ τινι, καὶ γένηται κληρικὸς, ἢ μοναχὸς, ἢ διακόνισσα, ἢ ἀσκήτρια, σβέννυται ἡ ἀποκατάστασις· ἀλλ'

(1) πρόδηλον ἢ ἄδηλον X. Tp.— ὁ B. φρονεῖ ὀβελιστέον τὸ, ἄδηλον, ὅπερ ἀληθῶς οὐκ ἀναγινώσκεται ἐν τῇ διατάξει 48 Κώδ. 1. 3, — (2) ὁ ὅρος οὗτος οὐχ εὕρηται ἐν X. Tp. — (3) X. Tp. — οὐχ εὕρηται ἐν É. Ἰ. καὶ B.

ἐπὶ μὲν κληρικῶν καὶ διακονισσῶν τῶν ἐκκλησιῶν, κρατεῖ ὅτε μέχρι τῆς ἰδίας ζωῆς τοῖς τοιούτοις ἐπιμένοιεν· καὶ τὰ ὑπὸ τοιαύτην αἵρεσιν δωρηθέντα, ἢ καταλειφθέντα εὐσεβῶς δαπανήσουσιν, ἢ καταλιποῦσιν· οἱ γὰρ μοναχοὶ καὶ ἀσκήτριαι κἂν τῶν μοναστηρίων αὐτῶν ἐξέλθωσιν, ὅμως τὰ τοιαῦτα πράγματα μετὰ τῶν ἄλλων αὐτῶν πραγμάτων τοῖς μοναστηρίοις διαφέρει. Εἰ δὲ ἐπὶ ἀναῤῥύσει αἰχμαλώτων, ἢ πτωχῶν ἀποτροφῇ ὑπὸ τὰς εἰρημένας αἱρέσεις ἡ ὑποκατάστασις γένηται, ἐξ οὐδενὸς τῶν εἰρημένων ἀποκλείεται (1) τρόπων.

Σχόλιον.

Ἡ μή. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν έ. τίτ. γ'. κεφ. ή. ὃ καὶ κατεστρώθη εἰς τὸ παρελθὸν καταβατόν. Ἡ νβ'. διάτ. τοῦ β'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ μέντοι β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ργ'. καὶ ἐτέθη ἐν βιβλίῳ τῶν βασιλικῶν δ'. τίτ. ά. κεφ. έ. καὶ ς'. οὕτω σχεδὸν ὡς ἐνταῦθα κεῖται.

Κείμενον.

Λέγει δὲ ἡ ά. καὶ μόνη διάταξις τοῦ μή. τίτλου τοῦ στ'. βιβλίου τοῦ κώδικος, ὅτι ἔῤῥωται τὸ καταλιμπανόμενον θεμιτῷ συστήματι, ἢ σωματείῳ, οἷον συγκλητικοῖς, ἢ βουλῇ, ἢ τάξει ἄρχοντος, ἢ ἰατροῖς, ἢ διδασκάλοις, ἢ συνηγόροις, ἢ στρατιώταις, * ἢ ὁμοτέχναις* (2), ἢ ἱερεῦσιν, ἢ ἑτέρῳ τινί· καὶ μερίζονται κατὰ πρόσωπον ἐξ ἴσου οἱ ἐν τῷ καιρῷ τῆς τελευτῆς ἐν τῷ καταλόγῳ εὑρισκόμενοι, εἰ μὴ ῥητὸν ποσὸν ὁ διαθέμενος ἑκάστῳ ὁρίσῃ. Καὶ ἐν τῷ τέλει τῆς αὐτῆς διατάξεως, ὅτι ἐὰν πρὸς

(1) Χ. Τρ. καὶ Ἑ. ἀποκλείεσαι Β. — (2) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. καὶ Β. εὕρηται δὲ ὁ ὅρος οὗτος ἐν τῇ λατινικῇ μεταφράσει.

ἅπαξ, ἢ ἐτήσιον καταλειφθῇ εὐσεβῶς, ἢ ἐκκλησίαις, ἢ ξενῶσιν, ἢ πτωχείοις, ἢ εὐαγέσιν οἴκοις, ἢ κοινῷ κληρικῷ, ἢ εἰς αἰχμαλώτων ῥύσιν, ἢ αὐτοῖς τοῖς πτωχοῖς, ἢ τοῖς αἰχμαλώτοις, κρατεῖ ἡ τοῦ τελευτήσαντος βούλησις. Ἰνστιτουτιῶνος τρίτου τίτλος κζ'. Ἔστιν ὅτε τὸ κατὰ πλάνην ἐνδεβίτως διδόμενον οὐ ῥεπετιτεύεται, ὡς ἐπὶ τῶν ληγατευομένων εὐαγέσιν οἴκοις σκοπῷ θρησκείας ἢ εὐσεβείας· ἰνστιτουτιῶνος τετάρτου τίτλος ιστ'. Τὸ ληγατευόμενον εὐαγέσιν οἴκοις ἐξ ἀρνήσεως διπλασιάζεται. Φησὶ δὲ καὶ ἡ δευτέρα διάταξις τοῦ δευτέρου βιβλίου τῶν νεαρῶν, ὡς ἐάν τινες οἱῳδήποτε σεβασμίῳ οἴκῳ ὁπουδήποτε καθεστῶτι ἄπορον κτῆσιν δωρήσωνται, ἢ πωλήσωσιν, ἢ ἑτέρῳ τρόπῳ παράσχωσιν, ἢ καταλίπωσι, μὴ βλάπτεσθαι τὸν σεβάσμιον οἶκον, ἢ δημοσίῳ ὀνόματι, ἢ ἄλλης οἱασοῦν αἰτίας χάριν βαρύνεσθαι, ἀλλ' ἅπαν τὸ τοιοῦτον (1) βάρος, εἰς τοὺς δεδωκότας καὶ τοὺς αὐτῶν κληρονόμους ἐπανιέναι, ἀναγκαζομένους καὶ τὰς δοθείσας κτήσεις ἀναλαβεῖν, καὶ πᾶσαν ζημίαν προσγενομένην τῷ εὐαγεῖ οἴκῳ ἀποκαθιστᾷν. Εἰ δὲ κατά τινα δόλον, καί τινα ὑπὲρ τῶν τοιούτων ἀπόρων ἐδόθη τοῖς εὐαγέσιν οἴκοις, τὰ μὲν δοθέντα τὸν σεβάσμιον οἶκον ἀποκερδαίνειν, τὰ δὲ ἄπορα πράγματα τῷ δεδωκότι καὶ τοῖς αὐτοῦ κληρονόμοις ἀποκαθίστασθαι. Ἡ δὲ ά. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι ὁ τοιοῦτό τι πράξας οἰκονόμος, ἢ ἡγούμενος, ἢ ξενοδόχος, ἢ νοσοκόμος, ἢ πτωχοτρόφος, ἢ ὀρφανοτρόφος, ἢ γεροντοκόμος, οἴκοθεν τῷ δεδωκότι θεραπεύσει τὴν ἐντεῦθεν αὐτῷ συμβᾶσαν ζημίαν.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ μή. τίτ. τοῦ στ'. βιβλίου τοῦ κώδικος κεῖται ἐν βιβλίῳ μδ'. τίτ. ιή. κεφ. λ'. καὶ ζήτει τοῦτο περὶ τὰ μέσα διαλαμβάνον ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Τὰ δὲ

(1) Χ. Τρ. — τοιούτου Ἐ. Β.

λεγόμενα περιέχεσθαι ἐν τῷ κζ'. τίτλῳ τῆς γ'. καὶ ις'. τίτ. τῆς δ'. Ἰνστιτουτιῶνος, οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά. Ἡ μέν τοι β'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι ιή. κεφ. τοῦ β'. τίτ. τοῦ έ. βιβλίου, καί φησι σχεδὸν τὰ αὐτά· ἡ δὲ ά. διάτ. τοῦ αὐτοῦ βιβλίου τῶν νεαρῶν οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

ΚΕΦΑΛΑΙΟΝ. Β'.

Περὶ ἱερῶν σκευῶν καὶ ἀναθημάτων. Ἀποστόλων κανὼν ογ'. Συνόδου ά. καὶ β'. συγκροτηθείσης ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ά. ι'. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'.

Κείμενον.

Ἡ ιζ'. διάτ. τοῦ β'. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν, ὅτι κινητῶν ὑπόντων ἔξωθεν τῶν ἱερῶν σκευῶν, ἀργεῖ τῶν ἀναγκαίων ἀκινήτων καὶ τῶν ἱερῶν ἡ ἐκποίησις, καὶ ἡ ὑποθήκη. Καὶ ἡ κά. διάταξις τοῦ αὐτοῦ τίτλου φησίν, ὅτι ὁ μὴ δι' ἀνάῤῥυσιν αἰχμαλώτων ἱερὰ σκεύη ἀγοράζων, ἢ ἁπλώματα, ἢ λαμβάνων εἰς ὑποθήκην ἢ ἐνέχυρον, καὶ τῶν τιμῶν καὶ τοῦ χρέους ἐκπίπτει, καὶ ἐκδικοῦνται διὰ τῶν ἐπισκόπων, καὶ οἰκονόμων, καὶ σκευοφυλάκων, εἰ καὶ ἐχωνεύθησαν, ἢ καὶ αἱ τιμαὶ αὐτῶν ἀπαιτοῦνται, εἰ καὶ μὴ φαίνονται. Φησὶ βιβλίον ιή. τίτ. ά. διάτ. ξβ'. ὅτι ὁ ἐν ἀγνοίᾳ τὸ ἱερὸν ὡς ἰδιωτικὸν ἀγοράζων, εἰ καὶ μὴ συνίσταται ἡ πρᾶσις, ὅμως ἔχει κατὰ τοῦ πράτου εἰς ὅπερ αὐτῷ διέφερε μὴ ἀπατηθῆναι. Καὶ Ἰνστιτουτίων β'. τίτ. ά. φησὶν, ὅτι τὰ ἱερὰ σκεύη οὔτε πιπράσκεται, οὔτε ὑποτίθεται εἰ μὴ διὰ λύσιν αἰχμαλώτων· ἡ δὲ ά. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐπιτιμίοις ὑποβάλλει τοὺς ἱερὰ σκεύη παρὰ τὸν νόμον ἐνεχυράζοντας, ἢ πωλοῦντας, ἢ χωνεύοντας, ἢ ἐκποιοῦντας, εἰ μὴ διὰ λύσιν αἰχμαλώτων.

Σχόλιον.

Ἡ ιζ'. διάτ. τοῦ 6'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ κά. Τὸ μέν τοι ξϐ'. διάτ. τοῦ ά. τίτ. τοῦ ιή. βιβλίου ἐστὶ βιβλίον ιθ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. ξϐ'. θέμα 6'. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη. Ὁ ά. τίτ. τῆς 6'. ἰνστιτουτιῶνος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ ά. διάτ. τοῦ 6'. τίτλου τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκ'. τοῦτο δὲ αὐτῆς τὸ κεφάλαιον οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

Κείμενον.

Ἡ δὲ 6'. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν ὥστε τὰ ἱερὰ σκεύη τῆς ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, καὶ τῶν ὁπουδήποτε κειμένων εὐκτηρίων, μὴ ἄλλως πιπράσκεσθαι, ἢ ὑποτίθεσθαι εἰ μὴ εἰς ἀνάῤῥυσιν αἰχμαλώτων. Εἰ δὲ πλείονα εἶεν σκεύη μηδεμίαν ἀναγκαίαν ποιοῦντα (1) χρῆσιν, συμβῇ δέ τινα τῶν εὐαγῶν οἴκων βαρύνεσθαι χρέεσι, καὶ μὴ ὕπεστιν ἕτερα κινητὰ πράγματα ἐξ ὧν ὀφείλει διδόναι τὰ χρέη, ἄδεια ἔσται, συνισταμένης πράξεως ἀζημίως, ἐπισκόπου μὲν ἐκποιοῦντος παρὰ τῷ μητροπολίτῃ, μητροπολίτου δὲ παρὰ τῷ ἰδίῳ πατριάρχῃ, τὰ περιττὰ σκεύη ἄλλοις εὐαγέσιν οἴκοις χρείαν ἔχουσι πωλεῖν, ἢ χωνεύειν καὶ πιπράσκειν, καὶ τὴν τιμὴν αὐτῶν εἰς τὸ χρέος παρέχειν, ὥστε μὴ τὰ ἀκίνητα αὐτῶν ἐκποιεῖσθαι. Λέγει δὲ βιβλίον ά. τίτ. ιή. διάταξις ιγ'. ὅτι οἱ ἄρχοντες ἀναζητοῦσι τοὺς ἱεροσύλους· καὶ βιβλίον ι'. τίτ. 6'. διάτ. δ'. ὅτι τὰ ἐξ ἱεροσυλίας κτηθέντα οὐ διαιροῦνται οἱ κληρονόμοι· καὶ βιβλίον μέ. τίτ. ά. διάτ. κστ'. ὅτι ἀνισχύρως τις ὁμολογεῖ ἱεροτυλεῖν, καὶ οὐχ ἁρμόζει ἐκ τούτου ἀγωγή.

Σχόλ ι.

Ἡ 6'. διάταξις τοῦ 6'. τίτλου τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκ'. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. 6'. κεφ.

(1) Χ. Τρ. — ἐμποιοῦντα Ἐ, Ἰ. Β.

κά. οὕτως ἔχοντι καθὼς εἰς τὸ κείμενον διελήφθη. Τὸ ιγ'. διάτ. τοῦ ιή. τίτ. τοῦ ά. βιβλίου ἐστὶ βιβλίον στ'. τίτ. ά. κεφ. μβ'. οὕτως ἔχον· Ὁ ἄρχων φροντιζέτω τῆς εἰρήνης ζητῶν τοὺς ἱεροσύλους, καὶ ἀνδραποδιστὰς, καὶ κλέπτας, καὶ ὑποδοχεῖς, καὶ πρὸς τὸ πλημμέλημα ἐπεξιὼν αὐτοῖς. Τὸ δ'. διάτ. τοῦ β'. τίτ. τοῦ ί. βιβλίου ἐστὶ τῶν βασιλικῶν βιβλίον μβ'. τίτ. γ'. κεφ. δ'. θέμα β'. λέγον· Ἐξῃρημένων τῶν χρεῶν τὰ λοιπὰ πράγματα κατάγονται εἰς τὸ διαιροῦν τῇ φαμιλίᾳ τὸν κλῆρον δικαστήριον, καὶ τὰ κακὰ φάρμακα, καὶ τὰ μαγικὰ βιβλία, καὶ τὰ ὅμοια· ὀφφίκιον δέ *ἐστι* (1) δικαστοῦ παραχρῆμα τὰ τοιαῦτα διαφθείρειν. Οὐ διαιρεῖται δὲ τὰ ἀπὸ ἱεροσυλίας κτηθέντα, ἢ τὰ ἀπὸ δήμου κλαπέντα, ἢ ἀπὸ βίας κτηθέντα, ἢ ἐφόδου. Σὺ δὲ γίνωσκε ὅτι πάντα ὅσα κακῇ πίστει νέμεται ὁ τελευτήσας, οὐ κατάγεται εἰς τὸ διαιρετικὸν δικαστήριον, ἀλλὰ φυλάττεται τῷ ἰδίῳ δεσπότῃ ἀμείωτα. Τὸ κστ'. διάτ. τοῦ ά. τίτ. τοῦ μέ. βιβλίου τῶν διατ. ἐστὶ βιβλίον τῶν βασιλικῶν μγ'. τίτ. ά. κεφ. κέ. λέγον· Αἱ αἰσχραὶ ἐπερωτήσεις ἀνίσχυροί εἰσιν, ὡς ὅταν τις ὁμολογῇ φόνον ποιεῖν ἢ ἱεροσυλίαν, οὔτε γὰρ ἀγωγὴ ἐκ τῶν τοιούτων ἁρμόζει.

Κείμενον.

Καὶ βιβ. μή. τίτ. δ'. διάτ. ά. ὅτι ὅμοιόν ἐστι τὸ ἔγκλημα τῆς καθοσιώσεως τῷ περὶ τῆς ἱεροσυλίας. Καὶ τίτ. ιγ'. τοῦ αὐτοῦ βιβλίου διάτ. ά. Ὁ περὶ τῆς ἱεροσυλίας κινεῖται νόμος κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρείας, ἢ πρασκευάσαντος κατὰ δόλον γενέσθαι τι τούτων. Διάτ. δ'. Οἱ ἱερόσυλοι πρὸς τὸ ποιὸν τοῦ ἁμαρτήματος τιμωροῦνται.

Σχόλιον.

Τὸ ά. διάτ. τοῦ δ'. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. λστ'. κεφ. ά. λέγον· Ὁ περὶ τῶν ἐπιβούλων νόμος ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ ὁ κατὰ τοῦ Ῥωμαϊκοῦ δήμου πλημμελήσας,

(1) Χ. Τρ.

καὶ ὁ σπουδάσας κατὰ δόλον παρὰ κέλευσιν βασιλέως ἀναιρεθῆναι τοὺς ὁμήρους, ἢ ἵνα ἔνοπλοι ἄνθρωποι κατὰ τῆς πόλεως ἐν πόλει ὦσιν, ἢ ἵνα τόπος ἢ ἱερὰ κατασχεθῶσιν, ἢ στασιώδης γένηται σύνοδος, ἢ ἵνα φονευθῇ ὁ ἄρχων, καὶ ὁ πρὸς τοὺς πολεμίους ἄγγελον ἢ γράμματα πέμψας, ἢ σημεῖον αὐτοῖς δεδωκὼς, ἢ ἄλλως βοηθήσας αὐτοῖς, καὶ ὑπονοθεύσας, ἢ ἐρεθίσας στρατιώτας πρὸς στάσιν ἢ θόρυβον κατὰ τῆς πολιτείας. Τὸ ά. διάτ. τοῦ ιγ'. τίτ. τοῦ αὐτοῦ βιβλίου τῶν διατάξεών ἐστι βιβλίον ξ'. τίτ. μέ. κεφ. ϛ'. Ὁ δὲ πεκουλάτους κινεῖται κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν, ἢ τῶν μνημείων, ἢ δημοσίων, ἢ χρημάτων, ἢ στρέψαντος εἰς ἰδίας χρήσεις· πλὴν τῶν ἀπὸ νόμου ἐπιτετραμμένων, καὶ τῶν παρασκευασάντων κατὰ δόλον γενέσθαί τι τούτων, καὶ τοῦ μίξαντος τῷ δημοσίῳ χρυσῷ ἢ ἀργύρῳ χαλκὸν, ἢ ἕτερον βλάπτον αὐτά. Τὸ δ'. διάτ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

Κείμενον.

Διάτ. ϛ'. Τὸ ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα ὑφελέσθαι οὐκ ἔστιν ἱεροσυλία, ἀλλὰ κλοπή. Ἐν δὲ τῷ ις'. διατάγματι τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλίου λέγει, τὸν τόπον διακρίνειν τὸν κλέπτην ἀπὸ τοῦ ἱεροσύλου. Καὶ βιβλίον ϛ'. τοῦ κώδικος τίτ. β'. διατ. γ'. ὅτι ὁ κλέπτων τὸ μήπω τῷ Θεῷ καθιερωθὲν ὡς κλέπτης ἐνάγεται.

Σχόλιον.

Τὸ ϛ'. διάτ. τοῦ δ'. (1) τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι τῶν βασιλικῶν βιβλίον ξ'. καὶ τίτ. μέ. κεφ. ϛ' καί φησι, τὸ ὑφελέσθαι ἀπὸ ἱεροῦ χρήματα ἰδιωτικὰ οὐκ ἔστιν ἱεροσυλία ἀλλὰ κλοπή. Τὸ ις'. διάτ. τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. νά. κεφ. ις'. λέγον, τὸν τόπον ποιεῖν τὴν κλοπὴν, ἢ τὴν ἱεροσυλίαν· καὶ φαίνονται μὲν ἐναντία τὰ κεφ. οὐκ εἰσὶ δέ· ἀλλ' ὁ μὲν ἰδιωτικὰ χρήματα κλέπτων, κἂν ἐξ ἱεροῦ τόπου, κλέπτης ἐστίν· ὁ δὲ τὰ ἀνατεθειμένα τῷ Θεῷ κλέπτων, κἂν ἐξ ἰδιωτικοῦ τόπου

(1) ιγ'. Β. ἐν περισελιδίῳ.

κλέψῃ, ὡς ἱερόσυλος ἐνέχεται. Πλὴν ἐπεί εἰσί τινα ἱερὰ μὴ ἀνατεθειμένα τῷ Θεῷ, ὡς τὰ ἰδικῶς ἡμῖν διαφέροντα εἰκονίσματα, καὶ λοιπὰ μήπω ναοῖς ἢ μοναστηρίοις ἀνατεθέντα, κατὰ τοῦτο λέγει τὸ ις'. κεφάλαιον τοῦ νά. τίτ. τοῦ ξ'. βιβλίου, τὸν τόπον ποιεῖν τὴν κλοπὴν, ἢ τὴν ἱεροσυλίαν. Ὁ γὰρ τὴν ἐν τῷ κελλίῳ ἡμῶν οὖσαν ἁγίαν εἰκόνα κλέπτων, οὐκ ἔστιν ἱερόσυλος, ἀλλὰ κλέπτης. Εἰ δὲ μὴ τοῦτο οὕτως ἑρμηνεύσομεν, εἴπωμεν πάντως καὶ τὸν κλέπτοντα νομίσματα ἔχοντα εἰκόνα Χριστοῦ, ἢ Θεοτόκου, ὡς ἱερόσυλον ἐνάγεσθαι· ὅπερ ἄτοπον καὶ ψευδές. Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τοῦ ς'. βιβλίου τοῦ κώδικός ἐστι τῶν βασιλικῶν βιβλίον ξ'. τίτ. ς'. κεφ. κ'. λέγον· Ὁ τὸ μήπω καθιερωθὲν κλέψας κατέχεται τῇ φούρτι, οὔπω γὰρ ἱερόσυλός ἐστιν ὁ κλέψας τὸ μηδέπω καθιερωθέν· ἐκ τοῦ τοιούτου οὖν κεφαλαίου φαίνεται ὡς καλῶς ἐλύθη ἀνωτέρω ἡ δοκοῦσα ἐναντιοφωνία τῶν κεφαλαίων.

Κείμενον.

Βιβλίον μή. τίτ. ιγ'. διάτ. ζ'. (1). Ἡ τοῦ ἱεροσύλου ποινὴ ἀπὸ τῆς ποιότητος τῶν προσώπων, καὶ τοῦ ἁμαρτήματος, καὶ τοῦ καιροῦ, καὶ τῆς ἡλικίας, καὶ τῆς φύσεως, ἢ βαρυτέρα, ἢ ἐλαφροτέρα ἐπιφέρεται· τινὲς γὰρ θηρίοις παραδίδονται, τινὲς καίονται, τινὲς φουρκίζονται· μεμετρημένη δὲ(2) ποινή ἐστι τὸ παραδοθῆναι θηρίοις τὸν νυκτερινὸν ἱερόσυλον, τὸν ἡμερινὸν δὲ μέτριόν τι ἱεροσυλοῦντα μεταλλίζεσθαι, τὸν δὲ τίμιον δεπορτατεύεσθαι. Διάτ. ιά. Οἱ ἱερόσυλοι κεφαλικῶς κολάζονται· ἱερόσυλοι δέ εἰσιν οἱ τοὺς δημοσίους ναοὺς κλέπτοντες· οἱ δὲ ἰδιωτικὰ ἱερὰ καὶ τοὺς μικροὺς ναοὺς ἀφυλάκτους ὄντας κλέπτοντες, ἧττον μὲν τῶν ἱεροσύλων, πλέον δὲ τῶν κλεπτῶν τιμωροῦνται. Ὁ δὲ ἐξωτικὸς ὑποκλέπτων τὰ ἱερὰ ὑπόκειται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι· ὁ γὰρ τὴν αὐτῶν φυλακὴν πεπιστευμένος, κἂν ὑφέληταί τι ἐξ αὐτῶν, οὐχ

(1) στ'. Β. ἐν περισελιδίῳ. — (2) Χ, Τρ. — καὶ Ἑ, Ἰ, Β.

ὑπόκειται τούτῳ τῷ νόμῳ. Διάτ. ιϐ'. Δεπορτατεύεται ὁ ἐμβάλλων (1) ἄνθρωπον κιβωτῷ, καὶ παραθέμενος αὐτὸν ἐν ναῷ, ἐὰν ἐκεῖνος ἐξιὼν τῆς κιβωτοῦ κλέψῃ τινὰ τοῦ ἱεροῦ. Διάτ. ιστ'. Τὸ τῆς ἱεροσυλίας καὶ κατὰ κληρονόμων ἁρμόζει· περὶ γὰρ χρημάτων ὑφαιρεθέντων ἐστὶν ἐν αὐτῷ ζήτησις.

Σχόλιον.

Τὸ ζ'. διάτ. τοῦ ιγ'. τίτλου τοῦ μή. βιβλίου οὐκ ἐτέθη εἰς τὰ βασιλικά, οὐδὲ τὸ ιά. τὸ δὲ ιϐ'. ἐστὶ κεφ. ιγ'. τοῦ μέ. τίτ. (2) τοῦ ξ'. βιβλίου οὕτως ἔχον ὡς εἰς τὸ κείμενον δηλοῦται· ὡσαύτως καὶ τὸ ις'. ἐστι κεφάλαιον ις'. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. τὰ αὐτὰ διεξιόν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ κληρικῶν ἀποσχιζόντων, καὶ παρὰ γνώμην τῶν ἐπισκόπων ἱστώντων θυσιαστήρια. Ἀποστόλων κανὼν λά. Συνόδου Ἀντιοχείας κανὼν έ. Συνόδου Καρθαγένης κανὼν ί. Συνόδου ς'. κανὼν λά. Συνόδου ά. καὶ ϐ'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ιϐ'. ιγ'. ιδ'. ιέ.

(1) Χ. Τρ. — ἐκϐάλλων Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — τὸ τίτ. οὐχ εὕρηται ἐν Ἑ Ι. Β.

ΤΙΤΛΟΣ Γ΄.

ΠΕΡΙ ΕΥΧΩΝ, ΚΑΙ ΨΑΛΜΩΔΙΑΣ,

ΚΑΙ ΑΝΑΓΝΩΣΕΩΣ, ΚΑΙ ΑΝΑΦΟΡΑΣ, ΚΑΙ ΚΟΙΝΩΝΙΑΣ,

Καὶ φορεσίας, καὶ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, καὶ ὑπηρετῶν.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΠΟΙΩΝ ὁ λαὸς εὐχῶν ἀκροᾶται, καὶ διὰ τί πρὸς ἀνατολὰς ὁρῶντες εὐχόμεθα. Συνόδου Λαοδικείας κανὼν έ. καὶ ιθ΄. Βασιλείου ἐκ τοῦ κζ΄. κεφ. τοῦ περὶ τοῦ ἁγίου πνεύματος.

Κείμενον.

Ἡ ιζ΄. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν λέγει τὴν εὐχὴν τῆς ἁγίας κοινωνίας καὶ τοῦ ἁγίου βαπτίσματος ὀφείλειν ἐξακούεσθαι τῷ λαῷ.

Σχόλιον.

Ἡ ιζ΄. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι κεφ. κά. τοῦ ά. τίτ. τοῦ γ΄. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Πρὸς τούτοις κελεύομεν πάντας ἐπισκόπους τε καὶ πρεσβυτέρους μὴ μετὰ τὸ σεσιωπημένον, ἀλλὰ μετὰ φωνῆς τῷ πιστοτάτῳ λαῷ ἐξακουομένης τὴν θείαν προσκομιδὴν, καὶ τὴν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι προσευχὴν ποιεῖσθαι, πρὸς τὸ κἀντεῦθεν τὰς τῶν ἀκουόντων ψυχὰς εἰς πλείονα κατάνυξιν, καὶ τὴν πρὸς τὸν δεσπότην Θεὸν διανίστασθαι δοξολογίαν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τοῦ τίνας, καὶ πῶς, καὶ ποῖα δεῖ ψάλλειν, ἢ εὔχεσθαι, ἢ ἀναγινώσκειν. Ἀποστόλων κανὼν ξ΄. πέ.

Συνόδου Λαοδικείας κανὼν ιέ. ιζ'. ιή. ιθ'. κγ'. νθ'. Συνόδου Καρθαγένης κανὼν κδ'. μϛ'. ργ'. Συνόδου ϛ'. κανὼν λγ'. ξγ'. οέ. πά. Συνόδου Νικαίας τὸ 6'. κανὼν ιδ'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ χρῆναι κατὰ σάββατον ἀναγινώσκεσθαι εὐαγγέλιον μετὰ ἑτέρων γραφῶν. Συνόδου Λαοδικείας κανὼν ιστ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς ἁγίας ἀναφορᾶς καὶ κοινωνίας. Ἀποστόλων κανὼν γ'. δ'. λά. Συνόδου Νικαίας κανὼν ιή. Συνόδου Ἀγκύρας κανὼν ά. Συνόδου Νεοκαισαρείας κανὼν ιγ'. Συνόδου Λαοδικείας κανὼν ιθ'. μθ'. Συνόδου Καρθαγένης κανὼν λζ'. μά. μζ'. Συνόδου στ'. κανὼν κά. κγ'. κή. νζ'. νή. ξϐ'. καὶ ρά.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πῶς διδόασι τὴν εἰρήνην οἱ κληρικοὶ καὶ οἱ λαϊκοί. Συνόδου Λαοδικείας κανὼν ἐννεακαιδέκατος.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τῶν διακρινομένων κοινωνεῖν ἀπὸ πρεσβυτέρων γεγαμηκότων. Συνόδου Γαγγρῶν (1) κανὼν τέταρτος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ μόνοις τοῖς ἱερατικοῖς ἐξεῖναι κοινωνεῖν ἐν τῷ θυσιαστηρίῳ, καὶ περὶ τοῦ μὴ εἰσιέναι γυναῖκα εἰς

(1) Χ. Τρ. — Γαγγραίνας Ἐ. Ἰ. Β.

τὸ θυσιαστήριον. Συνόδου Λαοδικείας κανὼν ιθ'. μδ'. Συνόδου στ'. κανὼν ξθ'. οή.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Πότε προσφέρουσι καὶ διδόασι κοινωνίαν οἱ χωρεπίσκοποι. Συνόδου Νεοκαισαρείας κανὼν τρισκαιδέκατος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ μὴ προσφέρειν διάκονον, μήτε διδόναι πρεσβυτέρῳ κοινωνίαν. Συνόδου Νικαίας κανὼν ιή.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ φορεσίας καὶ ὑπουργίας ἀναγνωστῶν, ψαλτῶν, καὶ ὑπηρετῶν, καὶ ὅτι οὐ δεῖ ὑπηρέτην ἄρτον διδόναι, ἢ ποτήριον εὐλογεῖν. Συνόδου Λαοδικείας κανὼν κά. κβ'. κγ'. κέ. μγ'. Συνόδου στ'. κανὼν κζ'. Συνόδου Νικαίας τὸ δεύτερον κανὼν ιδ'. ιστ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν διαγόντων ἐν πόλει, καὶ ἐπὶ τρεῖς ἑβδομάδας μὴ κοινωνούντων. Συνόδου Σαρδικῆς κανὼν ιά. Συνόδου στ'. κανὼν ὀγδοηκοστός.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν ἀκουόντων τῶν γραφῶν, καὶ μὴ προσκαρτερούντων ἐν τῇ τελευταίᾳ εὐχῇ, καὶ μεταλαμβανόντων. Ἀποστόλων κανὼν ή. θ'. Συνόδου Ἀντιοχείας κανὼν β'.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ δαιμονιζομένων πῶς κοινωνοῦσιν (1). Ἀποστόλων κανὼν οθ'. Τιθομέου κανὼν γ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῶν ἔξωθεν ἐκκλησίας προσφερόντων, ἢ ἐκκλησιαζόντων. Ἀποστόλων κανὼν λά. Συνόδου Γαγγρῶν κανὼν στ'. Συνόδου Ἀντιοχείας κανὼν ϐ'. έ. Συνόδου Λαοδικείας κανὼν νή. Συνόδου ἕκτης κανὼν λά. νθ'.

Κείμενον.

Ἡ ζ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, καὶ ἡ γ'. τοῦ ϐ'. τίτ. φασὶν, ὅτι δεῖ τὸν θέλοντα εὐκτήριον, ἢ ἐκκλησίαν κτῖσαι, διαλέγεσθαι περὶ τούτου τῷ τῆς πόλεως ἐπισκόπῳ, καὶ δωρεῖσθαι τὰ ἀρκοῦντα πρὸς τὴν λυχνοκαίαν, καὶ τὴν ἱερὰν λειτουργίαν, καὶ τὴν ἀδιάφθορον τοῦ τόπου τήρησιν, καὶ τὴν ἀποτροφὴν τῶν προσεδρευόντων, καὶ τότε τὸν ἐπίσκοπον τὸ πρᾶγμα πᾶσι φανεροῦντα, δημοσίᾳ ἐκεῖσε προϊέναι, καὶ σὺν εὐχῇ πηγνῦναι σταυρὸν, καὶ τότε τὸ ἔργον ἄρχεται· καὶ ὅτι ὁ ἀρξάμενος νέον κτίζειν ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκάζεται μετὰ κληρονόμων αὐτοῦ, παρὰ τῶν οἰκονόμων, καὶ τοῦ ἐπισκόπου, καὶ τοῦ ἄρχοντος τὸ ἀρχθὲν πληρῶσαι.

Σχόλιον.

Ἡ ζ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ξζ'. καὶ οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ γ'. διάτ. τοῦ ϐ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. γ'. κεφ. δ'. καὶ έ. ἃ καὶ ἔχουσιν ὡς εἰς τὸ κείμενον συνωψίσθησαν.

(1) ἢ οὔ. Χ. Τρ.

Κείμενον.

Εἰ δέ τις ἐν ἰδιωτικῷ οἴκῳ, προαστείῳ, ἢ χωρίῳ, ἱερὰν ἐκτελέσῃ λειτουργίαν, ἤ τισιν ἐκτελεῖν συγχωρήσῃ, ἢ δίχα κληρικῶν ἀφοριζομένων παρὰ τοῦ τῶν τόπων ἐπισκόπου, ὁ τόπος ἐν ᾧ τοῦτο γέγονεν ἐν εἰδήσει τοῦ δεσπότου προσκυροῦται τῇ ἐκκλησίᾳ διὰ τοῦ ἐπισκόπου, καὶ τοῦ οἰκονόμου, καὶ τοῦ ἄρχοντος κατὰ τὸ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν. Ἡ γὰρ στ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν εἶπεν αὐτὸν φισκοῦσθαι, καὶ ἡ ιέ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος. Εἰ δὲ ἠγνόησε τὸ γινόμενον ὁ δεσπότης, οὐ ζημιοῦται, ἀλλ' οἱ γινώσκοντες φροντισταὶ, καὶ μισθωταὶ, καὶ ἐμφυτευταὶ, ἐξορίζονται τῆς ἐπαρχίας, τῶν πραγμάτων αὐτῶν προσκυρουμένων τῇ ἐκκλησίᾳ, οἱ δὲ ὕπαρχοι ταῦτα *παρορῶντες* (1) ἐν εἰδήσει ν'. λίτρας ζημιοῦνται, καὶ ἡ τάξις ν'. ἔξεστι μέν τοι τοῖς ἔχουσιν ἐν τοῖς οἴκοις αὐτῶν εὐκτήρια, εὔχεσθαι, οὐ μὴν καὶ λειτουργίας παρὰ τὰ εἰρημένα ποιεῖν.

Σχόλιον.

Περὶ τῆς γ'. διατ. τοῦ β'. τίτ. τῶν νεαρῶν διελάβομεν εἰς τὸ διελθὸν σχόλιον. Ἡ ς'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἡ λέγουσα φισκοῦσθαι, ἤτοι δημοσιεύεσθαι τὸν τόπον, ἐν ᾧ γίνεταί τι ἱερὸν παρὰ γνώμην τῶν ἐπισκόπων, ἐστὶ νεαρὰ Ἰουστινιάνειος νή. ἥτις καὶ ἠπράκτησεν ὡς μὴ τεθεῖσα εἰς τὰ βασιλικά. Ἡ ιέ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ ἐπισκόπων, ἢ κληρικῶν συγκοινωνούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ Ἰουδαίοις, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων αὐτῶν θυσίας. Ἀποστόλων

(1) Χ. Τρ. — πληροῦντες Ἑ. Ἰ. Β.

κανὼν ί. μέ. μς'. Συνόδου Ἀντιοχείας κανὼν ϛ'. Συνόδου Λαοδικείας κανὼν λγ'.

Κείμενον.

Ἡ δ'. διάταξις τοῦ στ'. τίτλου τῶν νεαρῶν φησιν ὅτι συνάγοντες οἱ αἱρετικοὶ, καὶ οἱ πρὸς αὐτοὺς συναγόμενοι, τὰς ἀπὸ τῶν διατάξεων ποινὰς ὑπομένουσι, καὶ οἱ οἶκοι, ἐν οἷς ἁμαρτάνεται τοῦτο, τῇ ἁγίᾳ ἐκκλησίᾳ προσκυροῦνται.

Σχόλιον.

Ἡ δ'. διάτ. τοῦ ς'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλϐ'. κειμένη ἐν βιβλίῳ ιά. τῶν βασιλικῶν τίτ. ά. κεφ. τελευταίῳ, καλουμένη ἴδικτον περὶ πίστεως, Κωνσταντινουπολίταις, κωλύουσα τὰς παρασυνάξεις, καὶ τὰ παραϐαπτίσματα τῶν αἱρετικῶν, καὶ διαλαμϐάνουσα ὅσα εἰς τὸ κείμενον διελήφθησαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Περὶ τοῦ μὴ δεῖν τὰ ἅγια, λόγῳ εὐλογιῶν, εἰς τὰς παροικίας πέμπεσθαι. Συνόδου Λαοδικείας κανὼν ιδ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τοῦ μὴ διδόναι τοῖς σώμασι τῶν τελευτώντων κοινωνίαν. Συνόδου Καρθαγένης κανὼν ιή. Συνόδου ἕκτης κανὼν πγ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκα ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῆς κοινωνεῖν. Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. ϐ'. δ'. Τιμοθέου κανὼν στ'. ζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Πῶς ὁ ὀνειρασθεὶς κοινωνεῖ. Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. δ'. Τιμοθέου κανὼν ιϐ'.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τοῦ μὴ γίνεσθαι ἀναφορὰν παρόντων αἱρετικῶν. Τιμοθέου κανὼν ἔννατος.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Πότε δεῖ τῆς γαμετῆς διὰ τὴν κοινωνίαν ἀπέχεσθαι. Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κεφ. γ'. Τιμοθέου κανὼν ε. ιγ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος. Τιμοθέου κανὼν τεσσαρασκαιδέκατος.

Κείμενον.

Ὁ πολιτικὸς νόμος τὸν ἑαυτὸν ἀνελόντα, ἢ ἀνελεῖν ἐπιχειρήσαντα διὰ φόβον ἐγκλήματος, οὐ μὴν διὰ νόσον, ἢ μῖσος ζωῆς, τιμωρεῖται ὡς τὸν ἕτερον ἀνελόντα, καὶ δημεύει τὴν οὐσίαν αὐτοῦ· ὡς βιβλίον μή. τίτ. κά. καὶ βιβλίον θ'. τοῦ κώδικος τίτ. ν'.

Σχόλιον.

Ὁ κά. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι κεφ. γ'. καὶ δ'. τοῦ νγ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, τὰ αὐτὰ διεξιόντα· ὁ δὲ ν'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

ΤΙΤΛΟΣ Δ'.

ΠΕΡΙ ΚΑΤΗΧΟΥΜΕΝΩΝ,

ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περι τοῦ μὴ ὀφείλειν μετὰ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς δέχεσθαι πρὸς τὸν φωτισμόν. Συνόδου Λαοδικείας κανὼν μέ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἐπιορκιζόντων. Συνόδου Λαοδικείας κανὼν εἰκοστὸς ἕκτος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πῶς δεῖ βαπτίζειν. Ἀποστόλων κανὼν μθ'. ν'. Συνόδου ἕκτης κανὼν νθ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ χρῆναι φωτιζομένους ἀπαγγέλλειν τὴν πίστιν. Συνόδου Λαοδικείας κανὼν μς'. μζ'. Συνόδου ἕκτης κανὼν οή.

Κείμενον.

Ἡ ί. διάτ. τοῦ ή. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικος παρακελεύεται τοὺς Ἕλληνας μικροὺς μὲν ὄντας χωρὶς ἀναβολῆς βαπτίζεσθαι, τοὺς δὲ τελείους πρότερον τὰς γραφὰς κατὰ τοὺς ἁγίους κανόνας διδασκομένους. Καὶ ἰστέον ὅτι οὐχ εὑρίσκομεν κανόνα τι τοιοῦτο διδά-

σκοντα. Ἡ δὲ γ'. διάταξις τοῦ γ'. τίτ. τῶν νεαρῶν, β'. οὖσα περὶ Σαμαρειτῶν, κειμένη δὲ ἐν τῷ ῥητῷ τῶν ἐν τῷ πατριαρχείῳ βιβλίων βιβλ. ρλγ'. θεσπίζει μὴ προχείρως τοὺς Σαμαρείτας ἐπὶ τὸ ἅγιον εἰσδέχεσθαι βάπτισμα, ἀλλὰ τοὺς μὲν χρηστῆς διδασκαλίας αἰσθανομένους ἐπὶ διετίαν κατηχεῖσθαι, καὶ οὕτω βαπτίζεσθαι, τοὺς δὲ νέους πάνυ, καὶ διδασκαλίας οὐ συνιέντας, καὶ χωρὶς τῆς παρατηρήσεως ταύτης, ἀξιοῦσθαι τοῦ ἁγίου βαπτίσματος.

Σχόλιον.

Ἡ ί. διάτ. τοῦ ή. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἔστιν εἰς τὰ βασιλικά. Ἡ γ'. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρμδ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν ά. τίτ. ά. κεφ. νά. ἥτις καὶ γραφήσεται εἰς τὸ τέλος τοῦ ζ'. κεφ. τοῦ δ'. τίτ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ βαπτίζεσθαι τοὺς ἀγνοοῦντας εἰ ἐβαπτίσθησαν. Συνόδου Καρθαγένης κανὼν οβ'. Συνόδου ἕκτης κανὼν πδ'.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τοῦ μὴ βαπτίζεσθαι τοὺς τελευτήσαντας. Συνόδου Καρθαγένης κανὼν ὀκτωκαιδέκατος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν πρὸ τοῦ βαπτίσματος ἁμαρτανόντων, καὶ περὶ κατηχουμένων παραπιπτόντων. Συνόδου Νικαίας κανὼν ιδ'. Συνόδου Ἀγκύρας κανὼν ιβ'. Συνόδου Νεοκαισαρείας κανὼν έ. Βασιλείου κανὼν κ'. Θεοφίλου ἐκ τοῦ

ὑπομνηστικοῦ κανὼν έ. Κυρίλλου ἐκ τῶν πρὸς τοὺς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῶν κανὼν δ'.

Κείμενον.

Ἡ ά. διάτ. τοῦ ιϐ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός *φησιν* (1) ὅτι ἐὰν Ἰουδαῖος διὰ τὸ φυγεῖν ἔγκλημα, ἢ χρέος, θελήσῃ χριστιανίσαι, οὐ δεῖ αὐτὸν προσδεχθῆναι, ἕως ἂν ἀνεύθυνος φανῇ, καὶ τὸ χρέος καταβάλῃ. Ἡ δὲ ί. διάτ. τοῦ ιά. τίτ. τοῦ ά. βιβλίου θέλει τοὺς Ἕλληνας βαπτίζεσθαι, καὶ τὰ τέκνα αὐτῶν χωρὶς ἀναβολῆς μικρὰ ὄντα, τὰ δὲ τέλεια προδιδάσκεσθαι κατὰ τοὺς κανόνας τὰς γραφάς. Ἡ δὲ γ'. τοῦ γ'. τίτ. τῶν νεαρῶν ἐπὶ διετίαν θέλει τοὺς τελείους Σαμαρείτας κατηχεῖσθαι (2).

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ ιϐ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. μδ'. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον καθὼς εἰς τὸ κείμενον ἐδηλώθη. Ἡ ί. διάτ. τοῦ ιά. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ μέν τοι γ'. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρμδ'. κειμένη ἐν βιβλίῳ ά. τῶν βασιλικῶν τίτ. ά. κεφ. νά. θεσπίζουσα Σαμαρείτας μηδέν τι λαμβάνειν ἀπὸ διαθήκης, ἢ ἐξ ἀδιαθέτου, ἢ ἐκ δωρεᾶς, μηδὲ διατίθεσθαι αὐτοὺς, ἢ δωρεῖσθαι αἱρετικοῖς, μόνους δὲ τοὺς γεωργοὺς Σαμαρείτας κληρονομεῖν, καὶ ἐξ ἀδιαθέτου, καὶ ἐκ διαθήκης ἀλλήλους, ἀλλὰ μηδὲ γίνεσθαί τινα ἐκ τούτων στρατιώτην, ἢ συνήγορον, ἢ ἕτερόν τι ὀφφίκιον αὐτοὺς ἐγχειρίζεσθαι, κατηχεῖσθαι δὲ αὐτοὺς ἐπὶ διετίαν, δεκτικοὺς ὄντας τῆς κατηχήσεως, ἔτι μὴν ἐλευθεροῦσθαι καὶ τοὺς παρ' αὐτῶν ἐξωνουμένους δούλους χριστιανοὺς ὄντας.

---

(1) Χ. Τρ. — (2) Χ. Τρ.— εἰσκατηχεῖσθαι Ἐ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἐπισκόπων, ἢ κληρικῶν δεχομένων βάπτισμα αἱρετικῶν. Ἀποστόλων κανὼν μς'.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἐν νόσῳ βαπτιζομένων. Συνόδου Νεοκαισαρείας κανὼν ιβ'. Συνόδου Λαοδικείας κανὼν μζ'. Συνόδου Καρθαγένης κανὼν μέ. Τιμοθέου κανὼν δ'.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ ἐγκύου βαπτιζομένης. Συνόδου Νεοκαισαρείας κανὼν ς'.

Κείμενον.

Καί τοι ἐν τῇ ά. διατ. τοῦ δ'. τίτ. τοῦ κέ. βιβλίου τῶν διατάξεών φησι, τὸ κυοφορούμενον εἶναι μέρος τῆς ἐγκύου· ἐν δὲ τῇ ί. διατ. τοῦ γ'. τίτ. τοῦ μά. βιβλίου, καὶ βιβλίου ν'. τίτ. ις'. διάτ. κς'. ὅτι τὸ κυοφορούμενον οὐκ ἔστι μέρος τῆς μητρός· καὶ ἄλλα δὲ διάφορα νόμιμα περὶ τούτου συνήγαγον ἐν τῇ γραφείσῃ μοι περὶ ἐναντιοφανειῶν μόνῃ βίβλῳ.

Σχόλιον.

Τὸ ά. διάτ. τοῦ δ'. τίτ. τοῦ κέ. βιβλίου τῶν διατάξεών ἐστι θέμα ϐ'. τοῦ ά. κεφ. τοῦ ζ'. τίτ. τοῦ λά. βιβλίου οὕτως ἔχον· Τὸ ἐγκυμονούμενον πρὶν ἢ τεχθῇ μέρος ἐστὶ τῆς γυναικός· καὶ διὰ τοῦτο ἕως ἂν τεχθῇ, οὐχ ἁρμόζει τῷ πατρὶ τὸ περὶ παίδων δόγμα. Τὸ ί. διάτ. τοῦ γ'. τίτ. τοῦ μά. βιβλίου τῶν διατάξεών ἐστι θέμα γ'. τοῦ ί. κεφ. τοῦ μ'. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον· Τὸ τεχθὲν ἀπὸ βοὸς ἢ δούλης κλεψίμου, καὶ κληρονόμος τοῦ κλέπτου, καὶ ἀγοραστὴς ἀγνοῶν διὰ χρονίας νομῆς δεσπόζει· τὸ γὰρ τεχθὲν οὐκ ἔστι μέρος τοῦ

κλεψιμαίου. Τὸ κστ'. διάτ. τοῦ ιστ'. τίτ. τοῦ ν'. βιβλίου τῶν διατάξεών ἐστι κεφ. κς'. τοῦ β'. τίτ. τοῦ β'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Ὁ τοκετὸς κλεψιμαίας δούλης οὐκ ἔστι μέρος αὐτῆς. Τούτων οὕτως ἐχόντων ἐρωτήσει τις, τίνος χάριν τοῦ ί. κεφ. τοῦ παρόντος συντάγματος περὶ ἐγκύου βαπτιζομένης διδάσκοντος, ἐμνήσθη ὁ πατριάρχης τῶν ῥηθέντων κεφαλαίων ὡς δοκούντων ἐναντιοφανῶν; Ἀμφιβολία ἦν περὶ τοῦ εἰ χρὴ τὴν κυοφοροῦσαν βαπτίζεσθαι· ἔλεγον γάρ τινες ὡς ἐπεὶ τὸ κυοφορούμενον τοῖς μητρικοῖς ἐγκάτοις κρυπτόμενον συνήνωται τῇ μητρὶ διόλου ὡς μέρος αὐτῆς, καὶ οὐ δύναται σὺν τῇ μητρὶ φωτισθῆναι διὰ τὸ μη κέτι εἰς φῶς ἐλθεῖν, μηδὲ προαίρεσιν ἔχειν τῆς ὁμολογίας τοῦ θείου βαπτίσματος, οὐδὲ ἡ ἐγκυμονοῦσα ὀφείλει βαπτίζεσθαι, ἀλλὰ περιμένειν τὴν εἰς τὸ φῶς τοῦ κυοφορουμένου ἐξέλευσιν, ἵνα μὴ τὸ μὲν ἐκ τῶν μερῶν αὐτῆς βαπτισθῇ, τὸ δὲ μείνῃ ἀφώτιστον, καὶ ὅτι ἂν σὺν τῇ ἐγκυμονούσῃ τὸ κυοφορούμενον βαπτισθῇ, μετὰ τὸ εἰς φῶς ἐξελθεῖν ἐὰν βαπτισθείη, εὑρεθείη *δὶς* (1) βαπτιζόμενον, ὅπερ ἄτοπον. Καὶ ἡ ἐν Νεοκαισαρείᾳ σύνοδος ἔλυσεν ἐν στ'. κανόνι τὸ ἀμφίβολον οὕτω διορισαμένη περὶ κυοφορούσης, ὅτι δεῖ φωτίζεσθαι ὁπότε βούλεται, οὐδὲν γὰρ ἐν τούτῳ κοινωνεῖ ἡ τίκτουσα τῷ τικτομένῳ διὰ τὸ ἑκάστου ἰδίαν τὴν προαίρεσιν τὴν ἐπὶ τῇ ὁμολογίᾳ δείκνυθαι. Τοῦ γοῦν θείου τούτου κανόνος λέγοντος μὴ ἐπικοινωνεῖν τῇ τικτούσῃ τὸ τικτόμενον, ὁ τὸ παρὸν σύνταγμα συνθέμενος πατριάρχης εὑρίσκων τοὺς διαληφθέντας νόμους, ποτὲ μὲν λέγοντας (2) μέρος εἶναι τῆς ἐγκύου τὸ κυοφορούμενον παρὰ τὴν δύναμιν τοῦ κανόνος, ποτὲ δὲ μὴ εἶναι, τέθεικεν ἐν τῷ ὕφει τὰ ἐναντιοφανῆ, τὴν λύσιν ὡς ἔοικεν εἰς τὴν ἡμετέραν ἀναρτήσας ἀμάθειαν. Φαμὲν τοίνυν ὡς οὐκ ἐναντιοῦνται ἀλλήλοις τὰ ῥηθέντα νόμιμα· τὸ γὰρ κυοφορούμενον ἀεὶ πρὸ τοῦ τεχθῆναι μέρος ἐστὶ τῆς μητρὸς, ὡς καὶ τὸ τοῦ λά. βιβλίου κεφάλαιόν φησι, καὶ διὰ τοῦτο οὐ δύναται ὁ πατὴρ ἀνακαλεῖσθαι αὐτὸ ὡς ὑπεξούσιον· μετὰ μέν τοι τὸ γεννηθῆναι ἀνακαλεῖται τοῦτο, ὡς μὴ ὂν μέρος τῆς μητρός. Καὶ ὁ καλῇ δὲ

(1) Χ. Τρ. — δὲ Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — λέγουσα Ἑ. Ἰ. Β.

πίστει νεμηθεὶς τὸ τεχθὲν ἀπὸ κλοπιμαίας δούλης δεσπόζει αὐτοῦ, ὡς μὴ ὄντος κλοπιμαίου. Τὸ μέν τοι κεφ. ί. οὐχὶ διὰ τὸ μὴ εἶναι μέρος τῆς κυοφορούσης τὸ κυοφορούμενον ἐπέτρεψε τὸ βάπτισμα (1) ταύτης, μέρος γάρ ἐστιν αὐτῆς πρὸ τοῦ τεχθῆναι, ἀλλὰ διὰ τὸ μὴ ἐπικοινωνεῖν τὴν τίκτουσαν τῷ τικτομένῳ, ἤγουν μὴ λογίζεσθαι καὶ ταύτην ἀφώτιστον ἐκ τοῦ μὴ δύνασθαι τὸ κυοφορούμενον βαπτίσματος ὁμολογίαν ἀναδέχεσθαι. Πότε (2) δὲ ὁ τοκετὸς τῆς κλοπίμου δούλης δεσπόζεται, καὶ πότε οὔ, φασὶ νόμοι διάφοροι. Καὶ ζήτει τὰ γραφέντα ἔξωθεν τοῦ ἄνωθεν καταστρωθέντος κς΄. κεφ. τοῦ ϛ΄. τίτ. τοῦ ϛ΄. βιβλίου τῶν βασιλικῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Περὶ τοῦ ὀφείλειν μετὰ τὸ ἅγιον βάπτισμα χρίεσθαι. Συνόδου Λαοδικείας κανὼν μή.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Περὶ ποιήσεως τοῦ ἁγίου χρίσματος. Συνόδου Καρθαγένης κανὼν ς΄.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Περὶ τῶν δὶς, ἢ μὴ δεόντως βαπτιζομένων, καὶ τῶν τοὺς ἀσθενεῖς μὴ βαπτιζόντων. Ἀποστόλων κανὼν μζ΄. μθ΄. ν΄.

Κείμενον.

Περὶ τῶν ἀναβαπτιζόντων, καὶ ἀναβαπτιζομένων διαλαμβάνουσιν ἡ ά. καὶ ἡ β΄. διάτ. τοῦ β΄. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος· ἡ μὲν γὰρ τῷ ἐπισκόπῳ καθαίρεσιν

(1) τὸ φώτισμα Χ. Τρ. — (2) Χ. Τρ. — ποτὲ Ἑ. Ἰ. Β.

ἐπάγει, ἡ δὲ ἐσχάτην τιμωρίαν καὶ τῷ βαπτίσαντι καὶ τῷ βαπτισθέντι, εἴγε ἡλικίας ἐστὶν ἐγκλήματος δεκτικῆς. Γίνωσκε δὲ ὅτι ὁ τῇ ἥβῃ πλησιάζων ἐπ' οὐδεμιᾷ αἰτίᾳ βοηθεῖται, ὡς βιβλίου κθ'. τίτ. έ. διάταξις ιδ'. Ἔστι δὲ καὶ ἥβη ἐπὶ μὲν τοῦ ἄῤῥενος ὁ ιδ'. ἐνιαυτὸς πεπληρωμένος, ἐπὶ δὲ τῆς θηλείας ἡ συμπλήρωσις τοῦ ιβ'. ἐνιαυτοῦ, ὡς βιβλίου κή. τίτλου ά. διάταξις έ. καὶ βιβλίου τοῦ κώδικος έ. τίτ. ξ'. διάταξις γ'. ἰνστιτουτιῶνος ά. τίτ. κβ'. Εἰ δέ τισι ληγατευθῇ ἀποτροφὴ ἑωσοῦ εἰσὶν ἄνηβοι, ὁ μὲν ἄῤῥην λαμβάνει ἕως οὗ πληρώσῃ τὸν ιή. ἐνιαυτὸν, ἡ δὲ θήλεια τὸν ιδ'. ὡς βιβλίου λδ'. τίτ. ά. διάτ. ιδ'. Ἄνηβος δὲ το πλαστὸν οὐ πλημμελεῖ, ὡς βιβλίου μή. τίτ ι'. διάτ. κβ'. καὶ ἡ μοιχεία μετὰ τὴν ἥβην πλημμελεῖται, ὡς διάτ. λς'. τοῦ έ. τίτ. τοῦ αὐτοῦ μή. βιβλίου. Ἡ δὲ διαλαμβάνουσα περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς λζ'. νεαρά φησιν, ὅτι οἱ ἀναβαπτισθέντες στρατεύεσθαι μὲν οὐ δύνανται, μεταμέλου δὲ χώραν ἔχουσι.

Σχόλιον.

Ἡ ά. καὶ β'. διάταξις τοῦ ς'. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Τὸ ιδ'. διάταγμα τοῦ έ. τίτ. τοῦ κθ'. βιβλίου τῶν διατάξεών ἐστι κεφ. ιδ'. τοῦ ιστ'. τίτ. τοῦ λέ. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Ἐὰν πλησιάζων τῇ ἥβῃ ἄνηβος παρακαθεύδων τῷ ἀναιρεθέντι δεσπότῃ μὴ δημοσιεύσῃ τὸ γεγονὸς, τιμωρεῖται. Τοῖς γὰρ ὑπὸ τὴν αὐτὴν στέγην ἀνήβοις συγχωρεῖ, οὐ μὴν τοῖς ὑπηρέταις, ἢ μετόχοις, εἰ δύνανται νοεῖν τὸ πραττόμενον· οἱ γὰρ τοιοῦτοι οὐδὲ ἀφ' ἑτέρας αἰτίας βοηθοῦνται. Τὸ έ. διάτ. τοῦ ά. τίτλου τοῦ κή. βιβλίου ἐστὶ θέμα τελευταῖον τοῦ έ. κεφ. τοῦ ά. τίτ. τοῦ λέ. βιβλίου οὕτω διεξιόν· Ὁ ἄῤῥην πληρώσας τὰ ιδ'. ἔτη διατίθεται, ἡ δὲ θήλεια τὰ β'. ὁ δὲ γεννηθεὶς καλένδαις ἰανουαρίαις δοκεῖ πληροῦν τὸν ἐνιαυτὸν ἀπὸ ς'. ὥρας τῆς νυκτὸς τῆς προ μιᾶς καλενδῶν ἰανουαρίων τοῦ ἑξῆς ἔτους. Ἡ γ'. διάτ. τοῦ ξ'. τίτ.

τοῦ έ. βιβλίου τοῦ κώδικός ἐστι κεφ. γ'. τοῦ ιθ'. τίτ. τοῦ λή. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Τὸ παλαιὸν ἡ μὲν τῶν θηλειῶν ἥβη ἀπὸ μόνων τῶν ιβ'. ἐνιαυτῶν ἐκρίνετο, ἡ δὲ τῶν ἀῤῥένων ἐκ τοῦ πληρωθῆναι τὸν ιδ'. ἐνιαυτὸν μετὰ τοῦ συντρέχειν καὶ τὴν τοῦ σώματος ἕξιν, ὡς ἔγνως καὶ ἐν τοῖς ἰνστιτούτοις. Ἡ διάταξις οὖν κελεύει καὶ ἐπὶ τῶν ἀῤῥένων ἀπὸ τῶν ιδ'. ἐνιαυτῶν κρίνεσθαι, μὴ ἐπιζητούντων ἡμῶν τὸ σχῆμα τοῦ σώματος διὰ τὸ ἀπρεπές. Ὁ δὲ κδ'. τίτ. τῆς ά. ἰνστιτουτιῶνος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ὁ ά. τίτ. τοῦ λδ'. βιβλίου τῶν διατάξεων ἐτέθη εἰς βιβλίον μδ'. τίτ. ιδ'. καὶ ζήτει κεφ. αὐτοῦ ιδ'. οὕτως ἔχον· Ἐὰν ἀνήβοις ληγατεύσω διατροφὰς, καὶ μὴ δείκνυται ἕως πότε ἠθέλησα (1) λαμβάνειν αὐτὰς, ἕως οὗ ζῶσι λαμβάνουσιν. Εἰ δὲ εἶπον μέχρι τῆς ἥβης, ὁ μὲν ἄῤῥην μέχρι τοῦ ιή. ἔτους, ἡ δὲ θήλεια τοῦ ιδ'. λαμβάνουσιν. Ἐπὶ μόνων δὲ τῶν διατροφῶν φιλαγάθως οὕτως ἡ ἥβη ὁρίζεται. Τὸ κδ'. διάτ. τοῦ ί. τίτ. τοῦ μή. βιβλίου ἐστὶ κεφ. κδ'. τοῦ μά. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν οὕτω διαλαμβάνον· Οὔτε τῷ Λιβονιανείῳ (2) δόγματι, οὔτε τῷ ἐγκλήματι τοῦ πλαστοῦ ἄνηβος ὑποπίπτει. Τὸ λς'. διάτ. τοῦ έ. τίτ. τοῦ μή. βιβλίου ἐστὶ κεφ. μ'. τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν λέγον· Μετὰ τὴν ἥβην πλημμελεῖ ὁ νέος μοιχείαν, καὶ ὑπόκειται τῷ νόμῳ. Ἡ δὲ λζ'. νεαρὰ ἐτέθη εἰς βιβλίον ά. τίτλον ά. κεφ. μέ. οὕτως ἔχον· Αἱρετικὸς μὴ βαπτιζέτω, μήτε πολιτευέσθω, μήτε μετελθέτω οἱονδήποτε πολιτικὸν ὀφφίκιον. Ὁ ἀναβαπτισθεὶς στρατείας μ. όνης κωλύεται, Ἰουδαῖος Χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω, καὶ τὰ ἑξῆς. Καὶ ταῦτα μὲν διδάσκουσι τὰ κεφ. περὶ τῶν ἀνήβων καὶ τῶν ἀναβαπτιζομένων, ἢ ἄλλως ἁμαρτανόντων, πότε συγγινώσκονται, καὶ πότε οὐ συγγινώσκονται, καὶ ποῖος χρόνος ὁ μετὰ τὴν ἥβην ἐστί. Σὺ δὲ συναγαγὼν εἰπὲ, ὅτι ἡ ἀνηβότης εἰς τρία διαιρεῖται· εἰς ἴμφαντα ἄνηβον τὸν ἐστερημένον φωνῆς, καὶ ἤδη συμπληροῦντα τὴν τριετίαν· εἰς πρόξιμον ἴμφαντα τὸν πλησιάζοντα τῇ φωνῇ, καὶ συμπληροῦντα τὸν ζ'. ἐνιαυτόν· καὶ εἰς πρόξιμον πουβέρτατον τὸν πλησιάζοντα τῇ ἡλικίᾳ, καὶ δεκτικὸν ὄντα

(1) Χρ. Τρ.— ἡ θέλησις Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — Λιβανείῳ Ἑ. Ἰ. Β.

δόλου, ὅστις ἀπὸ τοῦ ζ'. ἐνιαυτοῦ καὶ μέχρι τοῦ ιδ'. καὶ αὐτοῦ προβαίνει (1)· καὶ οἱ μὲν μὴ δεκτικοὶ δόλου ἄνηβοι ἀπὸ ἁμαρτήματος οὐκ εὐθύνονται, οἱ δὲ παρὰ τούτους, ἤγουν οἱ πληρώσαντες τὸν ζ'. ἐνιαυτὸν, καὶ ἀναβαπτιζόμενοι εὐθύνονται, καὶ ἄλλως ἁμαρτήσαντες τιμωροῦνται, κατὰ τὸ ιδ'. κεφ. τοῦ ις'. τίτ. τοῦ λέ. βιβλίου, ὅπερ καὶ ἐνταῦθα κατεστρώθη· καθ' ὃ δὴ κεφ. ἑρμηνεῦσαι ὀφείλεις καὶ τὸ κδ'. κεφ. τοῦ μά. τίτ. τοῦ ξ'. βιβλίου· καὶ εἰπὲ ἐκεῖνον τὸν ἄνηβον μὴ ὑποπίπτειν τῷ ἐγκλήματι τοῦ πλαστοῦ, τὸν ἥττονα τοῦ ζ'. ἐνιαυτοῦ. Ἀλλὰ καὶ τὸ μ'. κεφ. τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλίου οὕτως ἑρμήνευσον. Τὸ γὰρ μετὰ τὴν ἥβην ὑποκεῖσθαι τὸν νέον τῷ περὶ μοιχείας ἐγκλήματι τοιοῦτόν ἐστιν ἤγουν τὸ ἐνέχεσθαι αὐτὸν πλημελοῦντα (2) οὐ μόνον ἐν ἀνηβότητι, ἀλλὰ καὶ μετὰ ταῦτα. Τὸ δὲ περὶ τῶν διατροφῶν ἐστι παρὰ κανόνας (3) διὰ τὸ ἀναγκαιότατον τῶν διατροφῶν, καθὼς καὶ αὐτὸ τὸ ιδ'. κεφ. τοῦ ιδ'. τίτ. τοῦ μδ'. βιβλίου φησὶν, ὅπερ κατεστρώθη ἐνταῦθα. Πλὴν γίνωσκε ὅτι οἱ τοιοῦτοι ἄνηβοι οὐ κολάζονται ὡς οἱ τέλειοι, ἀλλὰ μετρίως τιμωροῦνται· καὶ ζήτει βιβλίον λέ. τίτ. ις'. κεφ. ά. θέμα τελευταῖον, καὶ βιβλίον ξ'. τίτ. ν'. κεφ. ιέ. θέμα β'. καὶ βιβλίον β'. τίτ. γ'. κεφ. ρή.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Τίνες ἐξ αἱρετικῶν εἰς τὴν ὀρθοδοξίαν μετιόντες βαπτίζονται, καὶ τίνες μόνον χρίονται. Συνόδου Νικαίας κανὼν ιθ'. Συνόδου Λαοδικείας κανὼν ζ'. ἡ. Συνόδου Κωνσταντινουπόλεως κανὼν ζ'. Συνόδου ς'. κανὼν ιέ. Συνόδου Νικαίας τὸ β'. κανὼν ἡ. Βασιλείου κανὼν μζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Πῶς ὁ δαιμονιζόμενος, ἢ ἐν νόσῳ παραφρονῶν, βαπτίζεται. Τιμοθέου κανὼν β'. δ'.

(1) προβαίνων ἄψεται τοῦ ιε'. Χ. Τρ. — (2) πλημμελοῦντα ἐν τῇ ἥβῃ οὐ μόνον ἐν ἀνηβότητι ἀλλὰ κλ. Χ. Τρ. — (3) παρὰ νόμους διορθ. ὁ Β. ἐν περισελιδίῳ.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκας ἐν ταῖς ἡμέραις τῆς καθάρσεως αὐτῶν βαπτισθῆναι. Τιμοθέου κανὼν ς'.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ἐὰν ὁ κατηχούμενος πρὸ τοῦ βαπτίσματος κοινωνήσῃ. Τιμοθέου κανὼν ά.

ΤΙΤΛΟΣ Ε'.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑΦΡΟΝΟΥΝΤΩΝ

ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ, ΚΑΙ ΣΥΝΑΞΕΩΝ, ΚΑΙ ΜΝΗΜΩΝ, ΚΑΙ ΤΩΝ ΕΣΘΙΟΝΤΩΝ ΕΝ ΕΚΚΛΗΣΙΑΙΣ· ΚΑΙ ΠΕΡΙ ΑΓΑΠΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περι τῶν διδασκόντων τὸν οἶκον τοῦ θεοῦ, καὶ τὰς συνάξεις, καὶ τὰς μνήμας εὐκαταφρονήτους. Συνόδου Γαγγρῶν κανὼν έ. ιθ'. Συνόδου στ'. κανὼν ος'. πή. ϟζ'.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ μὴ ποιεῖν ἐν ἐκκλησίᾳ ἀγάπας, καὶ ἐν αὐτῇ ἐσθίειν. Συνόδου Λαοδικείας κανὼν κή. Συνόδου Καρθαγένης κανὼν μβ'. Συνόδου ς'. κανὼν οδ'. ος'. ϟζ'.

Κείμενον.

Καὶ ἡ γ'. διάτ. τοῦ ιβ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος κωλύει τοὺς προσφεύγοντας ἐσθίειν ἢ καθεύδειν ἐντὸς ναοῦ, ἀλλὰ διάγειν ἀσφαλῶς ἐντὸς τῶν προθύρων ἐν αὐλαῖς, καὶ στοαῖς, καὶ λουτροῖς, καὶ κήποις.

Σχόλιον.

Ἡ γ'. διάτ. τοῦ ιβ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι βιβλίον έ. τῶν βασιλικῶν τίτ. ά. κεφ. ιά. οὕτως ἔχον· Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων, τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες, ἐνδοτέροις λουτροῖς, ἢ κήποις, ἢ οἰκήμασιν, ἢ αὐλαῖς, ἢ στοαῖς χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ἢ ἐσθίειν, ἢ ὑπνοῦν· ὅπλοις δὲ ἑαυτοὺς μὴ ἀσφαλιζέτωσαν, ἀλλ' ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ

πειθόμενοι πρῶτον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι κατὰ κέλευσιν τοῦ ἐπισκόπου καὶ τῶν δικαστῶν.

ΚΕΦΑΛΑΙΟΝ. Γ'.

Περὶ τῶν εὐτελιζόντων τὰς γινομένας ἀγάπας, καὶ ὅτι οὐ δεῖ μέρη λαμβάνειν εἰς ἀγάπην. Συνόδου Γαγγρῶν κανὼν ιά. Συνόδου Λαοδικείας κανὼν κζ'.

ΤΙΤΛΟΣ ΣΤ'.

ΠΕΡΙ ΚΑΡΠΟΦΟΡΙΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περι καρποφοριῶν. Ἀποστόλων κανὼν γ'. δ'. οά. Συνόδου ς'. κανὼν κή. νζ'. οθ'. ϟθ'. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον κανὼν β'.

Κείμενον.

Ἡ λή. διάταξις τοῦ γ'. τίτλου τοῦ ά. βιβλίου, φησὶν ὅτι οὐ δεῖ τοὺς ἐπισκόπους, ἢ τοὺς κληρικοὺς ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρίας διδόναι, ἢ διὰ ταῦτα ἀφορίζειν, ἢ ἀναθεματίζειν, ἢ μὴ διδόναι κοινωνίαν, ἢ μὴ βαπτίζειν, κἂν ἔθος ἐκράτησε τοιοῦτο· ὁ δὲ παραβαίνων ἐκπίπτει τῆς ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι δέκα λίτρας. Ταῦτα δὲ κρατεῖ ἐν μόνῃ τῇ βασιλευούσῃ καὶ τῇ ἐνορίᾳ αὐτῆς, καὶ τοῖς ἀνήκουσι τόποις τοῖς ὑπὸ τοῦ πατριάρχου χειροτονουμένοις μητροπολίταις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ά. κεφ. τοῦ β'. τίτ. τοῦ αὐτοῦ συντάγματος περὶ προσφορῶν, καὶ τῶν δωρουμένων, ἢ καταλιμπανομένων εὐαγέσιν οἴκοις.

Σχόλιον.

Ἡ λή. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, *καὶ ἠπράκτησε* (1).

(1) Χ. Τρ. — τὸ, καὶ ἠπράκτησε οὐχ εὕρηται ἐν Ἑ. Ἰ. καὶ Β.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τίνας δεῖ λαμβάνειν, ἢ διδόναι καρποφορίαν, καὶ περὶ τῶν λαμβανόντων ἀπὸ ἐκκλησίας κηρὸν, ἢ ἔλαιον. Ἀποστόλων κανὼν οβ'. Συνόδου Γαγγρῶν κανὼν ζ'. ἡ. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν ζ'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν προσφερόντων συναγωγαῖς, ἢ ἱεροῖς ἐθνῶν. Ἀποστόλων κανὼν οά. οβ'.

Κείμενον.

Ἡ ά. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν ὅτι τὸ τῇ δμάδι *τῶν* (1) Ἰουδαίων ληγατευόμενον, οὐκ ἀπαιτεῖται· καὶ ἡ θ'. διάτ. τοῦ ιά. τίτ. τοῦ αὐτοῦ βιβλίου, ὅτι ἐάν τι δωρηθῇ ἢ καταλειφθῇ ἐπὶ συστάσει ἑλληνισμοῦ, ἡ πόλις αὐτὸ λαμβάνει.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἀπαιτεῖται· καὶ ἡ θ'. διάτ. τοῦ ιά. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος ἐστι βιβλίον τῶν βασιλικῶν ά. τίτ. ά. κεφ. ιδ'. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον συνωψίσθη.

(1) Χ. Τρ.

ΤΙΤΛΟΣ Ζ'.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ, καὶ τῆς ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ,

ΚΑΙ ΤΟΥ ΠΑΣΧΑ, ΚΑΙ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ, ΚΑΙ ΤΗΣ ΚΥΡΙΑΚΗΣ, ΚΑΙ ΣΑΒΒΑΤΟΥ, ΚΑΙ ΓΟΝΥΚΛΙΣΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΕΡΙ νηστείας, καὶ τῶν κεκωλυμένων, ἢ ἐπιτετραμμένων γίνεσθαι ἐν τῇ τεσσαρακοστῇ τῶν νηστειῶν. Ἀποστόλων κανὼν ξστ'. ξθ'. Συνόδου Γαγγρῶν κανὼν ιή. ιθ'. Συνόδου Λαοδικείας κανὼν μθ'. ν'. νβ'. Συνόδου στ'. κανὼν κθ'. νβ'. νέ. νστ'. πθ'. Πέτρου κανὼν ιέ.

Κείμενον.

Ἡ έ. διάταξις τοῦ ιβ'. τίτλου τοῦ γ'. βιβλίου τοῦ κώδικός φησιν, ὅτι ἐν ταῖς προλαβούσαις τοῦ πάσχα μ'. ἡμέραις, πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει· καὶ ἡ στ'. διάταξις, ὅτι ἄπρακτοί εἰσιν αἱ πρὸ τοῦ πάσχα ζ'. ἡμέραι, καὶ ζ'. μετὰ τὸ πάσχα, καὶ ἡ χριστουγέννα, καὶ τὰ θεοφάνεια, καὶ ἡ τοῦ πάθους τῶν Ἀποστόλων, καὶ ἡ κυριακὴ, καὶ ἐν ταῖς τοιαύταις ἡμέραις, οὔτε θέα τελεῖται, οὔτε δίκη λέγεται. Ἐν δὲ ταῖς ιέ. ἡμέραις τοῦ πάσχα, οὔτε χρέος ἰδιωτικὸν, ἢ δημόσιον ἀπαιτεῖται. Ἡ δὲ ζ'. διάτ. ἐπιτρέπει ἐν ταῖς αὐταῖς ιέ. ἡμέραις ἐλευθερίας καὶ ἐμαγκιπατίωνας πράττεσθαι, καὶ τὰ ἐπ' αὐταῖς ὑπομνήματα συνίστασθαι. Ἡ δὲ ἡ. διάτ. φησὶν ὅτι καὶ ἐν τῇ μ'. καὶ ἐν τῇ ἡμέρᾳ τοῦ πάσχα βασανίζονται οἱ λῃσταὶ, ἐφ' ᾧ καὶ τοὺς συνίστορας ἐξειπεῖν, καὶ διαφερόντως οἱ Ἴσαυροι. Ἡ δὲ γ', διάτ. τοῦ δ'. τίτ.

τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν, ὅτι ἐν ταῖς ἡμέραις τῆς πασχαλίας, οὐδεὶς ἐγκλείεται, ἢ δεσμεῖται, πλὴν μοιτχοῦ, καὶ αἰσχρουργοῦ, καὶ ἅρπαγος παρθένων, καὶ τυμβωρύχου, καὶ γόητος, καὶ παραχαράκτου, καὶ φονέως, καὶ πατροκτόνου, καὶ τυράννου· πάντες γὰρ οὗτοι πάντοτε ἀπολαμβάνουσιν (1), ἅπαξ δὲ μόνον οἱ λοιποὶ συγγινώσκονται.

Σχόλιον.

Ἡ έ. διάτ. τοῦ ιϐ'. τίτ. τοῦ γ'. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κϐ'. τοῦ ιζ'. τίτ. τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν. Ἡ ς'. διάταξις τοῦ αὐτοῦ τίτ. ἐστὶ κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου κγ'. Ἡ ζ'. διάταξίς ἐστι κεφ. κδ'. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου. Ἡ ή. διάτ. ἐστὶ κεφ. κέ. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου τὰ τῷ κειμένῳ περιεχόμενα λέγον. Καὶ ἡ γ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κς'. τοῦ ιζ'. τίτ. τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον σχεδὸν, ὡς παρὰ τοῦ πατριάρχου συνωψίσθη. Εἰ θέλεις δὲ μαθεῖν ἀκριϐῶς κατὰ ποίαν ἡμέραν ἀπρακτοῦσι τὰ δικαστήρια, ἀνάγνωθι τὴν κατὰ τὸν Μάρτιον μῆνα τῆς ιδ'. (2) ἰνδικτιῶνος (3) τοῦ ς'χοδ'. ἔτους ἀπολυθεῖσαν προσκυνητὴν νεαρὰν τοῦ θεοστεφοῦς, κρατίστου, καὶ ἁγίου ἡμῶν αὐτοκράτορος κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ, καὶ ταῦτα μετὰ τὸ προοίμιον διαλαμϐάνουσαν· Θεσπίζομεν οὖν ἐκείνας εἶναι τῶν ἡμερῶν ἀπράκτους ἃς ἐν τῇ παρούσῃ διαταγῇ ῥητῶς ἀπαριθμησόμεθα, καί τινας μὲν αὐτῶν τὸ πάντῃ ἄπρακτον ἔχειν, ὡς μηδαμῶς δι' ὅλου τοῦ αὐτῶν διαστήματος συνίστασθαι δικαστήριον, εἰ μὴ βασιλεὺς ἴσως οἰκονομίας τρόπῳ, ἢ ἀνάγκης, ὁποῖα πολλάκις τὸ περιπετὲς τῶν πραγμάτων νεανιεύεται, θελήσῃ καθῖσαι καὶ ἐν αὐταῖς δικαστήρια· τινὰς δὲ ἀπὸ μέρους ἄγειν τῶν δικαστηρίων σχολὴν, ὡς οἷον ἔωθεν μέχρι καὶ εἰς αὐτὸν τὸν τῆς θείας λειτουργίας καιρὸν, ἵνα τοῖς δικασταῖς ἐξείῃ προσανέχειν εὐχῇ, καὶ τῇ περὶ τὸ θεῖον δοξολογίᾳ, καὶ μετὰ τὴν θείαν ἱεροτελεστίαν ἐπιμελεῖσθαι καὶ

(1) ἴσ. ἀπολαμϐάνονται. Διόρθ. Β. ἐν περισελίδῳ. — (2) ἰ. Χ. Τρ. — (3) ἐπιγεμήσεως Β. ἐν περισελιδίῳ.

τῆς δικαιοσύνης, καὶ τοῖς ἄδικα πεπονθόσιν ἐπαρήγειν κατὰ τὴν τῶν νόμων ἰσχύν. Οἱ μέν τοι οὕτω μετὰ τὴν θείαν λειτουργίαν ἐπιτετραμμένοι δικάζειν ἐν τοῖς γινομένοις παρ' αὐτῶν σημειώμασι μεμνήσονται τοῦ καιροῦ καθ' ὃν τὰ σημειώματα πράττονται. Καὶ δὴ πρῶτον περὶ τῶν τελείως ἀπράκτων διαληπτέον. Ἡ τοίνυν κατὰ τὴν ἡ. τοῦ Σεπτεμβρίου μηνὸς, γενεθλίου ἡμέραν τῆς παναχράντου δεσποίνης, καὶ θεομήτορος, ἄπρακτός ἐστιν· ὡσαύτως καὶ ἡ ιδ'. τῇ ὑψώσει τετιμημένη τοῦ ζωηφόρου σταυροῦ· καὶ ἡ κς'. διὰ τὴν τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάνου τοῦ Θεολόγου μετάστασιν. Ἡ στ'. τοῦ Ὀκτωβρίου διὰ τὸ τὴν μνήμην ἐν αὐτῇ τελεῖσθαι τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ. Ἡ θ'. διὰ τὸν τοῦ Ἁλφαίου Ἰάκωβον τὸν Ἀπόστολον· καὶ ἡ ιή. διὰ τὸν Ἀπόστολον καὶ Εὐαγγελιστὴν Λουκᾶν. Ἡ ιγ'. τοῦ Νοεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ ἡ μνήμη τοῦ Χρυσοστόμου (1) πατρὸς τελεῖται· ἡ ιδ'. ὅτι ἐν αὐτῇ ὁ Ἀπόστολος Φίλιππος ἑορτάζεται· ἡ ιστ'. ὅτι ὁ Εὐαγγελιστὴς καὶ Ἀπόστολος τιμᾶται Ματθαῖος· ἡ κά. ὅτι τὰ εἰς τὸν ναὸν εἰσόδια τῆς θεομήτορος ἐν ταύτῃ πανηγυρίζεται· καὶ ἡ λ'. ὅτι ὁ Ἀπόστολος Ἀνδρέας ἐν αὐτῇ ἑορτάζεται. Ἡ θ'. τοῦ Δεκεμβρίου ὡς τῆς συλλήψεως ἐν αὐτῇ τελουμένης τῆς ὑπεραγίας μητρὸς τοῦ Θεοῦ ἡμῶν· ἡ κ'. μέχρι καὶ αὐτῆς τῆς στ'. τοῦ Ἰανουαρίου, ὡς ἐν αὐταῖς ἑορταζομένων τῶν γενεθλίων, καὶ τοῦ βαπτίσματος τοῦ κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἡ ιή. τοῦ αὐτοῦ Ἰανουαρίου διὰ τοὺς θείους πατέρας καὶ διδασκάλους (2) Ἀθανάσιον καὶ Κύριλλον· ἡ κέ. τοῦ αὐτοῦ μηνὸς διὰ τὴν μνήμην τοῦ μεγάλου πατρὸς Γρηγορίου τοῦ Θεολόγου. Ἡ β'. τοῦ Φεβρουαρίου διὰ τὴν τοῦ Σωτῆρος ὑπαπαντήν· καὶ ἡ γ'. διὰ τὴν τῆς μνήμης τοῦ θεοδόχου Συμεὼν τελετήν. Ἡ κέ. Μαρτίου, διὰ τὸν τῆς Θεομήτορος εὐαγγελισμόν. Αἱ πασχαλίαι τῶν ἡμερῶν ἀπ' αὐτῆς τῆς τοῦ Λαζάρου ἐγέρσεως μέχρι καὶ εἰς αὐτὴν τὴν μετὰ τὸ ἅγιον πάσχα ὀγδόην. Ἡ κέ. τοῦ Ἀπριλίου διὰ τὸν Ἀπόστολον καὶ Εὐαγγελιστὴν Μάρκον, καὶ ἡ λ'. διὰ τὸν Ἀπόστολον Ἰάκωβον τὸν τοῦ Θεολόγου καὶ Εὐαγγελιστοῦ ἀδελφόν. Ἡ ὀγδόη τοῦ Μαΐου

(1) Χ. Τρ. — τοῦ Χριστοῦ πατρός. Ἐ. Ἰ. Β. ὁ δὲ Β. διορθοῖ ἐν περισελιδίῳ ἀντὶ Χριστοῦ, Θεοῦ.—(2) πατέρας καὶ διδασκάλους πατέρας. Ἐ. Ἰ. Β.

διὰ τὴν μνήμην τοῦ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου· ἡ ί. διὰ τὴν τοῦ Ἀποστόλου Σίμωνος τοῦ ζηλωτοῦ· ἡ κά. διὰ τὴν μνήμην τῶν ἁγίων καὶ ἰσαποστόλων καὶ μεγάλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης· καὶ ἡ κστ'. διὰ τὴν τοῦ Ἀποστόλου Ἀλφαίου τοῦ Ἰούδα. Ἡ ιά. τοῦ Ἰουνίου διὰ τὸν Ἀπόστολον Βαρθολομαῖον· ἡ ιθ'. διὰ τὸν Ἀπόστολον Ἰούδαν τὸν καὶ Θαδδαῖον, καὶ Λεββαῖον, καὶ Ἰάκωβον· ἡ κδ'. διὰ τὸ τοῦ προδρόμου γενέθλιον· ἡ κθ'. διὰ τὴν ἐπὶ τοῖς κορυφαίοις τῶν Ἀποστόλων Πέτρου καὶ Παύλου πανήγυριν. καὶ ἡ λ'. διὰ τὴν ἐπὶ τοῖς ιβ'. Ἡ κέ. τοῦ Ἰουλίου διὰ τὴν τῆς ἁγίας Ἄννης τῆς μητρὸς τῆς Θεομήτορος κοίμησιν. Ἡ στ'. τοὺ Αὐγούστου διὰ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταμόρφωσιν· ἡ θ'. διὰ τὴν μνήμην τοῦ ἁγίου Ἀποστόλου Ματθίου· ἡ ιέ. διὰ τὴν ὑπερένδοξον τῆς ἁγίας Θεοτόκου μετάστασιν· ἡ κ'. διὰ τὴν μνήμην τοῦ ἁγίου Ἀποστόλου Θαδδαίου· ἡ κδ'. διὰ τὴν τοῦ Ἀποστόλου Βαρθολομαίου· καὶ ἡ κθ'. διὰ τὴν τοῦ τιμίου Προδρόμου ἀποτομήν. Ταύταις ὡς τέλεον ἀπράκτοις (1) συνεξετασθήσονται καὶ αἱ μεσότητες τῆς τεσσαρακονθημέρου νηστείας καὶ τῆς πεντηκοστῆς, καὶ ἡ τοῦ Σωτῆρος ἀνάληψις, καὶ αἱ πᾶσαι τῶν ἐν τῷ ἐνιαυτῷ ἡμερῶν κυριώνυμοι, ὡς ἐν αὐταῖς ἀποκεκλεῖσθαι πᾶσαν πάροδον εἰς τὸ δικαστήριον, καὶ μηδέν τι μηδένα τῶν δικάζειν λαχόντων δικαστικὸν διαπράττεσθαι. Αἵ γε μὴν τῶν δικαστηρίων ἀπὸ μέρους σχολάζουσαι, καὶ μὴ καθ' ὁλόκληρον ὡς προειλήφαμεν ἀπρακτήσουσαι, εἶεν ἂν αὐταί· ἡ στ'. τοῦ Σεπτεμβρίου μηνὸς, ὅτι ἐν αὐτῇ τὸ ἐν Χώναις (2) τοῦ ἀρχιστρατήγου Μιχαὴλ θαῦμα τετερατούργηται. Ἡ κγ'. τοῦ Ὀκτωβρίου, ὅτι τὴν μνήμην τοῦ ἀδελφοθέου Ἰακώβου τελοῦμεν· ἡ κστ'. ὅτι τὸν μεγαλομάρτυρα καὶ μυροβλήτον Δημήτριον ἑορτάζομεν. Ἡ πρώτη τοῦ Νοεμβρίου διὰ τὸ τοὺς θαυματουργοὺς καὶ ἀναργύρους Κοσμᾶν, καὶ Δαμιανὸν ἑορτάζεσθαι· ἡ ὀγδόη διὰ τὸ τὴν σύναξιν τῶν Ἀσωμάτων τελεῖσθαι· καὶ ἡ κή. διὰ τὸ τὸν ὁσιομάρτυρα Στέφανον τὸν νέον πανηγυρίζεσθαι. Ἡ τετάρτη τοῦ Δεκεμβρίου διὰ τὴν καλλιμάρτυρα Βαρβάραν· καὶ ἡ ἕκτη διὰ

(1) Χ. Τρ. — ἀπράκταις Ἑ. Ἰ. καὶ Β. — (2) Χ. Τρ. — Χώνοις Ϝ. Ἰ. Β.

τὸν ἐν θαύμασι περιώνυμον καὶ μυροβλύτην Νικόλαον. Ἡ δεκάτη τοῦ Ἰανουαρίου διὰ τὸν Νύσσης θεῖον Γρηγόριον· ἡ ἑνδεκάτη διὰ τὴν προσκύνησιν τῆς τιμίας τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου ἀλύσεως· ἡ ἐννεακαιδεκάτη διὰ τὴν ἀνακομιδὴν τοῦ τιμίου νεκροῦ τοῦ θεολόγου Γρηγορίου (1)· καὶ ἡ κζ'. διὰ τὴν ἀνακομιδὴν τοῦ σεβασμίου λειψάνου τοῦ Χρυσοστόμου (2). Ἡ ἑβδόμη τοῦ Φεβρουαρίου διὰ τὸν μεγαλομάρτυρα στρατηλάτην Θεόδωρον· καὶ ἡ ἑπτακαιδεκάτη διὰ τὸν ἀθληφόρον Θεόδωρον τὸν Τήρωνα. Ἡ ἐννάτη τοῦ Μαρτίου ὡς τῆς μνήμης τελουμένης τῶν ἁγίων μαρτύρων τοῦ Χριστοῦ μ'. Ἡ κγ'. τοῦ Ἀπριλίου ὡς τοῦ μεγαλομάρτυρος Γεωργίου τιμωμένου. Ἡ δευτέρα τοῦ Μαΐου διὰ τὸν μέγαν Ἀθανάσιον. Ἡ ὀγδόη τοῦ Ἰουνίου διὰ τὸν μεγαλομάρτυρα στρατηλάτην Θεόδωρον. ἡ ἐννάτη διὰ τὸν ὅσιον πατέρα ἡμῶν Κύριλλον Ἀλεξανδρείας· καὶ ἡ κζ'. διὰ τὸν ὅσιον καὶ θαυματουργὸν Σαμψών. Ἡ πρώτη τοῦ Ἰουλίου, ὅτι ἐν αὐτῇ τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων τὴν μνήμην τελοῦμεν· ἡ δευτέρα, ὅτι τῆς καταθέσεως τῆς τιμίας ἐσθῆτος τῆς Θεομήτορος μνημονεύομεν· ἡ ὀγδόη, ὅτι τὸν μεγαλομάρτυρα Προκόπιον ἑορτάζομεν· ἡ ιά. ὅτι τὴν καλλιμάρτυρα Εὐφημίαν πανηγυρίζομεν· ἡ κ'. ὅτι προφήτην Ἠλίαν τιμῶμεν· ἡ κζ'. ὅτι τὸν ἀθλοφόρον καὶ θαυματουργὸν Παντελεήμονα ἑορτάζομεν· καὶ ἡ τοῦ Αὐγούστου λά. διὰ τὴν τῆς τιμίας ζώνης τῆς ἀχράντου Θεοτόκου κατάθεσιν· αὗται δὴ αἱ πῶς μὲν ἄπρακτοι, πῶς δὲ ἔμπρακτοι. Τὰς μέν τοι διὰ βασιλικὴν ἢ γέννησιν, ἢ ἀναγόρευσιν σχολαζούσας τῶν ἡμερῶν, καὶ ταύτας ταῖς ἐμπράκτοις ἐγκρίνει ἡ βασιλεία μου, ἀφ' ἑαυτῆς ἀρχομένη τοῦ παρόντος θεσμοθετήματος, καὶ ἐν οἷς αὐτὴ διαπράξαιτο διδάσκουσα τοὺς λοιποὺς. Οὐχ οὕτω γὰρ ὁ τῆς παρούσης διατάξεως λόγος πείσει τοὺς αὐτῷ προσανέχοντας, ὡς ἡ παρὰ τῆς βασιλείας μου πρᾶξις. Αὐτὰς γὰρ τὰς ἡμέρας ἐν αἷς ἡ βασιλεία μου καὶ εἰς τὸν τῇδε βίον προσῆκται, καὶ εἰς βασιλέα προνοίᾳ θεοῦ ἀνηγόρευται, ἐμπράκτους εἶναι θεσπίζει, καὶ μηδεμίαν ἐκεχειρίαν ἐν ταύταις ἄγειν τὰ δικαστήρια. Πᾶσαι μέν τοι αἱ παρὰ τὰς ἄνω καταγραφεῖσας

(1) Χ. Τρ. — οὐχ εὕρηται ἡ λέξις ἐν Ἑ. Ἰ. καὶ Β. — (2) τοῦ Χρυσορρήμονος Χ. Τρ.

ἡμέρας τοῦ χρόνου, καὶ ἔμπρακτοι ἔσονται, καὶ δικαστήρια ἐν αὐταῖς γενήσονται, καὶ ἐκβιβασμοὶ ἀκολούθως ταῖς δικαστικαῖς ἀποφάσεσι. Πέπεισμαι δὲ ὅτι καὶ Θεῷ φίλον ἔσται τὸ παρὸν τῆς βασιλείας μου θεσμοθέτημα, ταλανίζων γὰρ τοὺς Φαρισαίους ὁ Κύριος, καὶ αὐτοῦ τοῦ ἐλέου τὴν κρίσιν προέταξε.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ μήτε τὴν λεχὼ, μήτε τὸν ἐκ νόσου μὴ δυνάμενον, ἀναγκάζεσθαι τὸ πάσχα νηστεύειν. Τιμοθέου κανὼν ἡ. ί.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς ἡμέρας, καὶ τῆς ὥρας τῆς πασχαλίου, καὶ τῶν Θεοφανείων. Ἀποστόλων κανὼν ζ'. Συνόδου Ἀντιοχείας κανὼν ά. Συνόδου Καρθαγένης κανὼν ογ'. Συνόδου στ'. κανὼν ξστ'. πθ'. Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς, κανὼν ά. Θεοφίλου ἐκ τῆς περὶ τῶν Θεοφανείων προσφωνήσεως.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ μὴ χρῆναι ἐν κυριακῇ θεώρια γίνεσθαι, ἢ γόνυ κλίνειν ἐν κυριακῇ, ἢ ἐν ταῖς ἡμέραις τῆς Πεντηκοστῆς, καὶ ὅτι κατὰ τὸ ἐγχωροῦν δεῖ σχολάζειν τὴν κυριακὴν, οὐ μὴν τὸ σάββατον, καὶ ὅτι δεῖ γραφὰς ἀναγινώσκειν τὸ σάββατον. Συνόδου Νικαίας κανὼν κ'. Συνόδου Λαοδικείας κανὼν κθ'. Συνόδου Καρθαγένης κανὼν ξά. Συνόδου ς'. κανὼν ιθ'. ξς'. Πέτρου κανὼν ιέ. Θεοφίλου ἐκ τῆς περὶ τῶν Θεοφανείων προσφωνήσεως.

Κείμενον.

Ἡ ς'. διάταξις τοῦ ιϐ'. τίτλου τοῦ γ'. βιβλίου τοῦ κώδικος λέγει τὴν κυριακὴν ἄπρακτον εἶναι. Ἡ δὲ θ'. διάταξις τοῦ αὐτοῦ τίτ. ὅτι ἐν αὐτῇ οὐχ ὑπομιμνήσκεταί τις, ἢ ἐγγύας ἀπαιτεῖται, ἢ δημόσιον, ἢ ἰδιωτικὸν χρέος, οὔτε δικάζεται, οὔτε σκηνικὴ θέα, *ἢ κυνήγια*, (1) ἢ ἱπποδρόμιον τελεῖται· ἀλλ' εἰ καὶ φθάσῃ βασιλέως νατάλιον ἐν κυριακῇ, ὑπερτίθεται τὸ θεώριον. Ὁ δὲ θεωρῶν ἐν κυριακῇ ἀποστρατεύεται, καὶ δημεύεται, καὶ ὁ ἐκβιβαστὴς (2) παραβὰς τὸν νόμον. Ἔξεστι δὲ πακτεύειν καὶ διαλύεσθαι ἐν κυριακῇ. Εἴρηται δὲ βιβλίῳ ά. τίτ. θ'. διατάξει 6'. καὶ ιγ'. ὅτι οἱ Ἰουδαῖοι ἐν τῷ σαββάτῳ, καὶ ταῖς ἄλλαις αὐτῶν ἑορταῖς, οὔτε σωματικῶς λειτουργοῦσιν, οὔτε τι ποιοῦσιν, οὔτε διὰ δημοσίαν ἢ ἰδιωτικὴν αἰτίαν ἐνάγονται, ἢ χριστιανοῖς ἐνάγουσιν.

Σχόλιον.

Ἡ στ'. διάτ. τοῦ ιϐ'. τίτ. τοῦ γ'. βιβλίου τοῦ κώδικος, καὶ ἡ θ'. διάτ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. εἰσὶ κεφ. τελευταῖον τοῦ ιζ'. τίτ. τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον σχεδὸν ὡς ἐντὸς διελήφθη· πλὴν τὸ μὲν πλάτος κυριακῆς μόνης ἐμέμνητο, ὁ δὲ βασιλικὸς πᾶσαν ἡμέραν ἀφωρισμένην (3) εἰς τὴν τοῦ θεοῦ τιμὴν παρομοίως τιμᾶσθαι διορίζεται. Προστίθησι δὲ σιωπᾷν καὶ τοὺς ταξεώτας, καὶ τοὺς δικολόγους, καὶ τοὺς κήρυκας, γίνεσθαι δὲ πάντα τὰ συναλλαγματικὰ σύμφωνα ἀκωλύτως οὐ μόνον δι' ἀγοραίων ἐγγράφων, ἀλλὰ καὶ διὰ σημειωμάτων δικαστῶν. Νατάλια δέ εἰσι τὰ τῶν βασιλέων γενέθλια, καὶ ἡ τούτων ἀναγόρευσις. Ἡ 6'. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ ιγ'. διάτ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. ἐστὶ βιβλίον τῶν βασιλικῶν ά. τίτ. ά. κεφ. λή. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη.

---

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. καὶ Β. — (2) Χ. Τρ. — ἐμβιβαστὴς Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — ἀφορισμένως Ἑ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τίς ἡ αἰτία γονυκλισίας, καὶ τοῦ μὴ τοῦτο γίνεσθαι ἐν κυριακῇ, καὶ ταῖς ἡμέραις τῆς πεντηκοστῆς, καὶ διὰ τί πρὸς ἀνατολὰς εὐχόμεθα. Βασιλείου ἐκ τοῦ κζ'. κεφ. τῶν πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος.

ΤΙΤΛΟΣ Η'.

ΠΕΡΙ ΠΑΡΟΙΚΙΩΝ, ΚΑΙ ΠΩΣ ΔΙΑΓΟΥΣΙΝ

ΕΠΙΣΚΟΠΟΙ, ΚΑΙ ΚΛΗΡΙΚΟΙ, ΚΑΙ ΠΕΡΙ ΑΠΟΔΗΜΙΑΣ ΑΥΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΚΑΤ' ΕΤΟΣ ΣΥΝΟΔΩΝ,

Καὶ ξενοδοχίας, καὶ διδασκαλίας, καὶ συστατικῶν, καὶ εἰρηνικῶν ἐπιστολῶν· καὶ ποῖα πράττουσιν ἰδιωτικὰ, ἢ δημόσια πράγματα, καὶ πῶς οἱ κληρικοὶ ἀλλήλους τιμῶσι.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΕΡΙ παροικιῶν, καὶ τῶν ἀπὸ βασιλικῶν τύπων γενομένων καινισμῶν. Συνόδου Χαλκηδόνος κανων ιζ'. Συνόδου Καρθαγένης κανὼν νγ'. νς'. οά. Συνόδου ς'. κανὼν κέ. λς'. λζ'. λή. λθ'.

Κείμενον.

Ἡ ς'. διάταξις τοῦ β'. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τῆς αὐτοῦ συνόδου, ἥτις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥωμης. Ἡ δὲ ιστ'. διάτ. ἀκυροῖ τὰ γινόμενα ἐν τῇ κατὰ Ζήνωνος τυραννίδι, παρὰ τὰ πρώην βασιλικὰ θεσπίσματα περὶ ἱερέων, ἢ καταστάσεως ἐκκλησιαστικῆς (1), καὶ τὰ πρώην ἀνανεοῦται, καί φησι τὸν Κωνσταντινουπόλεως ἀρχιεπίσκοπον ἔχειν τῶν ἄλλων προεδρίαν. Ἡ δὲ λέ. διάτ. τοῦ γ'. τίτλου τοῦ ά. βιβλίου λέγει· Ἑκάστη

(1) Χ. Τρ. — καταστάσεων ἐκκλησιαστικῶν. Ἐ. Ἰ. Β.

πόλις ἴδιον ἐχέτω ἐπίσκοπον. Κἂν δὲ διὰ θείας ἀντιγραφῆς τολμήσῃ τις ἀφελέσθαι πόλιν τοῦ ἰδίου ἐπισκόπου, ἢ τῆς περιοικίδος αὐτῆς, ἢ τινος ἄλλου δικαίου, γυμνοῦται τῶν ὄντων καὶ ἀτιμοῦται. Ἐξήρηται δὲ ἡ Τόμεων Σκυθίας πόλις, ὁ γὰρ ἐπίσκοπος αὐτῆς καὶ τῶν λοιπῶν προνοεῖ, καὶ ἡ Λεοντόπολις Ἰσαυρίας ὑπὸ τὸν ἐπίσκοπόν ἐστιν Ἰσαυροπόλεως. Ὅτι δὲ ἡ Κωνσταντινούπολις ἔχει τὰ προνόμοια τῆς ἀρχαίας Ῥώμης, εἴρηται βιβλίῳ ιά. τοῦ κώδικος, τίτλῳ κά. διατ. ά. καὶ μόνῃ. Ἡ δὲ ά. διάτ. τοῦ ιζ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος Ῥώμην αὐτὴν ὀνομάζεσθαι λέγει.

Σχόλιον.

Ἡ στ'. διάτ. τοῦ β'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. στ'. τοῦ ά. τίτ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς κατεστρώθη. Τὸ δὲ ἔχειν τὸν Κωνσταντινουπόλεως τὰ προνόμια τῆς παλαιᾶς Ῥώμης οὐ προσετέθη εἰς τὰ βασιλικά. Ἀνάγνωθι καὶ τὸν κή. κανόνα τῆς δ'. συνόδου, καὶ τὰ ἐν αὐτῷ γραφέντα. Ἡ ιστ'. διάτ. τοῦ β'. τίτ. τοῦ. ά βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ λέ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. γ'. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς εἰς τὸ κείμενον συνωψίσθη (1), ἄνευ τοῦ ἔχειν τὸν Κωνσταντινουπόλεως τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης. Ἡ ά. διάτ. τοῦ κά. τίτ. τοῦ ιά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. στ'. τοῦ ά. τίτ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Ἡ Κωνσταντινούπολις μὴ μόνον τῆς Ἰταλίας, ἀλλὰ καὶ αὐτῆς τῆς Ῥώμης προνομίοις κεχρήσθω. Ἡ δὲ ά. διάτ. τοῦ ιζ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κ'. τοῦ στ'. τίτ. τοῦ β'. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον· *Πᾶσα πόλις* (2) τῇ συνηθείᾳ τῆς Ῥώμης ἀκολουθεῖν ὀφείλει. Οἷα δέ εἰσι τὰ προνόμια τῆς ἐν τῇ παλαιᾷ Ῥώμῃ ἁγίας ἐκκλησίας παρίστησιν ἡμῖν τὸ παρὰ τοῦ ἰσαποστόλου ἁγίου μεγάλου Κων-

(1) ὡς ἐν τῷ πλάτει ἐδηλώθη Χ. Τρ. ἐλλείπει δὲ καὶ ἡ τελευταία φράσις, ἄνευ τοῦ ἔχειν κτλ. — (2) Χ. Τρ. — ἐλλείπουσιν αἱ δύω λέξεις ἐν Ἑ. Ἰ Β.

σταντίνου γεγονὸς ἔγγραφον θέσπισμα πρὸς τὸν ἅγιον Σίλβεστρον τὸν τότε πάπαν τῆς Ῥώμης, ὃ καὶ ἔχει οὕτως·

Δέον ἐκρίναμεν μετὰ πάντων τῶν σατραπῶν ἡμῶν, καὶ πάσης τῆς συγκλήτου, καὶ τῶν ἀρχόντων, καὶ μετὰ παντὸς τοῦ λαοῦ τοῦ ὑπὸ τὴν ἐξουσίαν τῆς Ῥωμαϊκῆς δόξης, ἵνα ὡς ὁ ἅγιος Πέτρος ἐκ προσώπου τοῦ υἱοῦ τοῦ Θεοῦ ἐστιν εἰς τὴν γῆν, οὕτω καὶ οἱ ἐπίσκοποι, οἱ διάδοχοι τοῦ κορυφαίου τῶν Ἀποστόλων, ἀρχικὴν ἐξουσίαν εἰς τὴν γῆν ἔχωσι, πλέον παρ' ὃ ἔχει ἡ βασιλεία τῆς δόξης ἡμῶν, καὶ τοῦτο παρεχωρήθη ἀφ' ἡμῶν καὶ ἀπὸ τῆς βασιλείας ἡμῶν. Καὶ θέλομεν ἡμεῖς αὐτὸν τὸν κορυφαῖον τῶν Ἀποστόλων, καὶ τοὺς διαδόχους αὐτοῦ ἐκ προσώπου αὐτοῦ, πρώτους πρὸς τὸν Θεὸν πατέρας εἶναι καὶ δεφένσωρας. Καὶ ὥσπερ ἡ βασιλικὴ ἐξουσία ἡμῶν εἰς τὴν γῆν σέβεται καὶ τιμᾶται, οὕτω θεσπίζομεν σέβεσθαι καὶ τιμᾶσθαι τὴν ἁγίαν τῶν Ῥωμαίων ἐκκλησίαν, καὶ πλέον παρὰ τὴν βασιλείαν ἡμῶν, καὶ τὸν γήϊνον θρόνον, τὴν ἁγίαν καθέδραν τοῦ ἁγίου Πέτρου δοξάζεσθαι καὶ ὑψοῦσθαι· διδόντες αὐτῇ δύναμιν καὶ δόξης ἀξίωμα, καὶ διακρίνοντες θεσπίζομεν ἵνα ἔχῃ ἐξουσίαν ἀρχικὴν, καὶ εἶναι ταύτην κεφαλὴν τῶν τεσσάρων θρόνων, ἤτοι τοῦ θρόνου τῆς Ἀλεξανδρείας, τῆς Ἀντιοχείας, τῶν Ἱεροσολύμων, καὶ τῆς Κωνσταντινουπόλεως, καὶ ἁπλῶς εἰς ὅλας τας ἐκκλησίας ἁπάσης τῆς οἰκουμένης. Καὶ ὁ ἐπίσκοπος ὁ μέλλων εἶναι εἰς τὴν ἁγίαν τῶν Ῥωμαίων ἐκκλησίαν ὀφείλει εἶναι ἔνδοξος καὶ ὑψηλότερος παρὰ πάντας τοὺς ἱερεῖς τοῦ κόσμου· καὶ εἴ τι ἐστὶ πρὸς θεραπείαν τοῦ Θεοῦ, καὶ πρὸς διόρθωσιν καὶ στερέωσιν τῆς πίστεως τῶν Χριστιανῶν, ἵνα κρίνηται παρ' αὐτοῦ· δίκαιον γάρ ἐστιν ἵνα ἐκεῖσε ὁ ἅγιος νόμος ἔχῃ τὴν κεφαλὴν καὶ ἀρχὴν, ὅπου ὁ ἅγιος νομοθέτης, ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, τὸν μακάριον Ἀπόστολον Πέτρον ἐκέλευσε κρατεῖν τὴν καθέδραν, καὶ ὅπου τὸ πάθος τοῦ σταυροῦ ἔπαθε, καὶ μακαρίου θανάτου ποτήριον ἔπιε, καὶ ἐγένετο ἀκόλουθος τοῦ μαΐστορος καὶ κυρίου αὐτοῦ· καὶ ἐκεῖ τὰ ἔθνη ἵνα κλίνωσι τὰς κεφαλὰς αὐτῶν, διὰ τὴν ἐξομολόγησιν τοῦ ὀνόματος τοῦ Χριστοῦ, ὅπου ὁ διδάσκαλος αὐτῶν ὁ μακάριος Ἀπόστολος Παῦλος, διὰ τὸν Χριστὸν ἐκτείνας τὸν τράχηλον, στέφανον τοῦ μαρτυρίου ἐδέξατο· καὶ ἕως τοῦ

τέλους τοῦ κόσμου, ἵνα ἀναζητῶσι τὸν διδάσκαλον ὅπου τὰ τῶν ἁγίων* αὐτοῦ*(1) λείψανα ἀναπαύονται· καὶ ἐκεῖ ὕπτιοι καὶ εἰς τὴν γῆν ἡπλωμένοι, τοῦ οὐρανίου βασιλέως καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δουλεύωμεν ὀφφίκια, ὅπου ἐδουλεύσαμεν τῷ ὑπερηφάνῳ ἐκείνῳ βασιλεῖ. Παραδιδόαμεν οὖν αὐτοῖς τοῖς ἁγίοις Ἀποστόλοις, τοῖς μακαρίοις κυρίοις μου, τῷ Πέτρῳ καὶ Παύλῳ, καὶ μετ' αὐτοὺς τῷ μακαρίῳ Σιλβέστρῳ, καὶ πατρὶ ἡμῶν, τῷ μεγάλῳ ἐπισκόπῳ, καὶ καθολικῷ πάπᾳ τῆς πόλεως Ῥώμης, καὶ πᾶσι τοῖς διαδόχοις αὐτοῦ, οἵτινες ἕως τοῦ τέλους τοῦ κόσμου μέλλουσι προκαθῆσθαι εἰς τὸν θρόνον τοῦ μακαρίου Πέτρου ἀπὸ τῆς σήμερον, τὸ ἡμέτερον βασιλικὸν παλάτιον τὸ Λατερανέσιον, τὸ ὑπερβαῖνον καὶ ὑπερνικῶν τὰ τοῦ ὅλου κόσμου παλάτια· ἐπ' ἐκεῖνα δὲ καὶ τὸ διάδημα, ἤτοι τὸν στέφανον τῆς κεφαλῆς ἡμῶν, ἅμα καὶ τὸν λῶρον, καὶ τὸ ὠμοφόριον ὅπερ περικυκλοῖ τὸν βασιλικὸν τράχηλον, ἅμα δὲ καὶ τὴν πορφυρᾶν χλαμύδα, καὶ χιτῶνα κόκκινον, καὶ πάντα τὰ βασιλικὰ ἐνδύματα, καὶ τὰ ἀξιώματα τῶν βασιλικῶν ἀλόγων· ὁμοίως καὶ τὰ βασιλικὰ σκῆπτρα, καὶ πάντα τὰ σίγνα, καὶ τὰ βάντα (2), καὶ τὰ λοιπὰ κοσμήματα τῆς βασιλικῆς μεγαλειότητος, καὶ τὴν δόξαν τῆς ἡμῶν ἐξουσίας. Ἄνδρας τε εὐσεβεστάτους κληρικοὺς πολλῶν τάξεων τῇ αὐτῇ ἁγίᾳ Ῥωμαϊκῇ ἐκκλησίᾳ δουλεύοντας θεσπίζομεν κοσμεῖσθαι, καὶ ἔχειν ἐκείνην τὴν ὑψηλότητα καὶ μεγαλωσύνην, ἣν κεκόσμηται ἡ μεγάλη σύγκλητος ἡμῶν, ἤτοι οἱ πατρίκιοι, καὶ οἱ κόνσουλοι, ἤτοι οἱ ὕπατοι, καὶ τὰ λοιπὰ ἀξιώματα· καὶ ὡς ἡ βασιλικὴ στρατιὰ κεκόσμηται, οὕτω θεσπίζομεν κοσμεῖσθαι καὶ τὸν κλῆρον τῆς ἁγίας Ῥώμης (3) ἐκκλησίας· καὶ οἷον τρόπον ἡ βασιλικὴ δύναμις διὰ πολλῶν ὀφφικίων κεκόσμηται, ἤτοι κουβικουλαρίων, πορταρίων, ἐξκουβίτων, οὕτω καὶ τὴν ἁγίαν τῶν Ῥωμαίων ἐκκλησίαν κοσμεῖσθαι θέλομεν· καὶ ἵνα κατὰ πλάτος τὸ ἐπισκοπικὸν φῶς ὑπερλάμπῃ, θεσπίζομεν καὶ τοῦτο, ἵνα οἱ κληρικοὶ τῆς ἁγίας Ῥωμαίων ἐκκλησίας καβαλικεύωσιν ἄλογα

(1) Χ. Τρ. οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β.— (2) Βασιλικὰ σύμβολα ἐν εἴδει σημαιῶν, τὰ παρὰ τοῖς Γερμανοῖς Bannier, παρὰ δὲ τοῖς Ἰταλοῖς bandiere λεγόμενα, (φλάμπουρα). — (3) Τῆς ἁγίας μεγάλης ἐκκλησίας Χ. Τρ.

κεκοσμημένα διὰ ὀθονίων λευκῶν· καὶ ὡς ἡ ἡμετέρα σύγκλητος φέρει ὑποδήματα, ἤτοι σανδάλια λευκὰ διὰ ὀθονίων, οὕτω καὶ τὰ οὐράνια, ὡς καὶ τὰ γήϊνα, πρὸς αἴνεσιν τοῦ Θεοῦ. Ἐπέκεινα δὲ πάντων διδόαμεν ἄδειαν, καὶ παραχωροῦμεν αὐτῷ τῷ ἁγιωτάτῳ πατρὶ ἡμῶν, τῷ Σιλβέστρῳ ἐπισκόπῳ καὶ πάπᾳ τῆς πόλεως Ῥώμης, καὶ πᾶσι τοῖς διαδόχοις αὐτοῦ μακαρίοις ἐπισκόποις, εἰς τιμὴν καὶ δόξαν τοῦ κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὴν αὐτὴν μεγάλην καὶ ἀποστολικὴν ἐκκλησίαν, ἵνα ἐάν τις τῆς συγκλήτου βουληθῇ μετὰ ἰδίου θελήματος καὶ εὐαρέστου γενέσθαι κληρικὸς, καὶ ἐν τῷ ἀριθμῷ τῶν ἁγίων κληρικῶν συναριθμεῖσθαι, μή τις τολμᾷ ἀπὸ πάντων ἐμποδίζειν τούτῳ. Ἐθεσπίσαμεν δὲ πρὸς τούτοις ἵνα καὶ ὁ αὐτὸς θεοσεβὴς πατὴρ ἡμῶν Σίλβεστρος, μέγας ἐπίσκοπος, καὶ πάντες οἱ (1) διάδοχοι αὐτοῦ καὶ ἐπίσκοποι ἵνα φορῶσι τὸ διάδημα, ἤτοι τὴν στεφάνην, ἣν παρεδώκαμεν αὐτῷ ἐκ τῆς κεφαλῆς ἡμῶν, ἐκ χρυσίου καθαροῦ καὶ μαργαριταρίων ἀτιμήτων, καὶ ἵνα αὐτῇ χρήσωνται εἰς τὰς κεφαλὰς αὐτῶν, εἰς τὴν αἴνεσιν τοῦ Θεοῦ, καὶ εἰς τιμὴν τοῦ ἁγίου καὶ κορυφαίου τῶν Ἀποστόλων. Αὐτὸς δὲ ὁ μακαριώτατος πάπας Σίλβεστρος ὑπὲρ τὴν στεφάνην, ἤτοι τὴν παπαλήθραν (2) ἣν εἶχε πρὸς δόξαν τοῦ Θεοῦ, καὶ τοῦ ἁγίου Πέτρου, οὐκ ἤθελε βαστάζειν στεφάνην ἐκ χρυσίου, ἢ μαργαριταρίων· ἡμεῖς δὲ, διότι οὐκ ἤθελεν ὁ ἅγιος Σίλβεστρος ἐκ χρυσίου στεφάνην, τὸν ὑπέρλαμπρον λῶρον, σημαίνοντα τὴν ἁγίαν ἀνάστασιν, τῇ ἁγίᾳ κεφαλῇ αὐτοῦ ἰδίαις χερσὶν ἐπεθήκαμεν· καὶ κρατοῦντες τὸν χαλινὸν τοῦ ἵππου αὐτοῦ, διὰ τὴν προσκύνησιν καὶ τὸν φόβον τοῦ ἁγίου Πέτρου, στράτωρος ὀφφίκιον ἐποιήσαμεν, θεσπίζοντες, ἵνα πάντες οἱ διάδοχοι αὐτοῦ τῷ λώρῳ χρήσωνται εἰς τὰς προελεύσεις, πρὸς μίμησιν τῆς βασιλείας. Διὰ τοῦτο δὲ, ἵνα μὴ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς καταφρονῆται, ἀλλὰ πλέον παρὰ τὴν βασιλείαν ἡμῶν τὴν γηΐνην, καὶ κράτους δόξῃ κοσμῆται, ἰδοὺ τὸ παλάτιον ἡμῶν, ὡς προείπομεν, καὶ τὴν Ῥωμαίων πόλιν, καὶ πάσης τῆς Ἰταλίας, ἢ δυσμῶν χωρῶν ἐπαρχίας, τόπους, καὶ κάστρα, τῷ

(1) οἱ ὀρθόδοξοι Ε. — (2) Ἴσως παπαμίτραν, ἢ καλύπτραν, Β. ἐν περισελιδίῳ.

προγεγραμμένῳ μακαριωτάτῳ ἐπισκόπῳ, καὶ πατρὶ ἡμῶν Σιλβέστρῳ καθολικῷ πάπᾳ παραδιδόαμεν, καὶ ἀφήκαμεν αὐτῷ καὶ τοῖς διαδόχοις αὐτοῦ ἐξουσίαν καὶ δύναμιν στερεὰν βασιλικοῦ προστάγματος, διὰ ταύτην τὴν θείαν κέλευσιν καὶ πραγματικὸν σύστημα ἐθεσπίσαμεν διαμένειν, καὶ τοῖς ἀνδράσι τῆς ἁγίας τῶν Ῥωμαίων ἐκκλησίας εἰς τὸν αἰῶνα παρεχωρήσαμεν. Διὰ τοῦτο δὲ χρήσιμον ἐννοήσαμεν τὴν βασιλείαν ἡμῶν, καὶ τὸ κράτος τῆς βασιλείας εἰς τὰς ἀνατολικὰς χώρας μεταφέρειν, καὶ ἐν τῇ Βυζαντίῳ χώρᾳ, τόπῳ χρησίμῳ, τὴν πόλιν ἐπὶ τῷ ὀνόματι ἡμῶν ἱδρυθῆναι, καὶ τὴν ἡμῶν βασιλείαν ἐκεῖ συστῆναι· διότι ὅπου ἐστὶν ἡ ἀρχικὴ ἱερατεία, καὶ ἡ κεφαλὴ τῆς χριστιανικῆς θρησκείας ἀπὸ τοῦ βασιλέως τῶν οὐρανῶν δεδομένη, ἄδικόν ἐστιν ἵνα ἐκεῖ ὁ γήϊνος βασιλεὺς ἔχῃ τὴν ἐξουσίαν. Τοῦτο δὲ τὸ ὕφος τῆς βασιλείας ἡμῶν ἰδίαις χερσὶ καταστρώσαντες εἰς τὰ τίμια λείψανα τοῦ ἁγίου Ἀποστόλου καὶ κορυφαίου Πέτρου ἐθήκαμεν, καὶ ἐκεῖ ὡμόσαμεν ταῦτα πάντα ἀπαράθραυστα διαφυλάττειν, καὶ τοὺς διαδόχους ἡμῶν βασιλεῖς ἐν τοῖς ὑπομνήμασιν ἡμῶν ταῦτα φυλάττειν παραδεδώκαμεν· τῷ πατρὶ ἡμῶν τῷ ἁγίῳ καὶ καθολικῷ ἐπισκόπῳ καὶ πάπᾳ, καὶ δι' αὐτοῦ πᾶσι τοῖς διαδόχοις αὐτοῦ ἐπισκόποις, τοῦ κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ προσνεύοντος, παραδιδόαμεν ὅλα τὰ προγεγραμμένα καλῶς εἰς τὸν αἰῶνα διαφυλάττεσθαι.

Σημείωσαι ὅτι ἀπὸ τοῦ παρόντος ἡδίκτου, ἤτοι βασιλικοῦ προστάγματος τοῦ ἁγίου μεγάλου Κωνσταντίνου, δικαιοῦται ὁ πάπας Ῥώμης διὰ πάντων τῶν βασιλικῶν προνομίων μεγαλύνεσθαι ἄνευ μόνου τοῦ στέμματος· διὰ γὰρ τοῦτο καὶ ἐν ταῖς ὁπουδήποτε γινομέναις προελεύσεσιν αὐτοῦ, καὶ ταῖς θείαις αὐτοῦ ἱεροτελεστίαις, διὰ βασιλικοῦ λώρου τὴν κεφαλὴν κατακαλύπτεται· ἀμφιέννυται δὲ καὶ ἀληθινὰ ὑποδήματα, καὶ καβαλικεύει μετ' ἀληθινοῦ σελοχαλίνου, κατὰ τοὺς βασιλεῖς, τιμᾷ δὲ καὶ τοὺς ὑπ' αὐτὸν διὰ ἀξιωμάτων βασιλικῶν. Ὅτι δὲ ἡ δευτέρα σύνοδος δέδωκε τῷ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως τὰ προνόμια πάντα τοῦ πάπα Ῥώμης, ἐπεχείρησαν τινὲς τῶν πατριαρχῶν ὡς ὁ Κηρουλάριος (1) ἐκεῖνος κὺρ (2) Μιχαὴλ, καὶ

(1) Χ. Τρ. — Κύρουλλος Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — καὶ Κύριος Ἐ. Ἰ. Β.

ἕτεροι τῆς αὐτῆς ἀποσεμνύνεσθαι προνομίοις, οὐ γέγονε δὲ αὐτοῖς εἰς καλὸν ἡ ἐγχείρησις. Τιμᾶσθαι δὲ δι' ἀξιωμάτων τοὺς κληρικοὺς τῆς Κωνσταντινουπόλεως οὐ κεκώλυται· πλὴν καὶ ταῦτα κεκολοβωμένα εἰσίν. Ὁ δὲ κατὰ καιροὺς χαρτοφύλαξ ἀπὸ τοῦ παρόντος ἠδίκτου δικαιοῦται καβαλικεύειν κατὰ τὴν λιτὴν τῶν ἁγίων νοταρίων τὸ πατριαρχικὸν ἄλογον μετὰ ὀθονίου λευκοῦ. Ἔδει δὲ τὴν κεφαλὴν αὐτοῦ ὡς καδδηναρίου πατριαρχικοῦ σκέπεσθαι μετὰ χρυσῆς τιάρας, ἥτις καὶ ἐν χαρτοφυλακίῳ ἀπόκειται. Ἀλλὰ καὶ ὁ κατὰ καιροὺς πατριάρχης Ἀλεξανδρείας ἀπὸ τοῦ παρόντος ἠδίκτου δικαιοῦται μετὰ λώρου λειτουργεῖν· ἔλαβε γὰρ τὴν ἐξουσίαν ταύτην ὁ ἅγιος Κύριλλος Ἀλεξανδρείας ἀπὸ τοῦ πάπα Ῥώμης Κελεστίνου, ὅτε ἡ ἐν Ἐφέσῳ γέγονε σύνοδος κατὰ Νεστορίου. Τοῦ γὰρ Κελεστίνου μὴ δυναμένου παρουσιάσαι εἰς Ἔφεσον, καὶ κρῖναι τὸν Νεστόριον, συνέδοξεν ἐπιτραπῆναι τὸν ἅγιον Κύριλλον ὑπὸ τοῦ Κελεστίνου προκαθῆσαι τῆς συνόδου ἀντ' αὐτοῦ. Εἰς γοῦν παράστασιν τοῦ ἔχειν αὐτὸν τὸ δίκαιον τοῦ πάπα Ῥώμης Κελεστίνου, ἐκάθησε μετὰ λώρου, καὶ κατεδίκασε τὸν Νεστόριον. Ἔκτοτε οὖν μετὰ τοῦ αὐτοῦ λώρου ἱερουργοῦσι, καὶ προοδεύουσιν οἱ πατριάρχαι Ἀλεξανδρείας, καὶ αἰτίασιν οὐχ ὑποπτεύουσιν. Ἀνάγνωθι τὴν περὶ τούτου ἐπιστολὴν τοῦ ἁγίου Κελεστίνου κατεστρωμένην οὖσαν εἰς τὰ πρακτικὰ τῆς γ'. συνόδου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἐπίσκοπον ἀποδημεῖν, ἢ κληρικὸν ἐν ἑτέρᾳ διάγειν ἐπαρχίᾳ. Ἀποστόλων κανὼν ιδ'. ιέ. Συνόδου Ἀγκύρας κανὼν ιή. Συνόδου Ἀντιοχείας κανὼν γ'. ιγ'. κβ'. Συνόδου Λαοδικείας κανὼν μά. μβ. Συνόδου Κωνσταντινουπόλεως κανὼν β'. Συνόδου Χαλκηδόνος κανὼν ιγ'. κγ'. Συνόδου Σαρδικῆς κανὼν γ'. ιά. ιβ'. ιστ'. ιζ'. Συνόδου Καρθαγένης κανὼν κγ'. οά. Συνόδου στ'. κανὼν ιζ'. ιή. κ'. Συνόδου Νικαίας τὸ β'. κανὼν ι'. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ιστ'.

Κείμενον.

Ἡ μβ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν, ὅτι ὁ ἐπίσκοπος ἐφ' οἱῳδήποτε πράγματι παρὰ κέλευσιν βασιλέως ἐν Κωνσταντινουπόλει μὴ γινέσθω, ἀλλὰ ἀποκρισιάριον στελλέτω· ὁ δὲ παραβαίνων ἀφορίζεται καὶ ἀγανακτεῖται. Ἡ δὲ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησι· Μηδεὶς ἐπίσκοπος ἔξω τῆς ἑαυτοῦ ἐκκλησίας πλέον ἐνιαυτοῦ ἀπολιμπανέσθω, εἰ μὴ κατὰ βασιλικὴν κέλευσιν, τῶν πατριαρχῶν ἀναγκαζόντων αὐτοὺς ταῖς αὐτῶν ἐκκλησίαις προσκαρτερεῖν· εἰ δὲ παρὰ κέλευσιν βασιλικὴν πέραν τοῦ ἐνιαυτοῦ ἀπολειφθείη, ὁ τοῦ κλίματος πατριάρχης αὐτὸν καλείτω τοῖς νεομισμένοις κηρύγμασι, φυλάττων τὴν τῶν ἱερῶν κανόνων παρατήρησιν. Εἰ δὲ μείνει ἀπειθῶν, ἐξωθείτω αὐτὸν τῆς ἐπισκοπῆς, καὶ ἕτερον ποιείτω. Εἰ δὲ οὐ μητροπολίτης, ἀλλ' ἕτερος ἐπίσκοπός ἐστιν ὁ ἀπολιμπανόμενος, ὁ μητροπολίτης ἐπ' αὐτῷ ποιείτω τὰ εἰρημένα. Εἰ δὲ προφασίσοιτο δίκης ἕνεκεν ἰδικῆς, ἢ ἐκκλησιαστικῆς, ὀφείλειν ἀπολιμπάνεσθαι, δεήσεις τῇ βασιλείᾳ διὰ τῶν οἰκονόμων, ἢ κληρικῶν, ἢ ἀποκρισιαρίων πεμπέτωσαν, τευξόμενοι περὶ τῶν ἐκκλησιαστικῶν τῶν ζητουμένων. Μὴ ἀνιέτω δὲ ἐπίσκοπος ἐν Βυζαντίῳ, πρὶν ἂν κατὰ τοὺς κανόνας τοῦ οἰκείου μητροπολίτου λάβῃ γράμματα τὰ καλούμενα συστατικὰ πρὸς τὴν βασιλείαν, μαρτυροῦντα τὸ ἀναγκαῖον τῆς ἀποδημίας· ὁ δὲ μητροπολίτης ἀποδημῶν τὰ πατριαρχικὰ λαμβανέτω γράμματα, καὶ μὴ δι' ἑαυτῶν μηνυέτωσαν πρὸς τὴν βασιλείαν, ἀλλὰ τῷ πατριάρχῃ καὶ τοῖς ἀποκρισιαρίοις τῆς αὐτῶν διοικήσεως κοινούσθωσαν, καὶ αὐτοῖς συνεισίτωσαν. Ἔξεστι δὲ αὐτοῖς, καὶ διὰ τῶν ρεφερενδαρίων τῆς μεγάλης ἐκκλησίας, ἢ διὰ τῶν ἀποκρισιαρίων τῶν πατριαρχῶν αὐτῶν, ἀναφέρειν τῷ βασιλεῖ. Ἡ δὲ ζ'.

διάτ. τοῦ αὐτοῦ ά. τίτλου τῶν νεαρῶν φησιν, ὅτι ἐὰν ἐπίσκοπος χρόνον πολὺν τῆς ἰδίας ἐκκλησίας ἀπολειφθῇ, μὴ χορηγείτω αὐτῷ δαπάνας ὁ οἰκονόμος, ἀλλ' ἡ τοιαύτη δαπάνη παρεχέσθω εἰς προφάσεις ἐκκλησιαστικὰς, καὶ εὐσεβεῖς. Καὶ ἡ γ'. τοῦ αὐτοῦ τίτ. διάταξίς φησιν, ὅτι ἐπίσκοπος χωρὶς γραμμάτων τοῦ πατριάρχου αὐτοῦ ἀνιὼν ἐν Κωνσταντινουπόλει, ἀλλότριον ἑαυτὸν ποιεῖ τοῦ σχήματος. Ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ ά. τίτ. τῶν νεαρῶν φησιν, ὅτι κατὰ χρείας ἀναγκαίας ἐκδημοῦντες οἱ ἐπίσκοποι γράμματα λαμβανέτωσαν τῶν πατριαρχῶν αὐτῶν, ἢ μητροπολιτῶν, ἢ κατὰ βασιλικὴν κέλευσιν ἀποδημείτωσαν· καὶ οἱ ὑπὸ τὸν Κωνσταντινουπόλεως πατριάρχην χωρὶς ἐπιτροπῆς αὐτοῦ μὴ ἀνίτωσαν, καὶ ὁ οὕτως ἀποδημῶν μὴ πλέον ἐνιαυτοῦ τὴν ἰδίαν ἐκκλησίαν ἐάτω. Ὁ δὲ παραγινόμενος ἐν Κωνσταντινουπόλει οἱοσδήποτε ἐπίσκοπος εἰσίτω πρὸς τὸν πατριάρχην, καὶ δι' αὐτοῦ πρὸς τὸν βασιλέα. Τοῖς δὲ παρὰ ταῦτα καὶ ὑπὲρ τὸν χρόνον ἀποδημοῦσιν οἱ οἰκονόμοι δαπάνας μὴ χορηγείτωσαν, καὶ προτρεπέτωσαν αὐτοὺς οἱ ἱερεῖς, ὑφ' οὓς τελοῦσι, διὰ γραμμάτων ὑποστρέφειν, καὶ ὑπερτιθεμένους πρὸς τοὺς ἀγῶνας καλείτωσαν, καὶ μὴ ὑποστρέφοντας εἴσω τοῦ ὡρισμένου χρόνου ἐκβαλλέτωσαν, καὶ ἄλλους χειροτονείτωσαν. Τὰ αὐτὰ περὶ κληρικῶν οἱουδήτινος βαθμοῦ κρατεῖ. Ἡ δὲ ιβ'. διάταξις τοῦ αὐτοῦ ά. τίτ. τῶν νεαρῶν παρακελεύεται, ἵνα ἐάν τινος ἐκκλησίας ἀποστῶσι κληρικοὶ, ἕτεροι ἀντικαθιστάμενοι τὰς αὐτῶν σιτήσεις λαμβάνωσι, καὶ μηδὲ ὑποστρέφοντας αὐτοὺς λαμβάνειν αὐτὰς, καὶ μὴ κερδαίνειν αὐτὰς τοὺς χορηγοῦντας. Εἰ δὲ στερήσουσι, κτῆσις αὐτῶν ῥητὴ τοῖς πριβάτοις ἀφορίζεται, ὥστε τὴν χορηγίαν τῆς σιτήσεως ἐκεῖθεν γίνεσθαι.

Σχόλιον.

Ἡ μβ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ

ἐτέθη εἰς τὰ βασιλικά. Οὐδὲ ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν οὖσα *νεαρὰ* (1) Ἰουσινιάνειος ς'. Οὐδὲ ἡ ζ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν οὖσα *νεαρὰ*(2) Ἰουσινιάνειος ξζ'. Ἡ γ'. διάτ. τοῦ αὐτοῦ τίτ. ἐστὶ νεαρὰ Ἰουστινιάνειος πς'. κειμένη ἐν βιβλίῳ ς'. τῶν βασιλικῶν τίτ. κδ'. περὶ τὸ τέλος οὕτως ἔχοντι· Οὔτε δὲ μοναχὸν, οὔτε κληρικὸν, οὔτε ἐπίσκοπον κελεύομεν ἔρχεσθαι ἐνταῦθα ἄνευ (3) τοῦ ὁσιωτάτου αὐτῶν πατριάρχου, καὶ εἰδέτωσαν ὡς ἀναξίους ἑαυτοὺς τοῦ σχήματος ποιήσουσι. Καὶ σημείωσαι ὅτι τὸ μὲν πλάτος τῶν νεαρῶν μόνου ἐπισκόπου ἐμνήσθη, τὰ δὲ βασιλικὰ οὔτε ἐπίσκοπον, οὔτε κληρικὸν παραχωροῦσιν εἰς Κωνσταντινούπολιν ἐπιδημεῖν ἄνευ γνώμης τοῦ πατριάρχου. Ἡ δ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν, τίτ. ά. κεφ. ιή. καὶ ιθ'. ἃ καὶ ἔχουσιν οὕτω καθὼς συνωψίσθησαν· σὺ δὲ πρόσχες μᾶλλον τῷ ις'. κανόνι τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ά. καὶ δ'. συνόδου *εἰς* (4) ἑξάμηνον στενοχωρήσαντι τὸν τῆς ἀποδημίας χρόνον. Ἡ ιδ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος νζ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. δ'. καὶ οὕτω σχεδὸν περιλήψεως ἔχουσα, ὡς εἰς τὸ κείμενον ἐδηλώθη· ἀνάγνωθι οὖν ταύτην. Ἀνάγνωθι καὶ τὴν τοῦ ἁγιωτάτου ἐκείνου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Νικολάου συνοδικὴν σημείωσιν, τὴν γεγονυῖαν κατὰ τὴν ιδ'. τοῦ Μαρτίου μηνὸς τῆς γ'. ἰνδικτιῶνος, καὶ ὑποτυποῦσαν πόσον καιρὸν ὀφείλουσιν ἀπολιμπάνεσθαι ἀπροκριματίστως οἱ τῆς (5) μεγάλης ἐκκλησίας ἱερεῖς τε καὶ διάκονοι. Λέγουσι δέ τινες ἐκ ταύτης μὴ ἀναιρεῖσθαι τοὺς περὶ τῶν ἀποδήμων κληρικῶν κανόνας, μηδὲ τὴν ἄνωθεν καταστρωθεῖσαν Ἰουστινιάνειον νεαράν.

Σημείωσαι ὅτι ἀπὸ τῶν ἐν τῷ παρόντι κεφαλαίῳ κατεγρωμένων δύο Ἰουσινιανείων νεαρῶν, ἤγουν τῆς πς'. καὶ τῆς ρκγ'. δύο ταῦτα ἐνομοθετήθησαν· ἓν μὲν τὸ μὴ ἐνδημεῖν εἰς τὴν τῶν πόλεων βασιλεύουσαν ἀρχιερεῖς, ἢ μοναχοὺς, ἢ κληρικοὺς, ἄνευ γραμμάτων τοῦ πατριάρχου αὐτῶν, ἕτερον δὲ τὸ μὴ διατρίβειν

(1) Χ. Τρ.—οὐχ εὕρηται ἐν Ἐ. Ἰ. Β.—(2) Χ. Τρ.—οὐχ εὕρηται ἐν Ἐ. Ἰ. Β.
(3) ἐν τῇ λατινικῇ μεταφράσει ἀναγινώσκεται sine litteris, ἄνευ γραμμάτων·
(4) Χ. Τρ. — ἑξάμηνον Ἐ. Ἰ. Β. — (5) Χ. Τρ. — οἱ μεγάλης Ἐ. Ἰ. Β.

ἀρχιερέα ἐπὶ πολὺ ἐν Κωνσταντινουπόλει. Ἐπεὶ δὲ καὶ ἄμφω βλέπομεν ἀθετούμενα, οὔτε γὰρ οἱ ἀρχιερεῖς διὰ γραμμάτων πατριαρχικῶν εἰς τὴν βασιλεύουσαν ἐνδημοῦσιν, ἀλλ' οἰκειοθελῶς εἰς τὴν θύραν τῆς Κωνσταντινουπόλεως ἐρχόμενοι διδόασιν εἴδησιν τῷ πατριάρχῃ, καὶ οὕτω τῆς μεγαλοπόλεως ἀκινδύνως ἐπιβαίνουσι, καὶ ἐπὶ πολὺν δὲ χρόνον ἐν αὐτῇ διατρίβοντες οὐδεμίαν κάκωσιν ὑπομένουσι, ζητητέον ὅπως τοῦτο γίνεται. Οἶομαι οὖν ὡς ἡ μὲν πς'. νεαρὰ ἡ διοριζομένη καθαιρεῖσθαι τοὺς ἐπισκόπους, κληρικούς τε καὶ μοναχοὺς, παρὰ γνώμην τοῦ πατριάρχου αὐτῶν ἐνταῦθα ἐπιδημοῦντας, ἀνῃρέθη διὰ τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς μεταγενεστέρας οὔσης, καὶ διοριζομένης μὴ χορηγεῖσθαι δαπάνας τοῖς τοιοῦτό τι ποιοῦσιν ἐπισκόποις ἀπὸ τῶν ἐκκλησιῶν αὐτῶν, καὶ εἰς τοῦτο μόνον περικλειούσης τὴν τιμωρίαν. Τὸ δὲ καθαιρεῖσθαι τοὺς ἐπέκεινα χρόνου κατὰ τὴν τοιαύτην ρκγ'. νεαρὰν, ἢ ἐπέκεινα ἑξαμήνου κατὰ τὸν ις'. κανόνα τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συστάσης ά. καὶ β'. συνόδου, διατρίβοντας ἐπισκόπους εἰς Κωνσταντινούπολιν χωρὶς εὐλόγου αἰτίας, ἀνῃρέθη ἀπὸ (1) προστάξεως τοῦ ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ἀπολυθείσης κατὰ μῆνα Σεπτέμβριον ἰνδικτιῶνος ζ'. καὶ διοριζομένης ταῦτα ῥητῶς· Ταῦτα τοίνυν ἀναλογισαμένη ἡ βασιλεία μου πρὸς τὴν παροῦσαν ἐλθεῖν οἰκονομίαν ἠναγκάσθη καὶ ἄκουσα, καὶ θεσπίζει διὰ τοῦ παρόντος ταύτης προστάγματος μὴ πλείονα τοῦ παρά τε τῶν φιλευσεβῶν νόμων, καὶ τῶν θείων κανόνων ὑφαπλωθέντος καιροῦ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἐνδιατρίβειν δίχα τινὸς ἀπαραιτήτου ἐμποδισμοῦ ἐν τῇ μεγαλοπόλει, καὶ προφανοῦς εὐλόγου προφάσεως, ἢ μὴν καὶ ἄκοντες τῆς μεγαλουπόλεως ἐκβληθήσονται. Ἡ μέντοι γε ἐν τῇ μεγαλοπόλει εἰσέλευσις αὐτῶν ὀφείλει γίνεσθαι κατὰ τὴν ἔκπαλαι κανονικῶς καὶ νομίμως κρατήσασαν συνήθειαν.

---

(1) Χ. Χρ. — διὰ Ἐ. Ἰ. Β·

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ χρῆναι τοὺς ἐπισκόπους τὰς αἰτίας τῆς ὁδοιπορίας τῶν δι' αὐτῶν παριόντων ἐπισκόπων πολυπραγμονεῖν. Συνόδου Σαρδικῆς κανὼν κά.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἐπισκόπων, καὶ κληρικῶν ἀπιόντων πρὸς βασιλέα, ἢ τοὺς περὶ αὐτόν. Συνόδου Ἀντιοχείας κανὼν ιά. ιβ'. Συνόδου Σαρδικῆς κανὼν ζ'. ή. θ'. κά. Συνόδου Καρθαγένης κανὼν ρδ'. ρς'.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ὑποδοχῆς ξένων, καὶ περὶ εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν. Ἀποστόλων κανὼν ιβ'. λγ'. Συνόδου Ἀντιοχείας κανὼν ζ'. ή. ιά. Συνόδου Λαοδικείας κανὼν μά. μβ'. Συνόδου Χαλκηδόνος κανὼν ιγ'. Συνόδου Σαρδικῆς κανὼν θ'. Συνόδου Καρθαγένης κανὼν κς'. Συνόδου ς'. κανὼν ιζ'.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ διαφορᾶς εἰρηνικῶν καὶ συστατικῶν ἐπιστολῶν. Συνόδου Χαλκηδόνος κανὼν ιά. Συνόδου Καρθαγένης κανὼν ρς'.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τίσι δεῖ τοὺς ἐπισκόπους βοηθεῖν· καὶ περὶ ἐπισκόπων, καὶ πρεσβυτέρων, καὶ διακόνων μὴ χορηγούντων τοῖς ἐνδεέσιν ἐκκλησιαστικοῖς. Ἀποστόλων κανὼν νθ'. Συνόδου Σαρδικῆς κανὼν ζ'.

Κείμενον.

Οἱ πενόμενοι αἱρετικοὶ οὐ λαμβάνουσι τὰ λεγόμενα ἀξιωματικὰ ἀπὸ τῶν δικαστηρίων, ἢ τῶν ἐκκλησιῶν, ὡς βιβλίον ά. τίτ. έ. διάτ. ή.

Σχόλιον.

Ἡ ή. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κή. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς συνωψίσθη εἰς τὸ κείμενον.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ συνόδων, καὶ τῶν εἰς αὐτὰς μὴ ἀπιόντων. Ἀποστόλων κανὼν λζ'. Συνόδου Νικαίας κανὼν έ. Συνόδου Ἀντιοχείας κανὼν κ'. Συνόδου Λαοδικείας κανὼν μ'. Συνόδου Χαλκηδόνος κανὼν ιθ'. κά. Συνόδου Καρθαγένης κανὼν ιή. ογ'. ος'. ϟέ. Συνόδου στ'. κανὼν ή. Συνόδου Νικαίας τὸ β'. κανὼν στ'.

Κείμενον.

Ἡ β'. καὶ ιζ'. διάταξις τοῦ ά. τίτλου τῶν νεαρῶν βούλονται, ἅπαξ ἢ δὶς τοῦ ἔτους τῷ Ἰουνίῳ, ἢ τῷ Σεπτεμβρίῳ γίνεσθαι συνόδους τῶν μητροπολιτῶν παρὰ τοῖς πατριάρχαις, καὶ τῶν ἐπισκόπων παρὰ τοῖς μητροπολίταις, καὶ ἐξετάζεσθαι τὰς αἰτίας, ἃς οἱ ἐπίσκοποι, καὶ οἱ κληρικοὶ, καὶ οἱ μοναχοὶ πρὸς ἀλλήλους ἔχουσι, περί τε πίστεως, καὶ κανόνων, καὶ πραγμάτων ἐκκλησιαστικῶν, καὶ ἄλλων, καὶ τὰ παρὰ τοὺς κανόνας ἁμαρτανόμενα διορθοῦσθαι. Οἱ δὲ ἄρχοντες, καὶ αἱ τάξεις αὐτῶν, μὴ ἐπιτιθέμενοι τοῖς μητροπολίταις, καὶ ἐπισκόποις, ὑπερτιθεμένοις ποιεῖν τὰς συνόδους, ἢ μὴ μηνύοντες τῇ βασιλείᾳ, ἐσχάτως τιμωροῦνται.

Σχόλιον.

Ἡ β'. καὶ ιζ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν εἰσι τῆς μὲν ρκγ'. νεαρᾶς κεφ. ιγ'. τῆς δὲ ρλδ'. κεφ. ζ'. κατεστρώθησαν δὲ ἄμφω ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. ά. κεφ. κ'. καὶ κά. ἃ καὶ ἀνάγνωθι ἐκεῖ· ἐνταῦθα γὰρ οὐ κατεστρώθησαν ὡς μὴ ἐνεργοῦντα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ μὴ ὡς ἔτυχεν ἐπίσκοπον, ἢ κληρικὸν ἐμαγκιπατεύειν. Συνόδου καρθαγένης κανὼν λέ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους παρὰ αἱρετικῶν κατεχομένους. Συνόδου Καρθαγένης κανὼν ρκά.

Κείμενον.

Ἡ λζ'. νεαρά (1) φησι τὰς ἐκκλησίας τῆς Ἀφρικῆς ἀσφαλῶς ἔχειν τὰς κτήσεις αὐτῶν, καὶ ἐὰν Ἕλληνες ἢ αἱρετικοὶ ἔχωσί τινας αὐτῶν ἢ οἴκους ἢ σκεύη, ἀφαιρεῖσθαι αὐτὰ, μὴ ἀντικειμένης αὐταῖς χρονίας παραγραφῆς.

Σχόλιον.

Ἡ λζ'. νεαρὰ ἐτέθη εἰς τὰ βασιλικά· τοῦτο δὲ αὐτῆς τὸ κεφάλαιον οὐκ ἐτέθη, καὶ μὴ ματαιοπονήσῃς.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τοῦ μὴ ὀφείλειν τοὺς ἀναγνώστας τῷ δήμῳ προσκυνεῖν. Συνόδου Καρθαγένης κανὼν ις'.

(1) Χ. Τρ. — ἡ λζ'. νεαρῶν Ἑ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ ἐπισκόπων μὴ ἐπιστρεφόντων τοὺς αἱρετικοὺς, καὶ περὶ ἐπισκόπων, καὶ κληρικῶν, μὴ διδασκόντων τὸν λαόν· καὶ ὅτι ἐπίσκοπος ὑπὲρ τοῦ λαοῦ ἀπολογεῖται τῷ Θεῷ· καὶ πότε τοῦ λαοῦ ἁμαρτήσαντος, ὁ κλῆρος ἀφορίζεται. Ἀποστόλων κανὼν λστ'. λθ'. νή. Συνόδου Καρθαγένης κανὼν ρκγ'. (1) Συνόδου στ'. κανὼν ιθ'. ξδ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ ἐπισκόπων, καὶ κληρικῶν κοσμικόν τι πραττόντων, δημόσιον, ἢ ἰδιωτικὸν, ἢ μίσθωσιν, ἢ ἐπιτροπήν. Ἀποστόλων κανὼν στ'. πά. Συνόδου Χαλκηδόνος κανὼν γ'. Συνόδου Καρθαγένης κανὼν ιστ'. Συνόδου Νικαίας τὸ β'. κανὼν ί. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ιά.

Κείμενον.

Ἡ ιζ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος κωλύει τοὺς κληρικοὺς πάροδον ἔχειν εἰς τὰς δημοσίας πράξεις, ἢ τὰς ἁρμοζούσας ταῖς βουλαῖς. Καὶ ἡ μ'. τοῦ αὐτοῦ τίτ. διάτ. ἀπαγορεύει τοῖς ἐκκλησιεκδίκοις ἐμφανίζειν τελευταίας βουλήσεις, ποινὴν ἐκ παραβασίας (2) ὁρίζουσα ν'. λιτρῶν. Καὶ ἡ νά. τοῦ αὐτοῦ τίτ. φησὶν ὅτι οἱ ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι, καὶ μοναχοὶ, κἂν μὴ ἔχωσι χειροτονίαν, ἀλειτουργησίαν ἔχουσι πάσης ἐπιτροπῆς καὶ κουρατωρείας, σχολάζοντες μέντοι ταῖς ἐκκλησίαις καὶ τοῖς μοναστηρίοις αὐτῶν, καὶ μὴ ἀμελοῦντες τῆς θείας λειτουργίας.

Σχόλιον.

Ἡ ιζ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ

(1) Χ. Τρ. ρκγ'. ρκδ'. — (2) Χ. Τρ. ἐκ παρὰ κανόνας.

ἐτέθη εἰς τὰ βασιλικά· οὐδὲ ἡ μ'. οὐδὲ ἡ νά. καὶ μάτην μὴ κοπία.

Κείμενον.

Ἡ δὲ β'. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν, ὅτι ἐπίσκοπος ἢ μοναχὸς οὐ γίνεται κηδεμών· οἱ δὲ ἄλλοι κληρικοὶ τῶν ἰδίων συγγενῶν κηδεμονεύουσιν, ἐὰν εἴσω δ'. μηνῶν παρὰ τῷ ἁρμοδίῳ δικαστῇ οἰκείᾳ προαιρέσει καταδέξωνται, καὶ οὐ προκριματίζονται περὶ ἄλλην κηδεμονίαν. Οὔτε δὲ δημοσίων ἐκλήπτορες, ἢ τελῶν, ἢ κτήσεων ἀλλοτρίων, ἢ κουρατωρείας οἴκου, ἢ ἐντολεῖς δίκης, ἢ ἐγγυηταὶ ὑπὲρ τῶν τοιούτων αἰτιῶν, ἐπίσκοπος, ἢ οἰκονόμος, ἢ ἄλλος κληρικὸς γίνεται ὀνόματι ἰδίῳ, ἢ τῆς ἐκκλησίας, ἢ τοῦ μοναστηρίου αὐτοῦ. Τὰς δὲ παρακειμένας κτήσεις τοῖς αὐτῶν (1) εὐαγέσιν οἴκοις δύνανται μισθοῦσθαι, καὶ ἐμφυτεύεσθαι, πάντων τῶν κληρικῶν καὶ μοναχῶν ἐν συμβολαίῳ, ἢ ἐπὶ πράξεως (2) συναινούντων, καὶ φανερούντων συμφέρειν τὸ γινόμενον. Καὶ αὐτοὶ δὲ οἱ σεπτοὶ οἶκοι τοῖς κληρικοῖς αὐτῶν μισθοῦσι, καὶ ἐμφυτεύουσι, χωρὶς τῶν δι' ἑτέρου νόμου κωλυθέντων προσώπων· καὶ αὐτοὶ παρὰ τῶν κληρικῶν ἐκλαμβάνουσιν. Ὁ δὲ παρὰ ταῦτα ποιῶν, εἰ μὲν ἐπίσκοπός ἐστι, τὰ πράγματα αὐτοῦ πάντα τῇ ἐκκλησίᾳ αὐτοῦ προσκυροῦνται· εἰ δὲ οἰκονόμος, ἢ ἄλλος κληρικὸς, ποινὴν δίδωσι χρηματικὴν τὴν νομιζομένην τῷ ἐπισκόπῳ αὐτοῦ. Οἱ δὲ πιστεύσαντες αὐτοῖς τὰς διοικήσεις, ἢ λαβόντες αὐτοὺς ἐγγυητὰς, οὐκ ἔχουσιν ἀγωγὴν κατ' αὐτῶν, ἢ πραγμάτων, ἢ ἐγγυητῶν, ἢ ἐκκλησιῶν, ἢ μοναστηρίων, ἀλλὰ καὶ τὴν συμβαίνουσαν τῷ δημοσίῳ βλάβην, οἴκοθεν ἀποθεραπεύουσι.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιά-

(1) Χ. Τρ. — αὐτοῖς Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — ἐπὶ πράσει Ἐ. Ἰ. Β.

νειος ρκγ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ ά. κεφ. ιγ'. ιδ'. ιέ. ἔχουσι δὲ ταῦτα καθὼς συνωψίσθησαν. Ζήτει ἀναγκαίως καὶ τὴν κατὰ τὴν ή. τοῦ Δεκεμβρίου μηνὸς τῆς ς'. ἰνδικτιῶνος γενομένην συνοδικὴν σημείωσιν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Λουκᾶ, χάριν τῶν ἐνεργούντων κληρικῶν δημοσιακὰς δουλείας καὶ προσωπικὰς, καὶ καταστρωθεῖσαν ἐν τῷ ις'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου. Ἐπὶ τῆς πατριαρχείας δὲ τοῦ μακαρίτου κυρίου Ἰωάννου, κατὰ μῆνα Φεβρουάριον ἰνδικτιῶνος ή. γέγονε σημείωμα συνοδικὸν, διοριζόμενον μὴ συνηγορεῖν διακόνους, ἢ ἁπλῶς ἐκκλησιαστικοὺς, ἢ μοναχοὺς, ἃ καὶ ἀνάγνωθι καταστρωθὲν ἐν τῷ ις'. κανόνι τῆς ἐν Καρθαγένῃ συνόδου. Κατὰ δὲ τὸν Ἰανουάριον μῆνα τῆς δ'. ἰνδικτιῶνος, πατριαρχεύοντος τοῦ μακαρίτου πατριάρχου κυρίου Μιχαὴλ τοῦ Ἀγχιάλου, γέγονε σημείωμα συνοδικὸν διαλαμβάνον παρομοίως (1) τῷ ἱερεῖ, καὶ τῷ διακόνῳ, καὶ τῷ ἀναγνώστῃ, καὶ πάντα ἱερωμένον ἀπέχεσθαι τῆς ἐνεργείας (2) τῶν κοσμικῶν ὀφφικίων, καὶ τῶν δουλειῶν· οὗ δὴ σημειώματος ἡ δύναμις κατεστρώθη ἐν τῷ αὐτῷ κανόνι. Ἡ μέν τοι ξή. νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου παρακελεύεται μὴ ἀναδέχεσθαι ἐπιτροπὰς, ἢ κουρατωρείας ὀρφανῶν κληρικοὺς, ἢ μοναχούς· ἐπιτρόπους δὲ γίνεσθαι καὶ διοικητὰς ἐπὶ τελευταίων βουλημάτων παραχωρεῖ, καὶ μᾶλλον εἴπερ ψυχικαὶ διαδόσεις ὀφείλουσι παρὰ τούτων προβαίνειν(3). Καὶ σημείωσαι τοῦτο, οὐδὲ γὰρ εὑρήσεις ἀλλαχοῦ κειμένην τὴν τοιαύτην διάταξιν (4). Ἀλλὰ καὶ ἡ πς'. νεαρὰ τοῦ αὐτοῦ βασιλέως θεσπίζει μήτε ἐπίσκοπον, μήτε τινὰ κληρικὸν συνηγορίαις, ἢ μισθώσεσιν, ἢ ἐγγύαις ἐνασχολεῖσθαι· τὸν δὲ τοιοῦτόν τι ποιοῦντα, ἐπὶ χρόνον μέν τινα ἀφορίζεσθαι, ἐπιμένοντα δὲ καθαιρεῖσθαι· καὶ ταῦτα μὲν οὕτως. Διάκονος δέ τις κωλυθείς ποτε παρὰ τοῦ μακαρίτου πατριάρχου κυρίου (5) Λουκᾶ τοῦ συνηγορεῖν, χρωμένου τοῖς διαληφθεῖσι κανόσι, καὶ λοιπαῖς νομοθεσίαις, εἶπεν ἐπὶ βασιλικοῦ βήματος, παρόντος καὶ τοῦ πατριάρχου, μὴ ἔχειν χώραν τὰ τῶν τοιούτων κανόνων καὶ

(1) Χ. Τρ. — παρ' ὁμοίου Ἑ. Ι. Β. — (2) ἀπέχειν ἐκ τῆς ἐνεργείας Χ. Τρ. — (3) Χ. Τρ. — προραίνειν Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. — διάταξιν Ἑ. Ἰ. Β. — (5) Χ. Τρ. καὶ Ἑ. — Κυρίλλου Λουκᾶ Ἰ. καὶ Β.

νόμων εἰς τοὺς σήμερον συνηγοροῦντας, ἀλλ' εἰς τοὺς τότε συνηγόρους τοὺς τεταγμένους εἰς πολιτικὰ δικαστήρια, καὶ λαμβάνοντας βασιλικὰ σιτηρέσια, καὶ ὑπὸ πριμικηρίους ὄντας, καὶ σφραγιζομένους ὑπὸ κοσμικῶν ἀρχόντων, ὅτε πάντως καλῶς οἱ κληρικοὶ ἐκωλύοντο συνηγόρων ὀφφίκια κοσμικὰ ἐνεργεῖν. Ἐπεὶ δὲ οἱ σήμερον συνηγοροῦντες ὡς ἐλευθέριόν τι σπούδασμα τὸ συνηγορειν μετέρχονται, οὐδὲ οἱ ἱερωμένοι ἐμποδισθήσονται συνηγορεῖν· καὶ κατασκευάζων τὸν οἰκεῖον λόγον ἐδικαιολογήσατο μὴ τὴν πρᾶξιν, ἀλλὰ τὸν τρόπον κολάζεσθαι (1) παρὰ τῶν κανόνων. Οὐ μόνοι γὰρ κληρικοί, ἀλλὰ καὶ ἐπίσκοποι ὑπὲρ φίλων ἀντιποιούμενοι συγγνωσθήσονται, καὶ ὑπὲρ ἐκκλησιαστικῆς ὑποθέσεως συνηγοροῦντες οὐκ αἰσχυνθήσονται, ὡς καὶ αὐτὰ τὰ νόμιμα τοῦτο διατρανοῦσι. Τὸ δὲ συνηγορῆσαι κληρικὸν, ὡς οἱ κοσμικοὶ ὀφφικιάλιοι, καὶ δέξασθαι σφραγίδα λαϊκοῦ, μισεῖται καὶ κολάζεται. Ὅτι δὲ τὸ συνηγορεῖν ὀφφίκιον ἦν ποτε κοσμικὸν, καὶ σιτηρέσια ἐλάμβανον δημοσιακὰ οἱ τεταγμένοι συνήγοροι, καὶ ὑπὸ πριμικήριον ἦσαν, δῆλόν ἐστι ἀπὸ πολλῶν· καὶ ἀνάγνωθι τὰ τελευταῖα κεφ. τοῦ ά. τίτ. τοῦ ή. βιβλίου τῶν βασιλικῶν, καὶ τὰ ἐν τῷ βιβλίῳ τοῦ ἐπάρχου περὶ συνηγόρων ἀναταττόμενα· διαλαμβάνουσι γὰρ τοὺς συνηγόρους σύστημα εἶναι, καὶ ὑπὸ τοῦ κατὰ καιροὺς ἐπάρχου σφραγίζεσθαι. Ταῦτα εἰπὼν καὶ παραδεχθεὶς ἐξεχωρήθη καὶ παρὰ τοῦ πατριάρχου συνηγορεῖν ὡς καὶ πρότερον.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ ἐπισκόπων, καὶ κληρικῶν συνόντων γυναιξὶ συνειτάκτοις. Συνόδου Νικαίας κανὼν γ'. Συνόδου ς'. κανὼν έ. Συνόδου Νικαίας τὸ β'. κανὼν ιή. Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον *ἐπίσκοπον* (2) ἐπιστολῆς.

Κείμενον.

Ἡ ιθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός

(1) εὐθύνεσθαι Χ. Τρ. — (2) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἐ. Ἰ. Β.

φησιν, ὅτι οἱ ἱερεῖς καὶ οἱ κληρικοὶ μόναις συνοικείτωσαν μητράσιν αὐτῶν, καὶ θυγατράσι, καὶ ἀδελφαῖς καὶ ταῖς πρὸ τούτου γαμηθείσαις αὐτοῖς. Καὶ ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν λέγει· Μὴ ἐχέτωσαν αἱ διακόνισσαι συνόντας αὐταῖς τινας ἐν τάξει δῆθεν ἀδελφῶν, ἢ συγγενῶν, ἢ τῶν καλουμένων ἀγαπητῶν, ἀλλ' ἢ (1) καθ' ἑαυτὰς οἰκείτωσαν, ἢ τοῖς ἀληθέσιν αὐτῶν ἀδελφοῖς, ἢ θείοις, ἢ γονεῦσιν, ἢ παισίν. Εἰ δέ *τις* (2) λέγοιτο συνεῖναι ἐν ἐσχηματισμένῃ ἀγαθῇ προσηγορίᾳ, πονηρᾷ δὲ ὑποψίᾳ, μὴ χειροτονείσθω, καὶ χειροτονηθεῖσα τοῦ σχήματος ἐκπιπτέτω, ὑπεύθυνος οὖσα σὺν αὐτῷ καὶ τούτῳ τῷ νόμῳ καὶ τοῖς λοιποῖς τοῖς τοὺς φθορέας κολάζουσιν. Ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ ά. τίτ. τῶν νεαρῶν λέγει· Μηδεὶς κληρικὸς γυναῖκα μὴ ἔχων, ἐπείσακτον ἐχέτω ἐν τῷ οἴκῳ αὐτοῦ πλὴν μητρὸς, καὶ ἀδελφῆς, καὶ θυγατρὸς, καὶ τῶν ἄλλων ἀνυπόπτων· εἰ δὲ μὴ ταῦτα παραφυλάττοι, καὶ δὶς ὑπομνησθεὶς ὑπὸ τοῦ ἐπισκόπου, ἢ τῶν συγκληρικῶν μὴ ἐκβάλλῃ αὐτὴν, ἢ κατηγορηθεὶς ἀποδειχθῇ συναναστρεφόμενος ἀσέμνως αὐτῇ (3), καθαιρείσθω, καὶ διδόσθω τῇ βουλῇ τῆς πόλεως ἧς ἦν κληρικός. Ἐπίσκοπος δὲ καθόλου γυναικὶ συνοικῶν, καθαιρεῖται. Οὔτε δὲ διακόνισσα συνοικεῖν δύναταί τινι δυναμένῳ σχεῖν ὑποψίαν ἄσεμνον· ὑπομιμνησκομένη δὲ παρὰ τοῦ ἐπισκόπου ἐὰν αὐτὸν ἐκβαλεῖν ὑπερτίθηται, στερεῖται τῆς ὑπηρεσίας, καὶ τῶν διαρίων, καὶ ἐμβάλλεται εἰς μοναστήριον ὅλην τὴν ζωὴν αὐτῆς· καὶ τὰ πράγματα αὐτῆς (4), εἰ μὲν ἔχει παῖδας, ἀναλόγως εἰς αὐτὴν καὶ αὐτοὺς μερίζονται, καὶ τὸ ἁρμόζον αὐτῇ μέρος τὸ μοναστήριον ὑπὲρ ἀποτροφῆς αὐτῆς λαμβάνει· εἰ δὲ μὴ ἔχει παῖδας, ἡ ἐκκλησία ἐν ᾗ ἦν, καὶ τὸ μοναστήριον ἐξ ἴσης αὐτὰ μερίζονται.

---

(1) Χ. Τρ. — ἀλλὰ καθ' ἑαυτὰς Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — αὐτὸς Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. — αὐτοῦ Ἑ. Ἰ. Β.

Σχόλιον.

Ἡ ιθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ἀλλ' οὐδὲ ἡ ά. διάτ. τοῦ ά τίτ. τῶν νεαρῶν. Ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ τίτλου ἐστὶ νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τίτ. ά. κεφ. νδ'. νέ. νστ'. ἅτινα κεφάλκια οὕτως ἔχουσιν ὡς συνωψίσθησαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Πῶς δεῖ ἐπισκόπους, ἢ κληρικοὺς, ἢ ἐγκρατευομένους, εἰσιέναι πρὸς γυναῖκας. Συνόδου Καρθαγένης κανὼν λη'. Συνόδου Νικαίας τὸ β'. κανὼν κβ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Περὶ τοῦ μὴ ὀφείλειν κληρικὸν συνεστιᾶσθαι τῷ δευτερογαμοῦντι, ἢ παρανόμως γαμοῦντι. Συνόδου Νεοκαισαρείας κανὼν ζ'. Τιμοθέου κανὼν ι'.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τοῦ μηδὲν τοὺς κληρικοὺς ποιεῖν ἄνευ τῶν ἐπισκόπων αὐτῶν. Ἀποστόλων κανὼν λθ'. Συνόδου Λαοδικείας κανὼν νζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τοῦ μὴ ποιεῖν τοὺς κληρικοὺς ἐκ συμβολῆς συμπόσια. Συνόδου Λαοδικείας κανὼν νέ.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς ἐκ χρόνου τάξεως τῶν ἐπισκόπων, καὶ πῶς οἱ κληρικοὶ καθέζονται, καὶ τιμῶτιν ἀλλήλους. Συνόδου Νικαίας κανὼν ιή. Συνόδου Λαοδικείας κ'. νστ'. Συνόδου Καρθαγένης κανὼν πστ'. πθ'. Συνόδου στ'. κανὼν ζ'.

ΤΙΤΛΟΣ Θ΄.

ΠΕΡΙ ΑΜΑΡΤΗΜΑΤΩΝ καὶ ΔΙΚΩΝ ΕΠΙΣΚΟΠΩΝ, ΚΑΙ ΚΛΗΡΙΚΩΝ, ΚΑΙ ΑΦΟΡΙΣΜΟΥ, ΚΑΙ ΚΑΘΑΙΡΕΣΕΩΣ, ΚΑΙ ΜΕΤΑΝΟΙΑΣ, ΚΑΙ ΠΟΙΑ ΑΜΑΡΤΗΜΑΤΑ Η ΧΕΙΡΟΘΕΣΙΑ ΛΥΕΙ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΤΙΝΕΣ, καὶ παρὰ τίσι κατηγοροῦσιν ἐπισκόπων ἢ κληρικῶν. Ἀποστόλων κανὼν οδ΄. Συνόδου τῆς ἐν Κωνσταντινουπόλει κανὼν στ΄. Συνόδου Χαλκηδόνος κανὼν θ΄. κά. Συνόδου Καρθαγένης κανὼν ή. ιά. ιβ΄. ιέ. λ΄. ρκή. ρκθ΄. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. ά.

Κείμενον.

Γενικῶς περὶ τῶν κωλυομένων κατηγορεῖν οἱουδήποτε προσώπου ἐπὶ δημοσίῳ ἐγκλήματι διαλαμβάνει βιβλίον θ΄. τοῦ κώδικος τίτ. ά. καὶ βιβλίον μή. τῶν διατάξεων τίτ. β΄. Περὶ δὲ ἐγκληματικῶν, καὶ κανονικῶν, καὶ χρηματικῶν ζητήσεων, εἴρηται ἐν τῷ κώδικι καὶ ταῖς νεαραῖς· φησὶ γὰρ βιβλίον ά. τίτ. β΄. διάτ. στ΄. ὅτι τὰς ἀναφυομένας κανονικὰς ἀμφισβητήσεις (1) ἐν ὅλῳ τῷ Ἰλλυρικῷ οὐ δεῖ τέμνεσθαι παρὰ γνώμην τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, καὶ τῆς αὐτῆς συνόδου, ἥτις ἔχει τὰ προνόμια τῆς ἀρχαίας Ῥώμης. Καὶ τίτ. γ΄. διάτ. κβ΄. ὅτι ὁ κατὰ συκοφαντίαν ἐπὶ παραστάσει παρὰ δικαστῇ προσφόρῳ αἰτιώμενος ἐπίσκοπον λ΄. δίδωσι λίτρας. Καὶ διάτ. κέ. τοῦ αὐτοῦ τίτ. ὅτι οἱ κληρικοὶ Κωνσταντινου-

(1) ζητήσεις Χ. Τρ.

πόλεως τῶν ἐναγόντων μὴ βουλομένων αὐτοῖς ἐνάγειν παρὰ τῷ πατριάρχῃ, παρὰ μόνοις τοῖς ἐπάρχοις δικάζονται ἐνάγοντες καὶ ἐναγόμενοι χρηματικῶς καὶ ἐγκληματικῶς ὑπὲρ ἰδικῶν καὶ ἐκκλησιαστικῶν. Καὶ οἱ μὲν κληρικοὶ τὸν οἰκονόμον ἢ τὸν ἐκκλησιέκδικον διδόασιν ἐγγυητὴν καὶ οὐχ ἕτερον ἕως ν'. λιτρῶν, καὶ ἐὰν ὑπερβαίνῃ τὸ πρᾶγμα ὁμολογίαν ἐνώμοτον ἐπὶ τῷ ὑπερβαίνοντι ποσῷ ποιοῦσιν.

Σχόλιον.

Ὁ ά. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικός ἐστι βιβλίον τῶν βασιλικῶν ξ'. τίτ. λδ'. κεφ. κγ'. καὶ μετὰ τὸ αὐτὸ κεφ. εἰσὶν ἕτερα κεφ. διδάσκοντα τίνες δύνανται κινεῖν ἐγκληματικὰ δικαστήρια, καὶ τίνες οὐ δύνανται· ἃ καὶ ἀνάγνωθι. Ὁ β'. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι βιβλίον ξ'. τίτ. λδ'. καὶ ζήτει τὸ ά. τούτου κεφ. καὶ ἑφεξῆς διάφορα* κεφάλαια* (1) περὶ ἐγκληματικῶν κατηγοριῶν διδάσκοντα. Ἡ ς'. διάτ. τοῦ β'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι τῶν βασιλικῶν βιβλίον έ. τίτ. ά. κεφ. στ'. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη. Τὸ παρὸν δὲ κεφ. διαλαμβάνει παρὰ τίσιν ὀφείλουσιν ἐνάγεσθαι χάριν ἐγκληματικῶν καὶ χρηματικῶν ὑποθέσεων ἐπίσκοποι καὶ κληρικοί. Γίνωσκε δὲ ὅτι ἐστὶ νεαρὰ τῶν εὐσεβῶν βασιλέων Κωνσταντίνου καὶ Ἡρακλείου διοριζομένη, μήτε ἐπίσκοπον, μήτε κληρικὸν, μήτε μοναχὸν, χρηματικῆς ἢ ἐγκληματικῆς χάριν αἰτίας παρὰ πολιτικῷ ἢ στρατιωτικῷ ἐνάγεσθαι ἄρχοντι, ἀλλὰ παρὰ μόνοις τοῖς ἰδίοις ἐπισκόποις, ἢ μητροπολίταις, ἢ πατριάρχαις. Τὰ αὐτὰ διορίζεται καὶ τὸ κατὰ τὸν Ἰούλιον μῆνα τῆς δ'. ἰνδικτιῶνος τοῦ ,ςφπθ'. ἔτους ἀπολυθὲν χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, προστιθέμενον ταῦτα ῥητῶς· Εἰ δὲ μερισμὸς ἐν τοῖς διαμαχομένοις (2) ἐστὶ, καὶ ὁ μὲν τῆς κοσμικῆς φαίνεται καταστάσεως, ὁ δὲ τῷ θείῳ κλήρῳ ἐγκατείλεκται, ὁ ἐνάγων τηνικαῦτα τῷ φόρῳ τοῦ ἐναγομένου ἐξάπαν-

(1) Χ. Τρ.—(2) ἐν τοῖς ἰδίοις Χ. Τρ.

τος ὑποκείσεται, καὶ ἕκαστος εἰς τὸ πρόσφορον δικαστήριον ἀπελεύσεται, εἰ μήπου πολλάκις τις τῶν ἁπάντων τὸ βασιλικὸν δικαστήριον ἐπιζητοίη. Τότε γὰρ σχολαζόντων ἁπάντων ἡ βασιλικὴ μεγαλειότης διαγνώσεται τῇ δίκῃ, καὶ τεμεῖ τὸ ἀμφίβολον. Ἀνάγνωθι καὶ τὸν ιέ. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὰ ἐν αὐτῷ. Ἡ κβ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. β'. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, καὶ ζήτει τοῦτο καταστρωθὲν εἰς τὴν ἑρμηνείαν τοῦ μά. κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου· ἡ δὲ κέ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

Σημείωσαι. Τοῦ τοιούτου δὲ χρυσοβούλλου ἡ περικοπὴ ἡ διοριζομένη προσδέχεσθαι πάντας τοὺς ἑλκομένους εἰς οἱονδηποτοῦν δικαστήριον, καὶ ζητοῦντας τοῦ βασιλικοῦ βήματος τὴν ἀκρόασιν, ἐσχόλασεν ἀπὸ μεταγενεστέρας προστάξεως τοῦ αὐτοῦ βασιλέως κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἀπολυθείσης κατὰ μῆνα Μάϊον, ἰνδικτιῶνος γ'. καὶ διοριζομένης (1) μετὰ τὸ προοίμιον ταῦτα ῥητῶς· Διορίζεται οὖν πᾶσιν ὑμῖν τοῖς τῶν δικαστηρίων προεστῶσιν ἡ βασιλεία μου, μηκέτι τὸ ἀπὸ τοῦδε προσέχειν οἱᾳδήτινι ἀντιγραφῇ κωλυούσῃ τινὰ τῶν δικαστῶν τὴν ἐπ' αὐτῷ καταπεμφθεῖσαν δίκην γυμνάζειν, κἂν διὰ κινναβάρεως ὑποσεσημασμένη τυγχάνῃ, κἂν τὴν κηρόβουλλον σφραγίδα φέρηται· ἀλλὰ μετὰ τὴν τοῦ λιβέλλου δόσιν, εἰ μὲν, ἐντὸς τῶν εἴκοσιν ἡμερῶν τῆς διασκέψεως, ὁ ἐπὶ τὸ δικαστήριον ἑλκόμενος λύσιν τῆς βασιλείας ἡμῶν πορίσηται, καὶ ἕτερον δικαστὴν τῷ ἐφ' ὃν πρότερον παρεπέμφθη ἡ δίκη παραζευγνύουσαν συνιέναι τοὺς ὁρισθέντας κατὰ ταυτὸν δικαστὰς, καὶ τὴν τομὴν (2) ἐπάγειν τοῖς ἀμφιβόλοις ἔννομον. Εἰ δ' ὁ τῶν εἴκοσιν ἡμερῶν παραδράμῃ χρόνος, μήτε συνδικαστὴν ἕτερον παραδέχεσθαι, ὅτι καὶ τῷ νόμῳ τοῦτο (3) δοκεῖ, μήτε μὴν προφάσει τοῦ ἐπὶ τὸ τῆς βασιλείας μου βῆμα ὁρισθῆναι ἴσως ἐς ὕστερον τὴν δίκην γενέσθαι εἰσα-

(1) καὶ διαλαμβανούσης Χ. Τρ. — (2) Χ. Τρ. — τὴν τὸ μὲν Ἐ. Ἰ. Β. — (3) Χ. Τρ. — τούτῳ Ἐ. Ἰ. Β.

γώγιμον ἐμποδίζεσθαι ὅλως εἰς τὴν διάγνωσιν, ἀλλὰ τέμνειν τὴν καταπεμφθεῖσαν τούτου ἀμφιβολίαν κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν, μὴ ἀποκλειομένου πάντως τῷ δικαζομένῳ τοῦ τῆς ἐκκλήτου δικαστηρίου, εἴ γε βεβλάφθαι οἴεται. Καὶ τοῦτο πάντες ὑμεῖς γινώσκοντες οἱ δικάζοντες σπεύδετε τὰς ἀνατεθειμένας ὑμῖν δίκας τηρεῖν, καὶ (1) τέλος ταύταις ἐπάγειν ἔννομον. Οὐ βούλεται δὲ ἡ βασιλεία μου μετὰ τὸ παραπεμφθῆναι ὅλως τινὶ τῶν δικαστῶν ὑπόθεσιν κατὰ πρόσταξιν αὐτῆς, ἐξ οἱασδήτινος μεταγενεστέρας γραφῆς ἐπιτρεπούπης εἰς τὴν βασιλείαν μου εἰσαχθῆναι τὴν δίκην, τὴν διάγνωσιν ἐμποδίζεσθαι, ἀλλὰ προβαίνειν ταύτην ἕως τέλους ἀνυποστόλως παρὰ τῷ αὐτῷ δικαστῇ, ἢ τοῖς ὡς ἀνωτέρω εἴρηται συνδεδομένοις τούτῳ συνδικασταῖς, ἐντὸς δηλ. τῆς τῶν κ'. ἡμερῶν διασκέψεως· μετὰ δὲ τὴν τῆς δίκης περαίωσιν τῷ ἀδικηθῆναι ἴσως οἰομένῳ ἐπ' ἀδείας εἶναι καὶ ἕτερον ἐπικαλέσασθαι κατ' ἔκλητον δικαστήριον, ἢ τὴν τοῦ κράτους ἡμῶν ζητῆσαι ἀκρόασιν.

Κείμενον.

Καὶ οἱ νόμοι γὰρ, καὶ οἱ κανόνες κωλύουσι κληρικὸν ὀμνῦναι, ὁ δὲ οἰκονόμος ἐναγόμενος οὐ δίδωσιν ἐγγυητὴν, καὶ αὐτὸς δὲ, καὶ οἱ κληρικοὶ δύο νομίσματα ὑπὲρ ὑπομνήσεως καὶ προβολῆς διδόασιν ἐντολέως, καὶ τὰ λοιπὰ δαπανήματα φειδωλότερον (2) ποιοῦσι. Καὶ ἡ λϐ'. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι οἱ ἐπίσκοποι, καὶ οἱ κληρικοὶ, καὶ οἱ μοναχοὶ διάξιμοι οὐ γίνονται, ἀλλὰ παρὰ τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν αὐτῶν ἐνάγονται· ἐν Κωνσταντινουπόλει δὲ εὑρισκόμενοι παρὰ μόνοις τοῖς ἐπάρχοις(3) ἐνάγονται, ἔνθα καὶ ἡ τιμὴ αὐτοῖς φυλάττεται, καὶ συνηγόρους λαμβάνουσιν. Ἐν δὲ ταῖς ἐπαρχίαις ὑπὲρ ἰδίων πραγμάτων ἐναγόμενοι * μόνους τοὺς οἰκονόμους * (4), ἢ τοὺς ἐκκλησιεκδίκους διδόασιν ἐγγυητάς. Παρὰ δὲ τοῖς

(1) Χ. Τ. — ὡς τέλος Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — φειδωλοτρῶς Ἐ. Ἰ. Β. — (3) Χ. Τρ. — ὑπάρχοις Ἐ. Ἰ. Β. — (4) Χ. Τρ. — οὐχ εὕρηνται ἐν Ἐ. Ἰ. Β.

ἐπάρχοις χρηματικῶς ἐναγόμενοι, ἢ ἀλλήλους ἐγγυῶνται, ἢ ἐνυποθήκους ποιοῦσιν ὁμολογίας. Ὑπὲρ δὲ τῶν ἐκκλησιαστικῶν μόνος ὁ οἰκονόμος ἐνάγεται, ὃν χρὴ παρὰ τοῦ ἐπισκόπου γίνεσθαι, καὶ δίδωσι τὸν ἐκκλησιέκδικον ἐγγυητήν. Καὶ ἐν μὲν τοῖς ἥττοσι δικαστηρίοις ὑπὲρ ὑπομνήσεως διδόασιν οἱ ἐπίσκοποι, καὶ οἱ κληρικοὶ τοῖς ἐκβιβασταῖς (1) οὐ πλέον τοῦ νομίσματος. Εἰ δὲ δι' ἐκβιβασ-οῦ τῶν ἐπάρχων ἀπὸ ψήφου αὐτῶν ὑπομνησθῶσιν ἐν ἐπαρχίᾳ (2), οὐ πλέον δύο νομισμάτων διδόασιν ὑπὲρ σπορτούλων. Ἐν Βυζαντίῳ δὲ νομίσματα γ'. δίδωσιν ὁ ἐξωτικὸς κληρικὸς ὑπὲρ σπορτούλων, ἐφ' ὁσῃδήποτε ποσότητι (3) ἐναγόμενος. Ὁ ἐκβιβαστὴς οἱονδήποτε κληρικὸν ὑβρίζων, ἢ σκύλλων, ἀποζώννυται καὶ ἐσχάτως τιμωρεῖται. Εἰ δέ τινες φανῶσιν ἀδίκως αὐτοῖς ἐνάγοντες, διδόασιν αὐτοῖς πάσας τὰς κατὰ πρόφασιν αὐτῶν ἐκ προοιμίου τῆς δίκης (4) προσγενομένας αὐτοῖς δαπάνας.

Σχόλιον.

Οὐχ εὑρίσκω νόμον ἢ κανόνα κωλύοντα, ἢ ἐπιτρέποντα τοὺς κληρικοὺς ὀμνύειν, μήποτε οὖν ἡ παροῦσα νομοθεσία ἀπεῖδε πρὸς τὸ ὑπὸ τοῦ κυρίου ἐν εὐαγγελίοις εἰρημένον περὶ τοῦ μὴ ὀμνύειν τινὰ, καὶ ἀντὶ τῆς ἁγίας γραφῆς νόμου καὶ κανόνος ἐμνήσθη. Ἡ δὲ λϐ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἀνάγνωθι καὶ τὸ ϐ'. σχόλιον τοῦ κζ'. κεφ. τοῦ παρόντος τίτλου.

Κείμενον.

Ἡ δὲ ν'. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι οἱ κληρικοὶ καλῶς ἐν συμβολαίῳ ἀπολέγουσι τῇ τοῦ φόρου παραγραφῇ. Γενικῶς γὰρ ἔξεστιν ἑκάστῳ τῶν ὑπὲρ ἑαυτοῦ καταφρονεῖν. Καὶ διάτ. ϐ'. τοῦ δ'. τίτ. τοῦ αὐτοῦ βιβλίου, ὅτι ἐὰν πρὸ τελείας ψήφου κληρικὸς ἐκκαλέσηται, τὴν

(1) ἐκϐιασταῖς Χ. Τρ. — (2) ἐπαρχίαις Χ. Τρ. — (3) Χ. Τρ. — ἐφ' ὅσον ϑήποτε πρᾶγμα Ἐ. Ἰ. Β. — (4) ἐκ προοιμίων Χ. Τρ.

ὡρισμένην ἐκ τούτου ποινὴν κατὰ τῶν ἄλλων τῶν ν'. τοῦ ἀργυρίου λιτρῶν, ὁ φίσκος οὐ λαμβάνει παρ' αὐτοῦ, ἀλλὰ τοῖς πένησι διανέμεται. Ἡ δὲ ζ'. διάτ. τοῦ αὐτοῦ τίτλου, ὅτι ἐπὶ μόνων χρηματικῶν μεταξὺ συναινούντων, οὐ μὴν καὶ ἀκόντων ἰσχυρῶς ἐπίσκοπος δικάζει. Καὶ διάτ. ή. ὅτι ἡ τῶν ἐπισκόπων ψῆφος ἔῤῥωται μεταξὺ τῶν ἐπιλεξαμένων αὐτοὺς, καὶ ἔοικε ταῖς ψήφοις τῶν ἐπάρχων, ἀφ' ὧν (1) ἐκκαλεῖσθαι οὐκ ἔξεστι. Καὶ διάτ. ιγ'. ὅτι βουλόμενος ὁ ἐνάγων, οὐ μὴν καὶ ἄκων, ἐνάγει παρὰ τῷ ἐπισκόπῳ Κωνσταντινουπόλεως, τῷ οἰκονόμῳ, καὶ τοῖς ἄλλοις αὐτοῦ κληρικοῖς, εἴτε πρὸς αὐτοὺς, εἴτε πρὸς τὴν ἐκκλησίαν ἔχει. Καὶ κθ'. διάτ. ὅτι μηδεὶς ἐκ πρώτης αἰτιάσθω κληρικὸν παρὰ τῷ πατριάρχῃ, ἀλλὰ παρὰ τῷ ἐπισκόπῳ αὐτοῦ. Εἰ δὲ πρὸς αὐτὸν ὑπόπτως ἔχει, παρὰ τῷ μητροπολίτῃ, εἰ δὲ κἀκεῖνος ὕποπτός ἐστι, δεῖ συνδικάζειν αὐτῷ ἐκ προσώπου τῆς ὅλης συνόδου, τρεῖς τοὺς κατὰ τὴν τάξιν τῆς χειροτονίας πρωτεύοντας· καὶ εἰ μὴ (2) στερχθῇ τὰ κεκριμένα τὸν τῆς διοικήσεως πατριάρχην ἐπικαλεῖσθαι, καὶ τοῖς παρ' ἐκείνου κεκριμένοις ἐμμένειν, ὡς ἂν εἰ ἐξ ἀρχῆς *αὐτὸς*(3) ἐδίκασεν· οὔτε γὰρ ἐκκαλοῦνται αἱ τῶν πατριαρχῶν ψῆφοι· τὸ αὐτὸ καὶ περὶ τῶν τοῖς ἐπισκόποις ἐναγόντων. Ἔξεστι δὲ παρὰ τῷ πατριάρχῃ αἰτιᾶσθαι (4), ἐφ' ᾧ διὰ γραμμάτων αὐτοῦ τὴν ὑπόθεσιν ἐπισκόπῳ παραπεμφθῆναι, καὶ οὐ πλέον δ'. κερατίων ὑπὲρ σπορτούλων λαμβάνει ὁ παρὰ πατριάρχου ἢ μητροπολίτου(5) πεμπόμενος κληρικὸς, ἢ ἔνθα ἐπίσκοπος ὁ πεμφθεὶς εἴη, οὐ πλέον τῶν ἓξ νομισμάτων, ἐφ' οἱαδήποτε αἰτίᾳ ἢ ποσότητι. Ὁ δὲ πατριάρχης ἀκροᾶται τῆς ἐκκλήτου τῶν ἐξ ἐπιτροπῆς αὐτοῦ δικασάντων ἐπισκόπων, ἢ μητροπολιτῶν. Ὁ δὲ παρὰ

(1) Χ. Τρ. — ἐφ' ὧν Β.— (2) εἰμὴ Β. ἐν περισελιδίῳ.—(3) Χ. Τρ. —ἀλλείπει ἐν Β. — (4) Χ. Τρ. — αἰτοῦσθαι Β. — (5) πατριάρχῃ ἢ μητροπολίτῃ Χ. Τρ.

ταῦτα ποιῶν διπλοῦν δίδωσι τὸ ὑπὲρ εἰσπραχθέν· καὶ γίνεται παρὰ τοῦ πατριάρχου, ἢ τοῦ μητροπολίτου, ὑπὸ ἐκκλησιαστικὸν ἐπιτίμιον, ἐκβαλλόμενος (1) τῶν ἐκκλησιαστικῶν καταλόγων. Ταῦτα μὲν ἔνθα πρὸς ἐκκλησιαστικὴν ὁρᾷ τὸ πρᾶγμα κατάστασιν. Εἰ δὲ πολιτικὴ εἴη ἡ ἀμφισβήτησις, οὐκ ἀναγκάζεται ὁ ἐνάγων, ἢ ὁ κατηγορῶν ταῦτα φυλάττειν, ἀλλ' ἄδειαν ἔχει παρὰ τοῖς ἄρχουσι κινεῖν. Ἡ δὲ δ'. διάτ. τοῦ αὐτοῦ τίτλου τῶν νεαρῶν φησιν, ὅτι ἐάν τις ἔχῃ δίκην χρηματικὴν πρὸς κληρικὸν, ἐντυγχανέτω τῷ ἐπισκόπῳ ὑφ' ὃν τελεῖ ὁ ἐναγόμενος, καὶ ἀγράφως κρινέτω ἀζημίως· καὶ εἰ βούλονται τὰ μέρη, γίνεται ψῆφος ἔγγραφος (2). Εἰ δὲ κατά τινα πρόφασιν οὐ δύναται τεμεῖν τὴν ὑπόθεσιν ὁ ἐπίσκοπος, τότε παρὰ τοῖς ἄρχουσιν ἡ δίκη λέγεται, φυλαττομένων τοῖς κληρικοῖς τῶν προνομίων. Εἰ δὲ περὶ ἐγκλημάτων ζητεῖται, εἰ μὲν πολιτικῶν, οἱ ἄρχοντες δικάζουσιν ἐν Βυζαντίῳ καὶ ταῖς ἐπαρχίαις, τῆς δίκης μετὰ προκάταρξιν μὴ ὑπερβαινούσης δύο μῆνας. Καὶ ἐὰν φανῇ ποινῆς ἄξιος ὁ κληρικὸς, πρότερον γυμνοῦται διὰ τοῦ ἐπισκόπου τῆς ἱερατικῆς ἀξίας, καὶ οὕτως ὑπὸ τὰς χεῖρας γίνεται τοῦ νόμου. Εἰ δὲ τὸ ἁμάρτημα ἐκκλησιαστικόν ἐστιν, ὁ ἐπίσκοπος κρινέτω κατὰ τοὺς κανόνας, οἷς τισι καὶ οἱ νόμοι ἕπονται, καὶ μὴ ἐπικοινωνείτωσαν οἱ ἄρχοντες τῇ ζητήσει. Καὶ ἡ ιέ. διάταξις τοῦ αὐτοῦ τίτλου φησὶν, ὅτι ὁ ἔχων πρός τινα τῶν ἀσκητῶν, ἢ παρθένων ἱερωμένων, ἢ γυναικῶν οὐσῶν ἐν μοναστηρίῳ τῷ ἐπισκόπῳ αὐτῶν προσίτω. Ὁ δὲ μετὰ σεμνότητος αὐτὸν ἢ αὐτὴν ἀγαγέτω διὰ τῶν ἡγουμένων, ἢ τῶν ἀποκρισιαρίων, ἢ ἑτέρων ἐπιεικῶν, καὶ σκοπείτω· ὁ ἄρχων δὲ πειρώμενος παρεμβαλεῖν ἑαυτὸν διαδέχεται (3), καὶ ζημιοῦται τῷ

(1) Χ. Τρ. —ἐμβαλλόμενος Β. — (2) Β. ἐν περισελιδίῳ.—ἄγραφος Χ. Τρ. — (3) Οὐ διαδέχεται διορθ. Β, ἐν περισελιδίῳ, ἡμεῖς νομίζομεν τοὐναντίον ὅτι τὸ ἀρ-

φίσκῳ δέκα λίτρας, ἅμα τῇ αὐτοῦ τάξει. Οἱ δὲ ἐκβιβασταὶ ἐγκλείονται εἰς τὰ κάγκελλα (1), καὶ προσηκόντως σωφρονίζονται, καὶ διὰ τῶν ἐπισκόπων κωλύονται τοῦ λοιποῦ ἐκβιβάζειν.

Σχόλιον.

Ἡ ν'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικός ἐστι κεφ. θ'. τοῦ γ'. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν. Τὸ δὲ ῥῆμα τὸ λέγον (2) ἐν τῷ κώδικι, γενικῶς γὰρ ἔξεστιν ἑκάστῳ τῶν ὑπὲρ ἑαυτοῦ καταφρονεῖν, οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ ϛ'. διάτ. τοῦ δ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἔστιν ἐν τοῖς βασιλικοῖς· οὐδὲ ἡ ζ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου, οὐδὲ ἡ ή. οὐδὲ ἡ ιγ'. οὐδὲ ἡ ιθ'. (3). Ἀνάγνωθι καὶ τὸ μδ'. κεφ. τοῦ. α'. τίτ. τοῦ γ'. βιβλίου μέρος ὂν τῆς ρκγ'. νεαρᾶς, καὶ λέγε κατὰ τοῦτο γίνεσθαι τοὺς ἐλκυσμοὺς πρότερον παρὰ τοῖς ἐπισκόποις. Τῷ δὲ ς'. κεφ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου μὴ προσχῇς, διάταξις γάρ ἐστι τοῦτο, καὶ ἀνῃρέθη ὑπὸ τῆς ῥηθείσης μεταγενεστέρας νεαρᾶς· ἀλλὰ μηδὲ ἑτέρᾳ Ἰουστινιανείῳ νεαρᾷ προσχῇς ἕτερόν τι λεγούσῃ, ὅτι οὐδὲ ἐτέθη εἰς τὰ βασιλικά, κἂν εὑρίσκηται. Ἀλλ' ὅσον μὲν εἰς τὸ πρῶτον παρὰ τοῖς ἐπισκόποις, καὶ τοῖς μητροπολίταις λαλεῖσθαι τὰς ὑποθέσεις, καὶ οὕτως ἔρχεσθαι αὐτὰς εἰς τὸν πατριάρχην, πρόσχες τῷ ῥηθέντι μδ'· κεφ. τοῦ α'. τίτ. τοῦ γ'. βιβλίου. Ὅσον δὲ εἰς τὸ μὴ ἔχειν μετουσίαν τινὰ τοὺς πολιτικοὺς, ἢ στρατιωτικοὺς ἄρχοντας κατὰ τῶν ἱερωμένων, πρόσχες τῇ νεαρᾷ τῶν βασιλέων Κωνσταντίνου, καὶ Ἡρακλείου, καὶ τῇ νεαρᾷ τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὧν μνείαν ἐποιησάμεθα ἐν τῇ καταρχῇ τοῦ παρόντος τίτλου. Ἀνάγνωθι καὶ τὸν ιε'. κανόνα τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ τὸν θ'. κανόνα τῆς ἐν Χαλκηδόνι, καὶ τὰ ἐν αὐτοῖς λύοντα πᾶσαν ἀμφιβολίαν. Τὸ πλάτος δὲ τῆς κθ'. διατ. ἥτις οὐ κεῖται εἰς τὰ βασιλικά, οὕτως ἔχει·

νητικὸν περιττὸν, διότι διαδέχεται ἐνταῦθα σημαίνει ἀντικαθίσταται δι' ἄλλου διαδόχου. Δ. Ἐκδ.

(1) εἰς τὸ καγκέλλιον Χ. Τρ. — (2) Χ. Τρ. — τὸ λεγόμενον Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β.

Κατὰ γὰρ τῶν τοιούτων ἐπισκοπικῶν ἀποφάσεων οὐκ εἶναι χώραν ἐκκλήτου τοῖς πρὸ ἡμῶν νενομοθέτηται. Ἡ μέντοι δ'. διάτ. ἐστὶ νεαρὰ πγ'. τοῦ βασιλέως Ἰουστινιανοῦ, οὐκ ἐτέθη δὲ εἰς τὰ βασιλικά· καὶ ἡ ιέ. διάτ. ἐστὶ νεαρὰ οθ'. καὶ οὐδὲ αὐτὴ ἐπεγνώσθη.

Κείμενον.

Γίνωσκε δὲ ὅτι ἡ β'. διάτ. τοῦ αὐτοῦ ά. τίτλου τούτων πασῶν ἰσχυροτέρα οὖσα, ὡς καὶ μεταγενεστέρα, φησίν, ὅτι ἐάν τις τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ κληρικοῦ κατηγορήσῃ ἐπὶ αἰτίᾳ δυναμένῃ κατὰ τοὺς νόμους καὶ τοὺς κανόνας ἐμποδίσαι τῇ χειροτονίᾳ, ἐπεχέσθω αὕτη (1), καὶ ὁ μέλλων χειροτονεῖν ἐξεταζέτω τὴν αἰτίαν παρόντος καὶ ἐπεξιόντος τοῦ κατηγόρου, ἢ ἀναβαλλομένου ἐπὶ τρεῖς μῆνας πληρῶσαι τὴν κατηγορίαν. Καὶ εἰ μὲν ἀνεύθυνος φανῇ, χειροτονείσθω, εἰ δὲ ὑπεύθυνος, ἐμποδιζέσθω. Ὁ δὲ κατήγορος μὴ ἀποδείξας ἢ ἀποφυγὼν, ἐκβάλλεται τῆς ἐπαρχίας ἐν ᾗ κατοικεῖ. Τῆς δὲ χειροτονίας πρὸ ἐξετάσεως γενομένης, ὁ μὲν χειροτονηθεὶς ἐξωθεῖται, ὁ δὲ χειροτονήσας ἐπὶ ἐνιαυτὸν τῆς ἱερᾶς λειτουργίας χωρίζεται, καὶ πᾶσα ἡ οὐσία αὐτοῦ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ προσκυροῦται. Τὰ αὐτά φησι καὶ ἡ ιζ'. διάτ. τοῦ αὐτοῦ τίτ. οὐ μόνον περὶ χειροτονίας ἐπισκόπων καὶ κληρικῶν, ἀλλὰ καὶ ἡγουμένων. Διαλλάττει δὲ λέγουσα, ὅτι ὁ κατήγορος μὴ ἀποδείξας (2) ἀλλ' ἀποστὰς, εἰ μὲν κληρικός ἐστιν, ἐξωθεῖται τοῦ βαθμοῦ αὐτοῦ, εἰ δὲ λαϊκὸς σωφρονίζεται· καὶ ὅτι γινομένης τῆς χειροτονίας πρὸ ζητήσεως, ὁ χειροτονήσας καὶ ὁ χειροτονηθεὶς τῆς ἱερωσύνης ἐξωθοῦνται.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. τοῦτο δὲ αὐτῆς τὸ κεφ. οὐκ ἐτέθη εἰς τὰ βασιλι-

(1) Χ. Τρ.— αὐτὴν Ἐ. Ἰ. Β. —(2) Χ. Τρ. — μὴ ὑποδείξας Ἐ. Ἰ. Β.

κά. Ἡ δὲ ιζ'. διάτ. τοῦ α'. τίτλου τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλζ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. η'. θέματι η'. καταστρωθέντι περὶ τὸ τέλος τοῦ η'. κεφ. τοῦ α'. τίτ. τοῦ παρόντος συντάγματος.

Κείμενον.

Ἡ δὲ αὐτὴ 6'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν, ὅτιό ἔχων δίκην πρὸς κληρικὸν, ἢ διακόνισσαν, ἢ μοναχὸν, ἢ μονάστριαν, ἢ ἀσκήτριαν, τῷ ἐπισκόπῳ αὐτῶν προσίτω, κἀκεῖνος κρινέτω· καὶ ἐὰν ἐφησυχάσῃ μέρος ἑκάτερον, ὁ ἐκβιβασμὸς (1) διὰ τοῦ ἄρχοντος γινέσθω. Εἰ δέ τις τῶν δικαζομένων εἴσω δέκα ἡμερῶν ἀντείπῃ, ὁ τῶν τόπων ἄρχων ἐξεταζέτω τὸ πρᾶγμα, καὶ ἢ βεβαιούτω τὴν ψῆφον, ἢ ἐκβιβαζέτω, μὴ δυναμένου τοῦ δεύτερον ἐπὶ τούτῳ ἡττηθέντος ἐκκαλεῖσθαι. Ἐναντίως δὲ τῷ ἐπισκόπῳ τοῦ ἄρχοντος ψηφιζομένου, ἡ τοῦ ἄρχοντος ψῆφος ὑπόκειται ἐκκλήτῳ, καὶ κατὰ τὸν νόμον ἀναφέρεται καὶ ἐξετάζεται. Ἐὰν δὲ ἀπὸ κελεύσεως ἢ προστάξεως δικάσῃ ἐπίσκοπος, ἡ ἔκκλητος τὴν ψῆφον αὐτοῦ ἐπὶ τὸν παραπέμψαντα τὴν ὑπόθεσιν ἀναφέρει. Ἐὰν ἔγκλημα κινεῖται κατά τινος τῶν εἰρημένων, εἰ μὲν παρὰ ἐπισκόπῳ (2) καὶ εὕρῃ τὴν ἀλήθειαν, ἐκβαλέτω αὐτὸν τοῦ βαθμοῦ, καὶ τηνικαῦτα ὁ πρόσφορος δικαστὴς αὐτὸν συνεχέτω, καὶ τὴν δίκην νομίμως ἐξετάζων ἐπιτιθέτω αὐτῇ πέρας. Εἰ δὲ πρῶτον παρὰ τῷ ἄρχοντι κινηθῇ, καὶ ἀποδειχθῇ, φανερούσθω τὰ ὑπομνήματα τῷ ἐπισκόπῳ, καὶ εἰ ἐξ αὐτῶν εὕρῃ τὸ πλημμέλημα, χωριζέτω αὐτὸν τοῦ βαθμοῦ, καὶ ὁ δικαστὴς ἐπιφερέτω αὐτῷ νόμιμον ἐκδίκησιν. Εἰ δέ γε νομίσῃ ὁ ἐπίσκοπος μὴ δικαίως συστῆναι τὰ πεπραγμένα, γινέσθω ὁ κατηγορηθεὶς ὑπὸ νόμιμον ἀσφάλειαν, μὴ ἐξωθούμενος τοῦ ἰδίου βαθμοῦ, ἕως ἂν ἡ

(1) Χ. Τρ.—ἐκδοιασμὸς Ἐ. Ἰ. Β.—ἐκβιβασμὸς Β. ἐν περισελιδίῳ.—(2) Χ. Τρ. —ἐπισκόπου Ἐ. Ἰ. Β.

βασιλεία τῆς ὑποθέσεως ἐν εἰδήσει διὰ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος γινομένη (1) κελεύσῃ τὸ φαινόμενον αὐτῇ. Ἐὰν ὁ ἐπίσκοπος ὑπερτίθηται ἐπὶ τοῖς χρηματικοῖς δικάσαι (2), ἄδειαν ἔχει (3) ὁ ἐνάγων προσιέναι τῷ ἄρχοντι, ὁ δὲ αἰτιαθεὶς οὐ δίδωσιν ἐγγυητὴν, ἀλλ' ὁμολογίαν ποιεῖ ἐνυπόθηκον ἄνευ ὅρκου. Ἐπὶ μὲν τοῖς ἐγκληματικοῖς ὑπὸ τὴν νόμιμον ἀσφάλειαν τὸ κατηγορούμενον πρόσωπον γίνεται· ἐπὶ δὲ τοῖς ἐκκλησιαστικοῖς, ὁ ἐπίσκοπος κατὰ τοὺς κανόνας σκοπεῖ, τοῦ ἄρχοντος μηδεμίαν ἔχοντος μετουσίαν. Ἐπίσκοποι τῆς αὐτῆς συνόδου πρὸς ἀλλήλους ἔχοντες δίκην παρὰ τῷ μητροπολίτῃ αὐτῶν, καὶ ἑτέροις ἐπισκόποις τῆς αὐτῆς συνόδου δικάζονται, καὶ εἰ μὴ μέρος ἑκάτερον ἐμμένει, ὁ πατριάρχης αὐτῶν σκοπεῖ, οὐδενὸς τοῖς παρ' αὐτοῦ τυπουμένοις ἀντιλέγειν δυναμένου. Τὸ αὐτό ἐστι κἂν κληρικὸς κατὰ τοῦ ἐπισκόπου αὐτοῦ προσέλθῃ. Προσελεύσεως δὲ κατὰ μητροπολίτου γινομένης, ὁ πατριάρχης αὐτοῦ ὁμοίως σκοπεῖ. Ἐπίσκοπος δικαζόμενος οὔτε ἐγγύας δίδωσιν, οὔτε ὁμολογίας ποιεῖ. Οἱ οἰκονόμοι, καὶ πτωχοτρόφοι, καὶ νοσοκόμοι, καὶ οἱ τοιοῦτοι τῷ ἰδίῳ ἐπισκόπῳ ὑπόκεινται, καὶ τὸ φαινόμενον ἐποφείλειν αὐτοὺς ἀπαιτοῦνται, μὴ δυνάμενοι πρὸ τῆς ἀπαιτήσεως, εἰς ἄλλο δικαστήριον ἀναχωρεῖν· ἀλλὰ μετὰ τὴν ἀπαίτησιν, ἐὰν νομίσωσι βεβλάφθαι, εἰ μὲν ἐπίσκοπός ἐστιν ὁ κρίνας, ὁ μητροπολίτης ἐξετάζει· εἰ δὲ ὁ μητροπολίτης ἔκρινεν, ὁ πατριάρχης σκοπεῖ· εἰ δὲ πρὸ τῆς τῶν λογισμῶν ποιήσεως καὶ τῆς ἀπαιτήσεως τελευτήσῃ τις τῶν εἰρημένων, οἱ (4) κληρονόμοι αὐτοῦ ὑπόκεινται.

Σχόλιον.

Ἡ ϛ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν, ὡς εἴπομεν, οὖσα

---

(1) Χ. Τρ.—γινομένης Ἑ. Ἰ. Β.(2) δικαστηρίοις Ἑ. Ἰ. Β.—(3) Χ, Τρ.—ἰχέτω ἄδειαν Ἑ. Β. (4) Χ. Τρ.— ἐλλείπει τὸ, οἱ Ἑ. Ἰ. Β.

νεαρὰ Ἰουστινιάνειος ρκγ'. καὶ κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. λζ'. λη'. λθ'. μέχρι τοῦ μ'. διαλαμβάνει ὅσα συνωψίσθησαν.

Κείμενον.

Ὁμοίως βιβλίον ά. τίτ. ά. διάτ. μά. ἤτις φησὶν ὅτι κατ' ἐνιαυτὸν ὁ οἰκονόμος τὸν λόγον τῆς αὐτοῦ διοικήσεως παρατίθεται τῷ ἐπισκόπῳ. Ἡ δὲ κδ'. διάτ. τοῦ β'. τίτ. τοῦ αὐτοῦ βιβλίου λέγει, ὅτι δεῖ τοὺς οἰκονόμους Κωνσταντινουπόλεως κατὰ μῆνα, ἢ τὸ μήκιστον ὑπὲρ δύο, λόγους ποιεῖν (1) πρὸς τοὺς ἀρχαρίους, ἐπεὶ κινδυνεύουσιν.

Σχόλιον.

Ἡ μα'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά· οὐδὲ ἡ κδ'. διάτ. τοῦ β'. τίτ. τοῦ αὐτοῦ βιβλίου.

Κείμενον.

Ἐξ ἐπαρχίας ἐν Κωνσταντινουπόλει εὑρισκόμενος ἐπίσκοπος ἢ κληρικὸς τοῖς ἐνάγουσι παρὰ μόνοις τοῖς ἐπάρχοις τῶν πραιτωρίων, ἢ τῷ παρὰ τῆς βασιλείας ἀφοριζομένῳ ἀπολογεῖται, εἰ μὴ ἐπὶ χώρας ἤρχθη ἡ ὑπόθεσις, τότε γὰρ ἐκεῖ πληροῦται. Οἱ τῶν ἐκκλησιῶν εὐλαβεῖς ἀποκρισιάριοι οὐκ ἐνάγονται *ἢ ἀπαιτοῦνται* (2) ὑπὸ τῶν ἐπισκόπων ἢ τῶν ἐκκλησιῶν χάριν δημοσίου ἢ ἰδιωτικοῦ χρέους, εἰ μὴ ἐξ ἐντολῶν τῶν ἐπισκόπων ἢ τῶν οἰκονόμων ἐνάγουσί τισι· τότε γὰρ μόνον αὐτῶν τὰς ἐναγωγὰς ὑποδέχονται. Εἰ δὲ καὶ ἐνόχους ἑαυτοὺς καταστήσουσιν ἐν τῷ ποιεῖν τὰς ἀποκρίσεις, δέχονται τὰς παρὰ τούτων ἐναγωγάς. Οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ διὰ πρεσβείαν ἢ χειροτονίαν ἀποδημοῦντες οὐκ ἐνάγονται, μέχρις ἂν ἐπιστρέψωσι, μὴ βλαπτομένων τῶν ἐχόντων

(1) Χ. Τρ. — λογοποιεῖν Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β.

αὐτοὺς ὑπευθύνους ἐκ τῆς αὐτῶν ἀπολείψεως περὶ χρονίαν παραγραφήν. Αἱ ὑπομνήσεις καὶ οἱ ἐκβιβασμοὶ μετὰ τιμῆς προσαγέσθωσαν τοῖς κληρικοῖς, καὶ μοναχοῖς, καὶ ἀσκητρίαις, καὶ ἀσκητρίοις ἐπὶ τοῖς χρηματικοῖς, ἰδιωτικοῖς καὶ δημοσίοις. Καὶ μονάστρια μὲν ἢ ἀσκήτρια τοῦ μοναστηρίου μὴ ἀφελκέσθω, ἀλλὰ δι' ἐντολέως κρινέσθω· ὁ δὲ μοναχὸς τὰς ἰδίας ἢ τὰς τοῦ μοναστηρίου, εἴτε δι' ἑαυτοῦ, εἴτε δι' ἐντολέως θέλει. Εἰ δὲ παρὰ ταῦτα γένηται, ὁ δικαστὴς ἀποζώννυται, καὶ πέντε λίτρας τοῖς πριβάτοις δίδωσι, καὶ ὁ ἐκβιβασθεὶς βασανίζεται καὶ ἐξορίζεται παρουσίᾳ τοῦ ἐπισκόπου, ὅστις καὶ ἀναφέρει τῷ ἄρχοντι ὑπερτιθεμένου τὴν ἐκδίκησιν. Ὑπὲρ δὲ ὑπομνήσεως *χρηματικῆς*(1) ἢ ἐγκληματικῆς (2), τὰ τοιαῦτα πρόσωπα ἔντε Κωνσταντινουπόλει καὶ ὁπουδήποτε *οὐ* (3) πλέον τῶν τεσσάρων κερατίων διδόασιν. Εἰ δὲ κατὰ κέλευσιν βασιλικὴν, ἢ παρὰ ἄρχοντι, ἢ πατριάρχῃ σταλῇ τις εἰς ὑπόμνησιν αὐτῶν, οὐ πλέον λήψεται ἑνὸς νομίσματος. Εἰ δὲ πολλὰ τοιαῦτα πρόσωπα ἐπὶ μιᾷ καὶ τῇ αὐτῇ αἰτίᾳ ὑπομνησθῶσιν, ἑνὸς μόνου προσώπου διδόασιν. Ἐπίσκοπος ὑπὲρ τῶν ἰδίων πραγμάτων ἐναγόμενος δίδωσι σπόρτουλα, ὑπὲρ δὲ τῆς ἐκκλησίας αὐτοῦ μὴ ὀχλείσθω, ἀλλ' ὁ οἰκονόμος, ἢ ὁ ἐπὶ τούτῳ προβαλλόμενος. Ὁ δὲ παρὰ ταῦτα σπόρτουλα λαβὼν τὸ διπλοῦν ἀναδίδωσι, καὶ ὑπόστρατος (4) μὲν ὢν ἀποζώννυται, κληρικὸς δὲ καθαιρεῖται. Ἐπίσκοπος οὔτε ἐπὶ χρηματικῇ οὔτε ἐγκληματικῇ δίκῃ, χωρὶς κελεύσεως βασιλικῆς, διάγεται, ἢ παρίσταται· ὁ δὲ παρὰ ταῦτα προσάξας, ἢ ἐγγράφως ἢ ἀγράφως, καὶ ἀποζώννυται, καὶ εἴκοσι λίτρας ζημιοῦται τῇ ἐκκλησίᾳ τοῦ ἐπισκόπου, καὶ ὁ ἐκβιβαστὴς

---

(1) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β. — (2) ἐκκλησιαστικῆς Χ. Τρ. — (3) Χ. Τρ. — ἐλλείπει ὁ οὐ ἐν Ἰ. Β, — ὁ δὲ Ἑ. γράφει οὐ διδόασι. — (4) ὀπὸ στρατείαν Χ. Τρ.

ἀποζώννυται, καὶ βασανιζόμενος ἐξορίζεται. Καὶ ἡ ἑπτακαιδεκάτη διάταξις τοῦ πρώτου τίτλου τῶν νεαρῶν φησιν, ὅτι ἐπισκόπου κατηγορουμένου ὁ μητροπολίτης κρίνει· εἰ δὲ μητροπολίτης κατηγορεῖται, ὁ πατριάρχης αὐτοῦ σκοπεῖ· εἰ δὲ κληρικὸς, ἢ μοναχὸς, ὁ ἐπίσκοπος αὐτοῦ· καὶ ὁ πταίσας κανονικῶς σωφρονίζεται (1) τῷ κρίματι τοῦ ἐξετάζοντος. Ἡ δὲ περὶ τοποτηρητῶν ρλδ'. νεαρὰ λέγει, ὅτι μονάστρια δι' οὐδεμίαν ἀγωγὴν ἐκ τοῦ ἰδίου μοναστηρίου ἕλκεται.

Σχόλιον.

Ἀπὸ τοῦ παρόντος χωρίου ἄρχεται ἡ ρκγ'. νεαρὰ κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. α'. κεφ. μζ'. μή. μθ'. ν'. νά. νϐ'. καὶ νγ'. καὶ ἔχουσι τὰ συνοψισθέντα ὡς ἐν τῷ πλάτει περιέχονται· καὶ ἀνάγνωθι ταῦτα. Τὸ δὲ ἐπίσκοπον χωρὶς κελεύσεως βασιλικῆς μὴ διάγεσθαι, ἢ παρίστασθαι, κεῖται ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. ιζ'. ἔχοντι ὡς συνωψίσθη. Ἡ ιζ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλζ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. κ'. περὶ τὰ μέσα οὕτως ἔχοντι ὡς εἰς τὸ κείμενον ἐγράφη. Ἡ ρλδ'. νεαρὰ κεῖται ἐν βιβλίῳ στ'. τίτ. ιθ'. κεφ θ'. θέματι έ. λέγει δὲ τὸ ή. ταύτης κεφ. οὕτω ῥητῶς· Μονάστριαν μέντοι ἢ ἀσκήτριαν, δι' οὐδεμίαν ἀγωγὴν ἀφέλκεσθαι συγχωροῦμεν ἐκ τῶν οἰκείων μοναστηρίων ἢ ἀσκητηρίων.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πόσοι καὶ τίνες καταμαρτυροῦσιν ἐπισκόπων, ἢ κληρικῶν. Ἀποστόλων κανὼν οέ. Συνόδου Χαλκηδόνος κανὼν κά. Συνόδου Καρθαγένης κανὼν νθ'. ρκή. ρκθ'. ρλ'. καὶ ρλά.

(1) εὐθύνεται Χ. Τρ.

Κείμενον.

Ὁποίους δεῖ εἶναι τοὺς ἐν δίκῃ μαρτυροῦντας, διδάσκει ὁ έ. τίτλος τοῦ κβ'. βιβλίου, καὶ ὁ κ'. τίτλος τοῦ δ'. βιβλίου τοῦ κώδικος, καὶ ἡ περὶ μαρτύρων ιδ'. νεαρά. Ἡ δὲ θ'. διάτ. τοῦ αὐτοῦ κ'. τίτλου φησὶν, ὅτι εἷς μόνος οὐκ ἀκούεται, κἂν μέγας εἴη ἀξιωματικός. Αἱρετικὸς δὲ καθόλου οὐ καταμαρτυρεῖ ὀρθοδόξου, εἰ μὴ περὶ βουλευτικῆς καταστάσεως ὁ ὀρθόδοξος ἐνάγεται, ὡς βιβλίον ά. τοῦ κώδικος τίτ. έ. διάτ. κά. καὶ ἐν τῇ περὶ βουλευτῶν καὶ ταξεωτῶν αἱρετικῶν με'. νεαρᾷ, ἥτις ἀνήνεκται ἐν τοῖς παρατίτλοις τοῦ γ'. τίτλου τῶν νεαρῶν.

Σχόλιον.

Ὁ έ. τίτλος τοῦ κβ'. βιβλίου τῶν διατ. ἐστὶ τίτ. α'. τοῦ κα'. βιβλίου τῶν βασιλικῶν, καὶ λέγει τὸ ά. αὐτοῦ (1) κεφ. Ἀξιοπίστους εἶναι δεῖ τοὺς μάρτυρας, καὶ παράγονται ἐπὶ χρηματικοῖς *καὶ ἐγκληματικοῖς* (2) οἱ μὴ κεκωλυμένοι ἀπὸ τοῦ νόμου ἢ ἐξκουσατευόμενοι. Ὁ κ'. τίτ. τοῦ δ'. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κά. τοῦ ά. τίτ. τοῦ κά. βιβλίου οὕτως ἔχον· Ἀπόβλητος εἰς μαρτυρίαν γίνεται ὁ καταδικασθεὶς ἐπὶ τῷ ποιῆσαι (3) ταραχώδη φλυαρίαν. Ἡ περὶ μαρτύρων ιδ'. νεαρὰ ἐτέθη ἐν βιβλίῳ τῶν βασιλικῶν κά. κεφ. μς'. οὕτως ἔχουσα, περὶ τὴν ἀρχήν· Θεσπίζομεν καὶ μάλιστα ἐπὶ τῆς μεγάλης ταύτης καὶ εὐδαίμονος πόλεως· καὶ ἀνάγνωθι ταύτην σφόδρα οὖσαν ἀναγκαίαν, καὶ πολλὰ περὶ τῶν ὀφειλόντων μαρτυρεῖν διδάσκουσαν. Ἡ θ'. διάτ. τοῦ κ'. τίτ. τοῦ δ'. βιβλ. τοῦ κώδικος ἐτέθη ἐν βιβλίῳ τῶν βασιλικῶν κά. τίτ. α'. κεφ. λγ'. θέματι β'. οὕτως ἔχοντι· Δεῖ τοὺς μάρτυρας πρότερον ὀμνύναι, πρὶν ἢ μαρτυρήσωσι. Δεῖ δὲ τοῖς τιμιωτέροις μᾶλλον πιστεύειν· ἑνὸς δὲ μαρτυρία οὐκ ἔστι δεκτὴ ἐν οἱαδήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη. Ἡ κά. διάτ. τοῦ ε'. τίτ. τοῦ α'. βιβλ.

---

(1) Χ. Τρ. — τὸ αὐτὸ ά. κεφ. Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — ἐπὶ τὸ ποιῆσαι Ἑ. Ἰ. Β.

τοῦ κώδικός ἐστι βιβλ. κά. τῶν βασιλικῶν, τίτ. α'. κεφ. μέ. οὕτως ἔχον· Τῶν αἱρετικῶν οἱ μὲν Μανιχαῖοι, ἢ Βορβορῖται, ἢ Ἕλληνες, ἢ Σαμαρεῖται, ἢ Μοντανισταὶ, ἢ Τασκοδρουγῖται, ἢ Ὀφῖται, καὶ οἱ τὴν Ἰουδαϊκὴν θρησκείαν σέβοντες ἐν μηδενὶ μαρτυρείτωσαν. Οἱ δὲ λοιποὶ πάντες ἐν δικαστηρίῳ μὲν ὀρθόδοξον ἔχοντι ἀντίδικον μὴ δεχέσθωσαν· ἐν δὲ τοῖς λοιποῖς πᾶσι συνκλλάγμασιν, ἢ διαθήκαις, ἢ δικαστηρίοις, αἱρετικοὺς ἔχουσιν ἀντιδίκους, ἀδιαστίκτως μαρτυρείτωσαν τοῦ πλάτους χάριν τῶν ἀποδείξεων. Τὰ δὲ ἐν τῇ τοιαύτῃ διατάξει περιεχόμενα περὶ τῆς βουλευτικῆς τάξεως, καὶ καταστάσεως, οὐκ ἐτέθησαν ἐν τοῖς βασιλικοῖς, ἀλλ' οὐδὲ ἡ μέ. Ἰουστινιάνειος νεαρὰ ἡ ἐν τοῖς παρατίτλοις κειμένη.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐάν τις ἐπὶ πολλοῖς ἐγκλήμασι κληρικοῦ κατηγορήσας μὴ ἀποδείξῃ τὸ προτεθὲν πρῶτον κεφάλαιον. Συνόδου Καρθαγένης κανὼν ρλ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν μὴ πειθαρχούντων τοῖς οἰκείοις ἐπισκόποις· καὶ περὶ ἐπισκόπου δεχομένου τὸν ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἐκβληθέντα, ἢ ἀπὸ κοινωνίας γενόμενον. Συνόδου Ἀντιοχείας κανὼν έ. ς'. Συνόδου Καρθαγένης κανὼν θ'. κθ'. ξβ'. οθ'. ρκβ'. καὶ ρλή.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ δικῶν ἐπισκόπων, καὶ κληρικῶν. Ἀποστόλων κανὼν οδ'. Συνόδου Ἀντιοχείας κανὼν ιδ'. ιέ. Συνόδου Χαλκηδόνος κανὼν θ'. ιζ'. Συνόδου Σαρδικῆς κανὼν γ'. έ. ιδ'. Συνόδου Καρθαγένης κανὼν ιέ. κή. ρκ'. ρκά. καὶ ρκή.

Κείμενον.

Τὰ ὀφείλοντα ἐν τούτῳ τῷ κεφαλαίῳ παραγραφῆναι συνῆψα ταῖς παραγραφαῖς τοῦ προλαβόντος κεφαλαίου· ζητῶν οὖν περὶ χρηματικῶν ἢ ἐγκληματικῶν δικῶν, ἐκεῖνα (1) ἀνάγνωθι.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ ἀναψηλαφήσεως ψήφων ἐπισκόπων. Συνόδου Ἀντιοχείας κανὼν στ'. Συνόδου Σαρδικῆς κανὼν γ'. δ'. έ. ιδ'. Συνόδου Καρθαγένης κανὼν ιδ'. ιέ. κή. οθ'. μς'. ρκβ'. ρκέ.

Κείμενον.

Ἡ ή. διάταξις τοῦ δ'. τίτλου τοῦ ά. βιβλίου φησίν, ὅτι αἱ τῶν ἐπισκόπων ψῆφοι ταῖς τῶν ἐπάρχων (2) ἐοίκασιν, ἀφ' ὧν ἐκκαλεῖσθαι οὐκ ἔξεστι. Καὶ ἡ κθ'. διάταξις τοῦ αὐτοῦ τίτλου, ὅτι εἴτε μόνος μητροπολίτης, εἴτε μετὰ τῆς συνόδου αὐτοῦ δικάσει ἐπισκόπους, ἢ κληρικοὺς (3), καὶ εἰ μὴ στερχθῇ τὰ τετυπωμένα, ὁ τῆς διοικήσεως πατριάρχης σκοπεῖ, καὶ τοῖς ἐξ αὐτοῦ κεκριμένοις ἐμμένουσιν, ὡσανεὶ αὐτὸς ἐξ ἀρχῆς ἐδίκασεν· οὔτε γὰρ ἐκκαλοῦνται αἱ τῶν πατριαρχῶν ψῆφοι. Τὸ αὐτὸ καὶ ἡ β'. διάταξις τοῦ ά. τίτλου τῶν νεαρῶν, ἥ τις φησὶν ὡς εἴ τις τῶν παρὰ ἐπισκόπων δικαζομένων, εἴσω ί. ἡμερῶν ἀντείποι, ὁ τῶν τόπων ἄρχων ἐξεταζέτω τὸ πρᾶγμα, καὶ ἡ βεβαιούτω τὴν ψῆφον καὶ (4) ἐκβιβαζέτω, μὴ δυναμένου τοῦ δεύτερον ἐπὶ τούτῳ ἡττηθέντος ἐκκαλεῖσθαι. Ἐναντίως δὲ τῷ ἐπισκόπῳ τοῦ ἄρχοντος ψηφιζομένου, ἡ τοῦ ἄρχοντος ψῆφος ὑπόκειται ἐκκλήτῳ, καὶ κατὰ τὸν νόμον

---

(1) ἐκεῖσε X. Τρ. — (2) X. Τρ. — ὑπάρχων Ἐ. Ἰ. Β. — (3) X. Τρ. — ἐπισκόπῳ ἢ κληρικῷ Ἐ. Ἰ. Β. — (4) X. Τρ.—καὶ ἐμβιβαζέτω Ἐ. Ἰ. Β.

ἀναφέρεται, καὶ ἐξετάζεται. Ἐὰν δὲ ἀπὸ κελεύσεως ἢ προστάξεως δικάσῃ ἐπίσκοπος, ἡ ἔκκλητος τὴν ψῆφον αὐτοῦ ἐπὶ τὸν παραπέμψαντα τὴν ὑπόθεσιν ἀναπέμπει.

Σχόλιον.

Ἡ ἡ. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου οὐ κεῖται εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ κθ'. διάτ. τοῦ αὐτοῦ τίτ. Ἡ ϐ'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ἐστι κεφ. λγ'. (1) τῆς ρκγ'. νεαρᾶς, ὅπερ τεθὲν ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. μδ'. φησὶ τὰ αὐτὰ σχεδὸν ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν· πλὴν ἐν τῷ τέλει τοῦ αὐτοῦ κεφ. φησὶν ἡ νεαρὰ ταῦτα· Εἰ δὲ ἐκκλησιαστικὸν εἴη τὸ πρᾶγμα, μηδεμίαν κοινωνίαν ἐχέτωσαν οἱ πολιτικοὶ ἄρχοντες πρὸς τὴν τοιαύτην ὑπόθεσιν, ἀλλ' οἱ ὁσιώτατοι ἐπίσκοποι κατὰ τοὺς ἱεροὺς κανόνας τῷ πράγματι πέρας ἐπιτιθέτωσαν. Ἀνάγνωθι καὶ τὸ μ'. κεφ. τοῦ α'. τίτ. τοῦ γ'. βιβλ. τῶν βασιλικῶν, μέρος ὂν τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, καὶ λέγον ταῦτα· Εἰ δέ τινες ὁσιώτατοι ἐπίσκοποι τῆς αὐτῆς συνόδου ἀμφισβήτησίν τινα πρὸς ἀλλήλους ἔχοιεν, εἴτε ὑπὲρ ἐκκλησιαστικοῦ δικαίου, εἴτε ὑπὲρ ἄλλων τινῶν πραγμάτων, πρότερον ὁ μητροπολίτης αὐτῶν μεθ' ἑτέρων δύο ἐκ τῆς αὐτῆς συνόδου ἐπισκόπων τὸ πρᾶγμα κρινέτω· καὶ εἰ μὴ ἐμμένοιεν ἑκάτερον μέρος τοῖς κεκριμένοις, τηνικαῦτα ὁ μακαριώτατος πατριάρχης τῆς διοικήσεως ἐκείνης μεταξὺ αὐτῶν ἀκροάσθω, κἀκεῖνα ὁριζέτω, ἅτινα τοῖς ἐκκλησιαστικοῖς κανόσι καὶ τοῖς νόμοις συνάδει, οὐδενὸς μέρους κατὰ τῆς ψήφου αὐτοῦ ἀντιλέγειν δυναμένου, καὶ τὰ ἑξῆς.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἐὰν ἐπίσκοπος ἔχων πρὸς συνεπίσκοπον (2) μὴ δικάσηται, ἀλλὰ χειρὶ πράξῃ. Συνόδου Καρθαγένης κανὼν ρκ'.

(1) Χ. Τ. λστ'. Ε. Ἰ.— ὁ δὲ Β. ἐν περισελιδίῳ λγ'. — (2) ἐπίσκοπον Χ. Τρ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Πότε δύναται ἐπίσκοπος κινεῖν ἐπισκόπῳ παρὰ ἄρχοντι πολιτικῷ. Συνόδου Καρθαγένης κανὼν μή.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἀδίκως ἐκβαλλομένων ἐπισκόπων καὶ κληρικῶν. Συνόδου Νικαίας τὸ β'. κανὼν δ'. Συνόδου Σαρδικῆς ιδ'. ιή. ιθ'.

Κείμενον.

Ἡ κγ'. διάταξις τοῦ γ'. τίτλου τοῦ ά. βιβλίου τοῦ κώδικος δέχεται τὴν μνήμην Φλαβιανοῦ, καὶ ἐκβάλλει Εὐτυχέα. Ἡ δὲ λή. διάταξις τοῦ αὐτοῦ τίτλου φησίν, ὅτι οὐ δεῖ τοὺς ἐπισκόπους ἢ τοὺς κληρικοὺς ἀναγκάζειν τινὰς καρποφορεῖν, ἢ ἀγγαρείας διδόναι, ἢ ἐπηρεάζειν, ἢ ἀφορίζειν, *ἢ ἀναθεματίζειν* (1), ἢ μὴ βαπτίζειν, ἢ *μὴ* (2) διδόναι κοινωνίαν διὰ ταῦτα, κἂν ἔθος ἐκράτησεν. Ὁ δὲ παραβαίνων ἐκπίπτει τῆς ἐκκλησίας καὶ τῆς διοικήσεως αὐτῆς, καὶ δίδωσι ι'. λίτρας. Ταῦτα δὲ κρατεῖ ἐν μόνῃ τῇ βασιλευούσῃ καὶ τῇ ἐνορίᾳ αὐτῆς, καὶ τοῖς ἀνήκουσι τόποις μητροπολίταις ὑπὸ τοῦ πατριάρχου χειροτονουμένοις, ἢ τοῖς ἐξ ἐκείνων γινομένοις ἐπισκόποις. Καὶ ἡ β'. διάταξις τοῦ ά. τίτλου τῶν νεαρῶν φησιν, ὅτι ἐπίσκοπος ἢ πρεσβύτερος χωρὶς κανονικῆς αἰτίας ἀφορίζων τινὰ τῆς κοινωνίας, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, αὐτὸς ἀκοινώνητος γίνεται ἐφ' ὅσον χρόνον ὁ ἱερεὺς ὑφ' ὃν τελεῖ συνίδοι (3).

Σχόλιον.

Ἡ κγ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ

(1) Χ. Τρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. Ἑ. — ὁ μὴ οὐχ εὕρηται ἐν Ἰ. Β — (3) Χ. Τρ. — συνεῖδεν Ἑ. Ἰ. Β.

ἐτέθη εἰς τὰ βασιλικά· οὐδὲ ἡ λή. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ μὴ προσχῇς τούτοις. Ἡ δὲ ϛ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. καὶ κεῖται ἐν βιβλίῳ τῶν βασιλικῶν γ'. τίτ. ά. κεφ. κα'. οὕτως ἔχουσα· Πᾶσι δὲ τοῖς ἐπισκόποις, ἢ πρεσβυτέροις ἀπαγορεύομεν μὴ ἀφορίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν ἢ αἰτία δειχθῇ, δι' ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γενέσθαι κελεύουσιν. Εἰ δέ τις παρὰ *ταῦτα* (1) τῆς ἁγίας κοινωνίας τινὰ χωρίσοι, ἐκεῖνος μὲν, ὃς ἀδίκως ἀπὸ τῆς κοινωνίας ἐχωρίσθη, λυομένου τοῦ δεσμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, τῆς ἁγίας ἀξιούσθω κοινωνίας· ὁ δὲ ἀδίκως τινὰ τῆς ἁγίας κοινωνίας τολμήσας χωρίσαι, πᾶσι τρόποις ὑπὸ τοῦ ἱερέως, ὑφ' ὃν τέτακται, χωρισθήσεται τῆς κοινωνίας, ἐφ' ὅσον χρόνον συνίδοι ἐκεῖνος, ἵνα, ὅπερ ἀδίκως ἐποίησε, δικαίως ὑπομείνῃ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν ἀφοριζομένων, ἢ ἐκβαλλομένων τῆς ἐκκλησίας, ἢ τῆς κοινωνίας. Ἀποστόλων κανὼν ιϐ'. ιγ'. λϐ'. νά. Συνόδου Νικαίας κανὼν έ. ιϐ'. ιγ'. Συνόδου Ἀντιοχείας κανὼν στ'. Συνόδου Λαοδικείας κανὼν λς'. Συνόδου Χαλκηδόνος κανὼν δ'. ιστ'. Συνόδου Σαρδικῆς κανὼν ιγ'. ιδ'. Συνόδου Καρθαγένης κανὼν ξέ. Συνόδου στ'. κανὼν κά.

Κείμενον.

Ἡ ιδ'. διάταξις τοῦ γ'. τίτλου τοῦ ά. βιβλίου λέγει, ὅτι ὁ κατὰ δοκιμασίαν ἐπισκόπων ἐκβληθεὶς ἐπισκοπῆς, ἐάν τι ποιῇ ταραχῶδες, καὶ θέλῃ ἐπιβῆναι τῇ αὐτῇ (2) ἐπισκοπῇ, πόρρω τῆς πόλεως ρ'. μίλια ἐκβάλλεται, καὶ οὐκ ἔχει ἄδειαν προσιέναι βασιλεῖ, ἢ λαμβάνειν ἀντίγραφον, ἀλλ' εἰ καὶ λάθοι, οὐκ ἀπολαύει· καὶ ὁ βοηθῶν

(1) Χ. Τρ. — παρὰ τῆς ἁγίας κτλ. Ἐ. Ἰ. Β. — (2) τῇ αὐτοῦ Χ. Τρ.

αὐτῷ ἀγαναχτεῖται. Καὶ ἡ κγ'. διάταξις τοῦ αὐτοῦ τίτ. ἐκβάλλει Εὐτυχέα. Καὶ ἡ έ. διάταξις τοῦ ά. τίτλου τῶν νεαρῶν ἐκβάλλει Πέτρον, Ἄνθιμον, Σεβῆρον καὶ Ζωόραν, ἀπειλοῦσα τοῖς ἔχουσι συγγράμματα Σεβήρου καὶ μὴ καίουσιν αὐτὰ ποινὰς ἑτέρας καὶ χειρῶν ἀποκοπάς. Ἡ δὲ β'. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν, ὅτι ἐπίσκοπος κανονικῶς τῆς ἱερωσύνης ἐκπεσὼν, καὶ ἐπιβαίνων τῇ πόλει, ἀφ' ἧς ἐξεβλήθη, ἢ καταλιμπάνων τὸν τόπον, ἐν ᾧ διάγειν ἐκελεύσθη, μοναστηρίῳ ἄλλης ἐπαρχίας ἐμβάλλεται.

Σχόλιον.

Ἡ ιδ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικός ἐστι βιβλίον γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. α'. καὶ λέγει τὰ αὐτά. Ἡ κγ'. διάτ. τοῦ γ'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ ε'. διάτ. τοῦ α'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος μά. (1)· τοῦτο δὲ αὐτῆς τὸ κεφάλαιον οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ β'. διάτ. τοῦ α'. τίτλου τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. καὶ κεῖται ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. α'. κεφ. κστ'. οὕτως ἔχοντι· Εἴ τις δὲ ἐπίσκοπος κατὰ τοὺς ἱεροὺς κανόνας τῆς ἱερωσύνης ἐκβληθεὶς τολμήσει ἐπιβῆναι τῆς πόλεως ἐξ ἧς ἐξεβλήθη, ἢ καταλιπεῖν τὸν τόπον ἐν ᾧ ἐκελεύσθη διάγειν, κελεύομεν τοῦτον μοναστηρίῳ ἐν ἄλλῃ ἐπαρχίᾳ καθεστῶτι παραδίδοσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἐκ ποίων αἰτιῶν ἀφορίζεται ἐπίσκοπος, ἢ κληρικὸς, ἢ λαϊκός. Καὶ ἐὰν ἐπίσκοπος κατηγορούμενος διὰ λιβέλλου παραιτεῖται τὴν ἐπισκοπήν· καὶ ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον γενόμενον, ἐκβαλλόμενον εὐλόγως ἢ ἀλόγως εἰς πρεσβυτέρου κατάγεσθαι βαθμόν. Ἀποστόλων κανὼν

(1) μβ'. Β. ἐν περισελιδίῳ.

έ. ή. θ'. ι'. ιά. ιϐ'. ιγ'. ιέ. ιστ'. κ'. κδ'. λ'. λστ'. μγ'. μέ. μή'. νδ'. νστ'. νζ'. νη'. νθ'. ξε'. ξζ'. ο'. οά. οϐ'. ογ'. ος'. πδ'. Συνόδου Χαλκηδόνος ἐκ τῆς πράξεως τῆς περὶ Φωτίου ἐπισκόπου Τύρου, καὶ Εὐσταθίου ἐπισκόπου Βηρυτοῦ. Συνόδου στ'. κανὼν κ'. καὶ τὰ ἐν αὐτῷ λύοντα τὴν ἐναντιοφάνειαν τῶν κανόνων. Συνόδου Ἀγκύρας κανὼν ιή. Συνόδου Νεοκαισαρείας κανὼν ά. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. α'. γ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὅτι ἐφ' ὅσον χρόνον ὁ ἐπίσκοπος οὐ κοινωνεῖ τῷ παρ' αὐτοῦ ἀφορισθέντι, οὔτε οἱ ἄλλοι ἐπίσκοποι κοινωνοῦσι τῷ ἀφορίσαντι. Συνόδου Καρθαγένης κανὼν ρλγ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Πόσοι ἐπίσκοποι καθαιροῦσιν ἐπίσκοπον. Συνόδου Κωνσταντινουπόλεως τῆς κατὰ τοὺς ἐπισκόπους Ἀραβίας. Τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν ιϐ'. καὶ κ'. περὶ ιϐ'. καὶ ς'. καὶ γ'. ἐπισκόπων.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ἐκ ποίων τις αἰτιῶν καθαιρεῖται. Ἀποστόλων κανὼν γ'. έ. στ'. ζ'. ιά. κ'. κγ'. κε'. κζ'. κθ'. λ'. λά. λέ. μϐ'. μδ'. μέ. μς'. μζ'. μθ'. ν'. να'. νϐ'. νγ'. νε'. νθ'. ξ'. ξϐ'. ξγ'. ξδ'. ξε'. ξς'. ξή'. ξθ'. ο'. πα'. πγ'. πδ'. Συνόδου Νικαίας κανὼν ϐ'. ι'. ιζ'. Συνόδου Ἀγκύρας κανὼν ι'. ιδ'. ιή. Συνόδου Νεοκαισαρείας κανὼν ά. Συνόδου Ἀντιοχείας κανὼν ά. γ'. δ'. έ. ιγ'. Συνόδου Ἐφέσου κανὼν ϐ'. Συνόδου Χαλκηδόνος κανὼν ϐ'. ιή'. κζ'. Συνόδου Σαρδικῆς

κανὼν κά. Συνόδου στ'. κανὼν γ'. δ'. ε'. θ'. ιά. πς'. ιζ'. Βασιλείου κανὼν ό.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ἐκ ποίων τις αἰτιῶν ἐν τῷ αὐτῷ καὶ ἀφορίζεται, καὶ καθαιρεῖται, ἢ καθαιρεῖται καὶ (1) τῆς κοινωνίας ἢ τῆς ἐκκλησίας ἐκκόπτεται. Ἀποστόλων κανὼν κέ. κθ'. λ'. ξε'.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Ἐκ ποίων αἰτιῶν κληρικὸς ἢ λαϊκὸς ἀναθεματίζεται. Συνόδου Γάγγρας κανὼν ιή. Συνόδου Χαλκηδόνος κανὼν 6'. ζ'. Βασιλείου ἐκ τῆς πρὸς Γρηγόριον πρεσβύτερον ἐπιστολῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ὅτι οὐ χρὴ (2) δὶς ἐκδικεῖν ἐπὶ τὸ αὐτό. Ἀποστόλων κανὼν κέ. Βασιλείου κγ'. λβ'. να'.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Ἐκ ποίων τις αἰτιῶν τελείως ἐκβάλλεται. Ἀποστόλων κανὼν κή. νά. ξβ'. Συνόδου Ἀντιοχείας κανὼν δ'. Συνόδου Λαοδικείας κανὼν λς'. Συνόδου στ'. κανὼν κά.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Πότε τις καθέδρας μὲν ἢ στάσεως ἱερατικῆς μετέχει, οὐκ ἐνεργεῖ δέ τι τῶν λοιπῶν. Συνόδου Ἀγκύρας κα-

(1) ἢ Χ. Τρ. — (2) Χ. Τρ. — οὐ δεῖ Ἐ. Ἰ. Β.

νὼν ά. β'. Συνόδου Νεοκαισαρείας κανὼν θ'. Συνόδου στ'. κανὼν γ'. κς'. Βασιλείου κανὼν κζ'. ο'.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τοῦ μὴ πιστεύεσθαι τὸν ἐπίσκοπον λέγοντα ἰδιαζόντως αὐτῷ τὸν κληρικὸν συνομολογῆσαι τὸ ἁμάρτημα. Συνόδου Καρθαγένης κανὼν ρλβ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ ἐπισκόπου ἢ κληρικοῦ ἐσθίοντος κρέα ἐν αἵματι, ἢ θηριάλωτον, ἢ θνησιμαῖον. Ἀποστόλων κανὼν ξγ'. Συνόδου Ἀγκύρας, κανὼν γ'. Συνόδου στ'. κανὼν ξζ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ τοῦ τοὺς ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ πάντας τοὺς τὰ ἱερὰ ψηλαφῶντας, ὀφείλειν ἀπέχεσθαι τῶν οἰκείων γαμετῶν. Συνόδου Καρθαγένης κανὼν γ'. δ'. κέ. ο'. Συνόδου στ'. κανὼν ιβ'. ιγ'.

ΚΕΦΑΛΑΙΟΝ. ΚΓ'.

Περὶ κληρικοῦ χλευάζοντος τοὺς ἀσθενεῖς. Ἀποστόλων κανὼν πεντηκοστὸς ἕβδομος.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ κληρικοῦ ἑαυτὸν ἀκρωτηριάζοντος. Ἀποστόλων κανὼν κγ'. Συνόδου Νικαίας κανὼν ά. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Αποστόλων κανὼν ή. Ἀνάγνωθι

ἀνωτέρω τὰ παραγεγραμμένα ἐν τῷ ιδ'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ κληρικῶν ἀποστατῶν, καὶ θυτῶν, καὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων, καὶ μαθηματικῶν, καὶ περὶ μαντειῶν, καὶ φαρμακειῶν, καὶ περιάπτων. Ἀποστόλων κανὼν ξϐ'. Συνόδου Ἀγκύρας κανὼν ά. β'. Συνόδου Λαοδικείας κανὼν λς'. Τοῦ ἁγίου Βασιλείου κανὼν ογ'.

Κείμενον.

Περὶ φαρμακῶν, καὶ μαθηματικῶν, καὶ τῶν ὁμοίων, διαλαμβάνει ὁ ιή. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος διάτ. ά. ταῦτα· Μεῖζόν ἐστι τὸ φαρμάκῳ ἢ ξίφει φονεῦσαι. Διάτ. β'. Τὴν γεωμετρίαν χρήσιμόν ἐστιν εἰδέναι, ἡ δὲ μαθηματικὴ ἀπηγόρευται καὶ κατακρίνεται. Διάταξις γ'. Μηδεὶς οἰωνοσκόπος, ἢ ἱερεὺς, ἢ τῶν ὑπουργούντων τοιαύτῃ θρησκείᾳ, εἰσίτω πρός τινα ἐφ' οἱαδήποτε αἰτίᾳ, κἂν αὐτοῦ φίλος ᾖ, ἐπεὶ καὶ αὐτὸς καίεται, καὶ ὁ προτρεψάμενος αὐτὸν δεπορτατεύεται δημευόμενος, καὶ ὁ βουλόμενος κατηγορεῖ. Διάτ. δ'. Οἱ διὰ μαγείας τῇ σωτηρίᾳ τῶν ἀνθρώπων ἢ τῇ σωφροσύνῃ ἐπιβουλεύοντες τιμωροῦνται, οὐ μὴν οἱ πρὸς θεραπείαν τῶν σωμάτων (1) ἢ τὴν εὐετηρίαν τῶν καρπῶν ποιοῦντες, οἷον βροχὴν, ἢ χάλαζαν ἐπέχοντες. Διάτ. έ. Μηδεὶς ἐρωτάτω μάντιν, ἢ θύτην, ἢ οἰωνοσκόπον, μήτε χρηματιζέτω Χαλδαῖος, ἢ μαθηματικὸς, ἤ τις παραπλήσιος· ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀποτέμνεται.

Σχόλιον.

Ἡ α'. διάτ. τοῦ ιή. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος κεῖ-

(1) Χ. Τρ. καὶ Σ. Ρ. — τῶν ἀνθρώπων Ἐ. Ἰ. Β.

ται ἐν βιβλίῳ τῶν βασιλικῶν ξ'. τίτ. λθ'. κεφ. κά. οὕτως ἔχοντι ὡς συνωψίσθη. Ἡ 6'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου ἐστὶ τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. κεφ. κβ'. *τὰ αὐτὰ διεξιόν*(1). Ἡ γ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου ἐστὶ τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου κεφ. κγ'. πλὴν οὐκ ἐγράφη ἐν τοῖς βασιλικοῖς ὡς εἶχε λέξεως πρότερον, ἀλλ' οὕτω φησὶ, καὶ τὸ διὰ θυσιῶν μαντεύεσθαι, ὁ δὲ τοιοῦτος ξίφει τιμωρείσθω· καὶ ὁ τοῦτον προτρεψάμενος, ἢ παρακλήσει, ἢ μισθῷ, ἐξορίᾳ καὶ δημεύσει ὑπόκειται· καὶ ὁ κατηγορῶν τούτου τοῦ ἐγκλήματος οὐκ ἔζι δηλάτωρ, ἀλλὰ μᾶλλον ἐπάθλου ἀξιοῦται. Βλέπε οὖν ὅτι *ἐπὶ* τὸ φιλανθρωπότερον μετέπεσον τὰ παλαιότερα νόμιμα, καὶ οὐχ ὡς εἶχον δυνάμεως πρότερον κατεστρώθησαν ἐν τῇ ἀνακαθάρσει· ἀνῃρέθη γὰρ καὶ τὸ καίεσθαι τοὺς αὐτουργοὺς, καὶ τὸ δεπορτατεύεσθαι τοὺς προτρεψαμένους. Ὡσαύτως παρείθη καὶ τὸ τῶν οἰωνοσκόπων, καὶ τὸ μὴ εἰσιέναι τινὰ ἐκ τούτων πρός τινα, κἂν ᾖ φίλος αὐτοῦ· ἐκωλύθη δὲ μόνον τὸ διὰ θυσιῶν μαντεύεσθαι. Σημείωσαι οὖν τοῦτο. Ἡ 6'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου τοῦ κώδικός ἐστι τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου τῶν βασιλικῶν κεφ. κδ'. πλὴν οὐδὲ τοῦτο κατεστρώθη ὡς ἔκειτο ἐν τῷ πλάτει, ἀλλὰ παρείθη τὸ μὴ τιμωρεῖσθαι τοὺς πρὸς θεραπείαν τῶν σωμάτων, ἢ πρὸς εὐετηρίαν καρπῶν ποιοῦντάς τι μαγικὸν, καὶ ἐπέχοντας βροχὴν, ἢ χάλαζαν, καὶ κατεστρώθη τὸ κεφάλ. οὕτω· Ἡ διάτ. φησὶ τὸν ἐπιτηδευσάμενον γοητείαν ἕλκουσαν εἰς ἔρωτα τοὺς σώφρονας λογισμοὺς, ἢ κατὰ σωτηρίας ἀνθρώπων μηχανευσάμενον, δημεύσει καὶ ἐξορίᾳ τιμωρεῖσθαι· μὴ προσχῇς οὖν τοῖς ἐν τῷ κειμένῳ γεγραμμένοις ἀλλὰ τοῖς τεθεῖσιν ἐν τῷ βασιλικῷ· ὅτι καὶ ἀπὸ τῶν νόμων, καὶ ἀπὸ τῶν ἐντὸς κειμένων κανόνων ὥρισται τιμωρεῖσθαι μὴ μόνον τοὺς διά τινα αἰτίαν μαγικὴν (2) τινα ποιοῦντας, ἀλλὰ καὶ τοὺς προσερχομένους αὐτοῖς, κἂν δῆθεν ἀγαθοῦ τινος χάριν ποιῶσι ζήτησιν, ὡς ὅταν περὶ εὐφορίας καρπῶν ἐρωτῶσιν. Ὡσαύτως καὶ ἡ θ'. διάτ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου τοῦ κώδ. ἐστὶ τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου τῶν βασιλικῶν κεφ.

---

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — μαγικὰ Ἑ. Ἰ. Β.

κέ. οὕτω φάσκον· Μηδεὶς ἐρωτάτω τινὰ μαντικὴν ἐπαγγελλόμενον· οἱ δὲ Χαλδαῖοι καὶ οἱ μάγοι μηδὲ ἐν αὐταῖς ταῖς μαντείαις ἑαυτοὺς παρεχέτωσαν, ἀλλὰ κεφαλικῶς τῇ διὰ σιδήρου τιμωρίᾳ ὑποκείσθωσαν.

Σημείωσαι ἀπὸ τῶν καταστρωθεισῶν διατάξεων ἐν τῇ ἑρμηνείᾳ τοῦ παρόντος κεφ. ὅτι κἂν ἀπὸ τῶν διγέστων, καὶ ἀπὸ τῶν κωδίκων τῶν πρὸ τῆς ἀνακαθάρσεως πολιτευομένων, τῇ κεφαλικῇ τιμωρίᾳ πριείχετο καὶ τὸ καίεσθαι, καὶ ἀποτέμνεσθαι, καὶ φουρκίζεσθαι (1). Ἀλλ' ὁ ποιήσας τὴν ἀνακάθαρσιν τῶν νόμων βασιλικῶν, καὶ συνθέμενος τὰ βασιλικὰ οὐκ ἐδέξατο ταῦτα, ἀλλὰ τὰς ἀπὸ τῶν κωδίκων διατάξεις καταστρώσας ἐν τοῖς βασιλικοῖς τὰ τρία ταῦτα οὐ προσέθετο. Μὴ γοῦν ἐναντιωθῇς τοῖς ἐν τῷ ά. τίτ. τοῦ ζ'. βιβλίου κειμένοις νόμοις, διγέστοις οὖσι, καὶ λέγουσι κεφαλικὴν εἶναι τιμωρίαν καὶ τὸ καίεσθαί τινας, ἀποτέμνεθαι, καὶ φουρκίζεσθαι. Εἰ γὰρ αἱ διατάξεις αἱ μεταγενέστεραι αἱ ταῦτα διοριζόμεναι οὐκ ἐδέχθησαν, πολλῷ πλέον τὰ δίγεστα. Πρόσεχε οὖν τοῖς ἐν τῷ λθ'. κεφ. κατεστρωμένοις νόμοις μεταγενεστέροις οὖσι, καὶ μὴ τοῖς διγέστοις ὡς παλαιοτέροις καὶ σχολάσασι.

[Σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κεφ. ὅτι ὥσπερ τὸ καίεσθαί τινας οὐκ ἐδέξατο ὁ βασιλικὸς (2), καθὼς εἴπομεν εἰς τὴν τοῦ παρόντος κεφαλ. ἑρμηνείαν, οὕτως οὐδὲ τὸ ἀποτέμνεσθαι ἤτοι τὸ ἀποκεφαλίζεσθαι τοὺς Χαλδαίους, καὶ τοὺς μάγους, ἀλλ' ἀντὶ τούτου διὰ σιδήρου τιμωρία ἐτράπη. Ἁπλῶς οὖν συναγαγὼν καὶ ἀπὸ ἄλλων πολλῶν, οὐ μὴν δὲ καὶ ἀπὸ τούτων μὴ εἶναι τιμωρίαν κεφαλικὴν τὸν ἀποκεφαλισμὸν, τὸ καίεσθαι, τὸ φαρμακίζεσθαι, τὸ λιθοβολεῖσθαι, τὸ εἰς βυθὸν ῥίπτεσθαι, ἀλλ' ἀπανθρώπινον θάνατον· τιμωρίαν δὲ κεφαλικὴν εἶναι τὸν περιορισμὸν, τὴν τύφλωσιν, τὴν ἐκτομὴν τῆς χειρὸς, καὶ τὰ λοιπὰ ὅσα ἐπιστροφῆς (3) καιρὸν διδόασι τῷ τιμωρουμένῳ, καὶ τοῦ ἐπταισμένου ἀπόστασιν, διὰ τὸ ἐπὶ πολὺ τιμωρεῖσθαι, εἰπὲ ὅτι ὅσα νόμιμα εὑρίσκονται ἐν τοῖς βασιλικοῖς ὑπεναντία

---

(1) Χ. Τρ. — φουλκίζεσθαι Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. ἐν περισελιδίῳ — ὁ βασιλεὺς Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — εἰς τροφῆς Ἑ. Ἰ. Β.

τῇ πικρούσῃ διδασκαλίᾳ δίγεστά εἰσι, καὶ οὐκ ὀφείλουσι κρατεῖν· νενόμισται γὰρ προτιμοτέρας εἶναι τὰς διατάξεις τῶν διγέστων, ἔνθα περὶ τοῦ αὐτοῦ καὶ ἑνὸς νομοθετοῦσί τι, καὶ ὅτι τοῖς νόμοις καὶ πάσαις ταῖς νεαραῖς ἐπὶ τὸ φιλανθρωπότερον τοὺς νόμους ἑρμηνεύεσθαι, καὶ οὕτω τὰς ἀποφάσεις γίνεσθαι. Μὴ γοῦν θαυμάσῃς ὅτι ἡ ἐν Κωνσταντινουπόλει σύνοδος ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ τοῦ Ὀξείτου διέγνω, καὶ ἐπέτρεψε καυθῆναι τοὺς βωγομίλους. Εἰκὸς γάρ ἐστι μὴ τρακταϊσθῆναι τότε τοὺς νόμους, καὶ μᾶλλον ὅτι τότε ἀμεταθέτως ἔχοντες τῆς οἰκείας αἱρέσεως οἱ βωγόμιλοι, ὡς μαρτύριον προήρπαζον τὴν καῦσιν. Ἐγὼ δὲ εἰδὼς μηδένα κανόνα ἐπιτρέψαι ποτὲ τιμωρίαν, ὅτι μηδὲ οἶδεν ὁ ἐκκλησιαστικὸς νόμος σωματικὰς ποινάς, ἀλλ' ὁ πολιτικὸς, καὶ ἔτι θαυμάζω πῶς τοιαύτην διάγνωσιν τότε ἡ σύνοδος ἐξέθετο· ἐκκόπτειν γὰρ τοῦ σώματος τῶν Χριστιανῶν τοὺς αἱρετικοὺς δεδιδάγμεθα, τιμωρεῖν δὲ αὐτοὺς οὐκ ἐμάθομεν, ἀλλ' ἀμεταθέτους ὄντας παραδιδόναι τῷ πολιτικῷ νόμῳ, καὶ παρὰ τῶν ἀρχόντων τὰς κατὰ τούτων ἀποφάσεις ἐκφέρεσθαι.

Κείμενον.

Διάταξις στ'. Οἱ τὰ στοιχεῖα ταράσσοντες, ἢ τοὺς ἐχθροὺς αὐτῶν διὰ δαιμόνων φονεύοντες, θηρίοις ἀναιροῦνται. Διάταξις ζ'. Πανταχοῦ μὲν τὰ ἁμαρτήματα μυσαρά ἐστιν, ἐν δὲ τῇ βασιλευούσῃ οἱ εὑρισκόμενοι γόητες, ἢ μάντεις, ἢ ἐν ἀφηγήσει ὀνείρων μαντευόμενοι, ἢ οἰωνοσκόποι, βασανίζονται καὶ ξέονται ἀρνούμενοι, καὶ τοῖς ἐλέγχουσιν ἀνθιστάμενοι, προνόμια ἔχειν μὴ δυνάμενοι. Διάταξις ή. Ἴσον ἐστὶ τὰ ἀπηγορευμένα μαθεῖν καὶ διδάσκειν. Διάτ. θ'. Ὁ εἰδὼς γόητά τινα, καὶ κατασχὼν αὐτὸν ἐπὶ γοητείᾳ, παραδιδότω. Εἰ δὲ ἡνίοχος, ἤ τις ἕτερος παρὰ ταῦτα ποιήσει, ἢ λαθραίως αὐτὸν τιμωρήσεται, ἐσχάτως τιμωρεῖται· ὑπολαμβάνεται γὰρ ταῦτα πρᾶξαι ὡς εἰς ἐχθρὸν, ἢ ἵνα ἐκεῖνος μὴ δημοσιεύσῃ τοὺς συνίστορας. Λέγει δὲ καὶ βιβλίον ά. τοῦ κώδικος τίτ. ζ'. διάτ. γ'.

ὅτι οἱ γόητες καὶ ἐν ταῖς ἡμέραις τῆς πασχαλίας ἐγκλείονται καὶ δεσμοῦνται. Καὶ διάτ. ι'. τοῦ αὐτοῦ τίτλου, ὅτι οἱ μαθηματικοὶ μὴ καίοντες τὰς βίβλους αὐτῶν, καὶ προσιόντες τῇ ὀρθοδόξῳ πίστει *ἐπὶ* (1) τῶν ἐπισκόπων, πάσης ἀπωθοῦνται πόλεως· εἰ δὲ ἐν πόλει εὑρεθῶσιν, ἢ τὰ τῆς ἰδίας θρησκείας δημοσιεύοντες, δεπορτατεύονται.

Σχόλιον.

Ἡ ς'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου τοῦ κώδικός ἐστι τοῦ λθ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν κεφ. κς'. οὕτως ἔχον· Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι ξίφει τιμωρείσθωσαν. Ἡ γ'. διάτ. ἐστὶ κεφ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου κζ'. λέγον οὕτως· Οἱ ἀξιωματικοὶ οὐχ ὑπόκεινται βασάνοις, εἰμὴ ἐπὶ τῆς καθοσιώσεως· εἰ δὲ καί τινες εὑρεθῶσι γόητες, ἢ οἱανδήποτε μετρίαν ἐπαγγελλόμενοι μαντείαν, μηδενὶ προνομίῳ ἀξιώματος κεχρήσθωσαν· πρέπει γὰρ τῷ γινομένῳ παρ' αὐτῶν ἁμαρτήματι τὸ τιμωρεῖσθαι αὐτοὺς, ἐὰν ἐν τῷ κομιτάτῳ τοιοῦτον ἁμαρτήσωσιν. Ἴδε γοῦν ὡς καὶ ἐνταῦθα παρείθη τὸ τῶν οἰωνοσκόπων καὶ τὸ τῶν μαντευομένων δι' ὀνείρων, καὶ ἐκολάσθη πλατύτερον τὸ ὁπωσδήποτε μαντεύεσθαι. Ὡσαύτως παρείθη καὶ τὸ ξέεσθαι τοὺς ἀρνουμένους πάντως κατὰ τὴν καθόλου παράδοσιν τὴν ἀπαιτοῦσαν ἀποδεικνύειν τοὺς κατηγόρους. Ἡ ή. διάτ. ἐστὶ κεφ. κή. τοῦ αὐτοῦ λθ'. τίτ. οὕτως ἔχον ὡς συνωψίσθη. Ἡ θ'. διάτ. ἐστὶ κεφ. τελευταῖον τοῦ λθ'. τίτ. τοῦ αὐτοῦ ξ'. βιβλίου τὰ αὐτὰ διεξιόν. Ἡ γ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικός ἐστὶ κεφ. κς'. τοῦ ιζ'. τίτ. τοῦ ζ'. βιβλίου οὕτως ἔχον· Τῇ πρώτῃ τῶν πασχαλίων ἡμέρᾳ, καὶ μὴ βασιλικῆς εἰδικῆς ἐπὶ τούτῳ καταλαβούσης κελεύσεως, πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσαν, εἰμὴ ἄρα ἱερόσυλός ἐστιν, ἢ μοιχὸς, ἢ παρθένων ἅρπαξ, ἢ τυμβωρύχος, ἢ φαρμακὸς, ἢ μονήταν πλαστὴν ἐστὶ καταδεξάμενος, ἢ φονεὺς, ἢ πατροκτόνος, ἢ κατὰ βασιλέως, ἢ πόλεως μηχανησάμενος. Ἡ δὲ ί. διάτ. τοῦ δ'. τίτ. τοῦ α'. βιβλίου τοῦ

(1) Σ. Ῥ. — μὴ καίοντες ἐπὶ τῶν ἐπισκόπων τὰς βίβλους αὐτῶν, προσιόντες τῇ ὀρθοδόξῳ πίστει, πάσης κτλ. Χ. Τρ.

κώδικός ἐστι κεφ. ιζ'. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν, οὕτως ἔχον ὡς συνωψίσθη. Σημείωσαι καὶ ἀπὸ τοῦ παρόντος κεφαλαίου ὅτι οὐδὲ τὸ θηρίοις ἀναιρεῖσθαι τοὺς διὰ δαιμόνων φονεύοντας τοὺς ἐχθροὺς αὐτῶν ἐδέξατο ἡ διάτ. ἡ καταστρωθεῖσα ἐν τοῖς βασιλικοῖς, ἀλλὰ καὶ τούτους ξίφει τιμωρεῖσθαι διωρίσατο. Πρόσχες οὖν τῇ ὄπισθεν γεγραμμένῃ ἑρμηνείᾳ ἡμῶν.

Κείμενον.

Καὶ τίτ. ιά. τοῦ αὐτοῦ βιβλίου διάτ. β'. Μηδεὶς διὰ σπλαγχνοσκοπίας μαντευέσθω, πικρῶς γὰρ τιμωρεῖται ὁ τῶν ἐνεστώτων ἢ τῶν μελλόντων παρὰ τὸ κεκωλυμένον ἐκζητῶν τὴν ἀλήθειαν. Βιβλ. έ. τίτ. ιζ'. διάταξις ὀγδόη· Εὐλόγως ὁ ἀνὴρ εὑρίσκων τὴν ἑαυτοῦ γαμετὴν φαρμακὸν, ῥεπουδίῳ λύει τὸν γάμον· καὶ ἐκ τοῦ ἐναντίου ἡ γυνὴ τοῦ (1) ἀνδρὸς ὄντος φαρμακοῦ. Ὁμοίως καὶ ἡ περὶ ῥεπουδίων νεαρὰ, βιβλίον ζ'. τίτ. ξέ. διάτ. β'. Ὁ ἐπὶ γοητείᾳ καταδικασθεὶς, εἰ μὲν ἀπὸ τεκμηρίων, καὶ μαρτύρων (2), καὶ ἰδίας ἐλεγχθῇ καταθέσεως, οὐ δύναται ἐκκαλεῖσθαι, εἰ δὲ ἀπὸ μαρτύρων, καὶ δικαιωμάτων, καὶ ἄλλων τεκμηρίων, οὐ μὴν καὶ ἐξ οἰκείας καταθέσεως, ἢ φόβῳ τῶν βασάνων κατέθετο, δύναται ἐκκαλεῖσθαι. Βιβλ. θ'. τίτ. μά. διάτ. γ'. Πρῶτοι βασανίζονται οἱ ἀλλότριοι δοῦλοι, καὶ ὅτε δόξουσι λέγειν πιθανὰ περὶ τοῦ ἐγκλήματος, τότε καὶ ὁ λεγόμενος φαρμάξαι βασανίζεται Καὶ τίτ. μζ'. τοῦ αὐτοῦ βιβλίου διάτ. ις'. Οὐ δεῖ ψηφίζεσθαι περὶ γοήτων, ἕως ἂν ἀποδειχθῇ τὸ ἔγκλημα διὰ καταθέσεως τοῦ κατηγορουμένου, καὶ βασάνων, καὶ συμφώνων καταθέσεων.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ ιά. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικός ἐστι κεφ. ζ'. τοῦ ά. τίτ. τοῦ ά. βιβλ. τῶν βασιλικῶν λέγον· Μηδεὶς ἢπαρ

(1) Χ. Τρ. Σ. Ρ.—τοῦ αὐτοῦ ἀνδρὸς Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. Σ. Ρ.—μαρτυρίων Ἑ. Ἰ. Β.

καὶ ἔγκατα καθορῶν ζητείτω τὰ μέλλοντα τὴν ἐκ τῆς σταυρώσεως τιμωρίαν ἀγωνιῶν. Ἡ ή. διάτ. τοῦ ιζ'. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ὡς ἀρκούντων τῶν π εριεχομένων ἐν τῇ περὶ ῥεπουδίων ριζ'. νεαρᾷ, τῇ κειμένῃ ἐν βιβ λ. κή. τῶν βασιλ. τίτ. ζ'. καὶ τῇ ριζ'. τῇ κειμένῃ ὁμοίως αὗται γὰρ διδάσκουσι διαζεύγνυσθαι τοὺς ὁμοζύγους καὶ ἐκ τοῦ βουλεύσασθαι θάτερον ἐξ αὐτῶν διὰ γοητείας, ἢ φαρμακείας κατὰ τῆς τοῦ ἑτέρου ζωῆς. Ἡ β'. διάτ. τοῦ ξέ. τίτ. ζ'. βιβλ. ἐστὶ κεφ. ρλς'. τοῦ ά. τίτ. τοῦ θ'. βιβλ. τῶν βασιλικῶν λέγον οὕτως· Οἱ φανερῶς ἐπὶ ἁμαρτήμασιν ἐλεγχθέντες καὶ καταθέμενοι οὐκ ἔτι δύνανται ἐκκαλέσασθαι· οὔτε δὲ χρὴ προπετῶς πιστεύειν τῇ φωνῇ τῶν κρινομένων. Καὶ σημείωσαι ὅτι κἂν τὸ πλάτος περὶ μόνων τῶν ἐπὶ γοητείᾳ καταδικασθέντων διελάμβανεν, ἀλλ' ὁ τὰ βασιλικὰ συνθέμενος περὶ πάντων τῶν ἐπὶ ἁμαρτήμασι κριθέντων τὸ νόμιμον ἐξέθετο. Σημείωσαι δὲ καὶ τὸ εἰρημένον ἐν τῷ τέλει, περὶ τοῦ μὴ πιστεύεσθαι εὐχερῶς τοὺς καθ' ἑαυτῶν ὁμολογοῦντας. Ζήτει καὶ βιβλ. ξ'. τίτ. ν'. κεφ. ά. θέμα ζ'. λέγον· Οὐ δεῖ πιστεύειν ταῖς καταθέσεσι τῶν κρινομένων, εἰ μὴ καὶ ἀπόδειξις διδάσκῃ τὸν δικαστήν· καὶ τοῦ θ'. βιβλ. τίτ. δ'. κεφ. ά. καὶ τὰ ἐκεῖ παραγεγραμμένα. Ἡ γ'. διάτ. τοῦ μά. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. κέ. τοῦ ν'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν λέγον· Ἐὰν γυνὴ (1) ἐγκαλῆται ὡς φαρμάκοις φονεύσασα (2) τὸν ἴδιον ἄνδρα, καὶ δοῦλοι κατ' αὐτῆς οὐ μόνον ἴδιοι, ἀλλὰ καὶ ἀλλότριοι ἐξετάζονται· πρῶτον δὲ οἱ ἀλλότριοι· καὶ ἐὰν δεῖγμα δειχθῇ ἀληθὲς, καὶ αὐτὴ ἡ γυνὴ βασανίζεται. Ἡ ις'. διάτ. τοῦ μζ'. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. νς'. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλίου λέγον· Μὴ προχείρως ὁ ἄρχων κεφαλικὴν τιμωρίαν ἐκφερέτω, εἰ μὴ πρῶτον ὁ ἐναγόμενος διὰ τῆς οἰκείας ὁμολογίας, ἢ διὰ τῆς τῶν μαρτύρων ἐρωτήσεως, ἤτοι τῶν βασάνων οὕτως ἐλεγχθῇ, ὥστε σχεδὸν μηδὲ ἑαυτῷ δύνασθαι ἐναντιοῦσθαι. Πλὴν καὶ τὸ παρὸν κεφ. πρὸς τὸ ζ'. θέμα τοῦ ά. κεφ. τοῦ ν'. τίτ. τοῦ ξ'. βιβλίου ἑρμήνευσον.

---

(1) γυνὴ ἐγκληματικῶς ἀνακαλεῖται X. Tp. — (2) ὡς φαρμακεύσασα X. Tp.

Κείμενον.

Καὶ βιβλ. ι'. τίτ. ιέ. διάτ. ά. ὅτι ἔξεστιν ἑκάστῳ ἐν τῷ ἰδίῳ τόπῳ ζητεῖν θησαυρὸν ἄνευ θυσιῶν, ἤ τινος παρανόμου τέχνης, καὶ ἀπολαύει ὁ εὑρίσκων καὶ περὶ τῶν τοιούτων οὐκ ἔξεστι προσαγγέλλειν. Περὶ δὲ ἀποστατῶν φησὶν ὁ ζ'. τίτλος τοῦ ά. βιβλίου τοῦ κώδικος διάτ. ά. ὅτι ὁ ἀπὸ χριστιανῶν γινόμενος Ἰουδαῖος δημεύεται. Διάτ. β'. Ὁ λέγων τὸν τελευτήσαντα μὴ δύνασθαι διαθέσθαι, διὰ τὸ ἀπὸ χριστιανῶν αὐτὸν Ἰουδαῖον ἢ Ἕλληνα γενέσθαι, εἴσω πενταετίας ἐνάγει. Διάταξις γ'. Ὅτι ὁ ἐξ ὀρθοδόξου γινόμενος αἱρετικὸς οὐ συναναστρέφεται τοῖς ἀνθρώποις, καὶ οὐ μαρτυρεῖ, ἢ διατίθεται, ἢ κληρονομεῖ, καὶ οὐκ ἔχει μετάνοιαν ὡς ἐν τοῖς ἄλλοις ἁμαρτήμασιν. Ἡ δὲ περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς διαλεγομένη λζ'. (1) νεαρὰ δίδωσι καιρὸν μετανοίας τοῖς ἐξ ὀρθοδόξων ὑπὸ αἱρετικῶν βαπτισθεῖσι. Διάταξις δ'. Ὅτι ὁ χριστιανὸς ἀποστὰς, καὶ θύσας, ἢ ἐντειλάμενος ἑτέρῳ θῦσαι, παρὰ παντὸς κατηγορεῖται, μὴ ἀντιτιθέμενος χρονίαν παραγραφήν· καὶ οὔτε δωρεῖται ἐξ ὅτου ἀποστῇ, οὔτε ἐν σχήματι πράσεως περιγράφει τὸν νόμον, οὔτε διατίθεται, ἀλλ' ἐξ ἀδιαθέτου πάντα τοῖς αὐτοῦ συγγενέσιν ἁρμόζει, οἷς καὶ μετὰ θάνατον ἐφεῖται κατηγορεῖν, εἰ καὶ μὴ γέγονε κατὰ (2) ζῶντος τοῦ μιαροῦ προκάταρξις· καὶ ἀνατρέπονται καὶ αἱ δωρεαὶ καὶ αἱ διαθῆκαι αὐτῶν, καὶ τοῖς ἀπὸ τοῦ νόμου καλουμένοις ἁρμόζουσι. Διάτ. έ. Ὁ δοῦλον, ἢ εὐγενῆ χριστιανὸν, ἄκοντα ἢ διὰ συμβουλῆς μεταγαγὼν εἰς ἀθέμιτον θρησκείαν κεφαλικῶς τιμωρεῖται καὶ δημεύεται. Διάτ. στ'. Ὀρθόδοξος κληρικὸς, ἢ μοναχὸς, θρησκεύων τὰ Εὐτυχοῦς ἢ Ἀπολιναρίου, ὑπόκειται τοῖς κατὰ αἱρετικῶν νόμοις, καὶ τῆς ῥωμαϊκῆς ἐξωτεῖται πολιτείας, κατὰ τὰ περὶ Μανιχαίων νομοθετηθέντα.

(1) ριϐ'. Σ. Ρ.—(2) ἡ κατὰ οὐχ εὕρηται ἐν Χ. Τρ.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ ιέ. τίτ. τοῦ ι'. βιβλίου ἐστὶ κεφ. ιγ'. τοῦ ζ'. τίτ. τοῦ νς'. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον· Μηδεὶς ἐπιδιδότω δεήσεις ἐφ' ᾧ τε ἐπιτραπῆναι ἐν ἰδίοις τόποις ἢ ἐν ἀλλοτρίοις ἀναζητεῖν θησαυρὸν, μήτε ὡς εὑρὼν αὐτὸς θησαυρὸν, μήτε ὡς ἑτέρου τινὸς εὑρόντος ἐπιδιδότω (1) δεήσεις. Εἰ μὲν γὰρ ἐν ἰδίοις τόποις τις χωρὶς πάσης μυσαρᾶς θυσίας, ἢ ἄλλης τινὸς τέχνης νόμοις ἀπηγορευμένης εὕρῃ θησαυρὸν, τουτέστι χρήματα ἀποτεθέντα παρά τινων ἠγνοημένα τῷ χρόνῳ, κεχρήσθω τοῖς εὑρεθεῖσιν ἀδεῶς, καὶ μὴ τὴν τοῦ Θεοῦ φιλοτιμίαν εἰς τὴν κατ' αὐτοῦ συκοφαντίαν τρεπέτωσάν τινες. Ἐπειδὴ τοίνυν τοῦτο νόμῳ ἐπιτέτραπται, καὶ περιττόν ἐστι δεήσεις ἐπιδιδόναι περὶ τούτου, ὡς τοῦ βασιλέως τὰς πάντων δεήσεις προφθάνοντος. Ἐν ἀλλοτρίῳ δὲ τόπῳ μηδὲ ἄκοντος, μηδὲ βουλομένου τοῦ δεσπότου, ἢ ἀγνοοῦντος, τολμάτω τις ἀναζητεῖν θησαυρὸν, ἀλλὰ εἴτε δέησιν ἐπιδεδωκὼς, εἴτε καὶ χωρὶς δεήσεως ἐρευνήσας παρὰ τοῦτον τὸν νόμον εὕρῃ τις ἐν ἀλλοτρίῳ τόπῳ θησαυρὸν, διαφερέτω μὲν τῷ δεσπότῃ τοῦ τόπου τὰ εὑρεθέντα, ὁ δὲ εὑρὼν ὡς παραβὰς τὸν νόμον σφοδρῶς τιμωρείσθω. Ἐὰν δὲ οὐδὲ ζητήσας, οὐδὲ δεήσεις ἐπιδεδωκὼς, ἀλλ' ἐν τῷ τυχὸν ἀροτριᾷν τὴν γῆν, ἢ ἄλλως πως γεωργῶν τὴν ἀλλοτρίαν γῆν, οὐ κατὰ σπουδὴν ἐρευνῶν εὕρῃ τις ἐν ἀλλοτρίῳ τόπῳ θησαυρὸν, τὸ μὲν ἥμισυ τῶν εὑρεθέντων αὐτὸς κερδαινέτω, τὸ δὲ ἥμισυ διδότω τῷ δεσπότῃ τοῦ τόπου. Ζήτει καὶ βιβλίον τῶν βασιλικῶν ιέ. τίτ. ά. κεφ. ξ'. Ἡ ά. διάτ. τοῦ ζ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφάλαιον κγ'. τοῦ νδ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ῥητῶς ὡς ἐγράφη. Ἡ β'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου ἐστὶ κεφαλ. κδ'. τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς συνωψίσθη. Ἡ γ'. διάτ. ἐστὶ κεφ. κέ. οὕτως ἔχον· Ὁ προδιδοὺς τὸ ἅγιον βάπτισμα οὐ μαρτυρεῖ, οὔτε διατίθεται, οὔτε ἄλλον διαδέχεται, ἀποστάτης γὰρ νοεῖται· πρόσχες οὖν ὅτι τὸ κείμενον ἐν τῷ πλάτει περὶ τοῦ μὴ συναναστρέφεσθαι τοῖς ἀν-

(1) Χ. Τρ. — διδότω Ἑ. Ἰ. Β. καὶ Σ. Ρ,

θρώποις τοὺς τοιούτους, καὶ περὶ τοῦ μὴ ἔχειν αὐτοὺς καιρὸν μετανοίας, οὐ προσετέθη ἐν τοῖς βασιλικοῖς, ἀλλ' ἐδιώχθη ὡς ἀφιλάνθρωπον (1). Εὐχαριστέον οὖν τῷ συνθεμένῳ τὰ βασιλικά, καὶ διὰ τοῦτο ἡ λζ'. Ἰουστινιάνειος νεαρὰ ἡ περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς οὐ κατεστρώθη εἰς τὰ βασιλικά. Ἡ δ'. διάτ. τοῦ διαληφθέντος ζ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κς'. τοῦ ῥηθέντος νδ'. τίτλου τοῦ ξ'. βιβλίου οὕτως ἔχον ὡς συνωψίσθη. Ἡ έ. διάτ. ἐστὶ κεφ. κζ'. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου τὰ αὐτὰ διεξιόν· καὶ ἡ ς'. διάτ. ἐστὶ κεφ. κή. τοῦ τοιούτου τίτλου ὁμοίως παρακελευόμενον.

Κείμενον.

Βιβλίον πρῶτον τίτλ. θ'. διάτ. ιή. Ἰουδαῖος τὸν μὴ ὄντα τῆς αὐτοῦ θρησκείας ἐναντίᾳ διδασκαλίᾳ μεταγαγὼν εἰς αὐτὴν δημεύεται καὶ κεφαλικῶς τιμωρεῖται. Διαλαμβάνει δὲ περὶ τῶν τοιούτων καὶ ἐν τοῖς διγέστοις· φησὶ γὰρ βιβλίον θ'. τίτ. β'. διάτ. ζ'. ὅτι ὁ φάρμακον ἀντὶ ἰατρείας δούλῳ δεδωκὼς ὑπόκειται εἰς τὴν αὐτοῦ τιμὴν, ὡς αἰτίαν θανάτου παρασχών. Ἴσθι δὲ ὅτι χώρα τῷ ἐγκλήματι, καὶ εἴ τις προπετῶς δοίη φάρμακον, ὡς διάτ. ἡ. ὁμοίως καὶ περὶ ἰατραίνης διάτ. θ'. βιβλίον ί. τίτ. β'. διάταξις δ'. Οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων τὰ ἐν τῇ κληρονομίᾳ εὑρεθέντα κακὰ φάρμακα, ἢ μαγικὰ βιβλία, ἢ τὰ ὅμοια, ἀλλὰ κατὰ δοκιμασίαν τοῦ δικαστοῦ φθείρονται. Βιβλίον ιή. τίτ. ά. διάταξις λέ. Τὰ κακὰ φάρμακα οὐ πιπράσκονται· εἰ μέν τοι δεχόμενα μίξιν χρησιμεύουσιν, ὡς ἐπὶ τῆς ἀντιδότου πιπράσκονται. Βιβλίον μζ'. τίτ. ί. διάτ. ιέ. Οἱ παραφρονῆσαί τινα φαρμάκῳ ποιοῦντες ἐνέχονται τῷ περὶ ὕβρεων νόμῳ. Εἰ δὲ καὶ ἀστρολόγος, ἢ ἑτέραν ἀπηγορευμένην μαντείαν μετιὼν, ἐρωτηθεὶς εἴπῃ κλέπτην τὸν μὴ ὄντα, ὑπόκειται ταῖς διατάξεσι. Βιβλίον μή. τίτ. ή. διάταξις β'. Τῷ περὶ

(1) Χ. Τρ. — ὡς ἀφιλανθρωπότερον Ἑ. Ἰ. Β.

φονέων νόμῳ κατέχεται ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον ποιῶν φάρμακον, ἢ πιπράσκων, ἢ ἔχων. Εἰσὶ δὲ φάρμακα καὶ τὴν (1) ὑγείαν ἐμποιοῦντα, καὶ τὰ λεγόμενα φίλτρα· εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ παράσχῃ γυναικὶ συλληπτικὸν, καὶ τελευτήσει ἡ λαβοῦσα, ἐξορίζεται. Καὶ ὁ πημεντάριος προπετῶς διδούς τινι κώνειον, ἢ σαλαμάνδραν, ἢ ἀκόνιτον, ἢ πιτυοκάμπην, ἢ βούβρωστιν, ἢ μανδραγόραν, ἢ κανθαρίδας.

Σχόλιον.

Ἡ ιή. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. μά. τοῦ ά. τίτ. τοῦ ά. βιβλ. οὕτως ἔχον ὡς συνωψίσθη, ἄνευ τοῦ κεφαλικῶς τιμωρεῖσθαι τὸν Ἰουδαῖον· τοῦτο γὰρ οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Τὸ ζ'. διάτ. τοῦ β'. τίτ. τοῦ θ'. βιβλ. τῶν διατ. ἔστι θέμα ζ'. τοῦ γ'. τίτ. τοῦ ξ'. βιβλ. λέγον· Ὁ μὴ φονεύσας, ἀλλ' αἰτίαν θανάτου δεδωκὼς τῇ ἰμφακτοὺμ, οὐ τῷ ἀκουϊλίῳ ὑπόκειται, ὡς ὁ δεδωκὼς φάρμακον ἀντὶ ἰατρείας, ἢ ξίφος τῷ μαινομένῳ. Τὸ ή. διάτ. ἐστὶν ή. κεφ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλ. ὡσαύτως καὶ τὸ θ'. Τὸ δ'. διάτ. τοῦ β'. τίτ. τοῦ ί. βιβλ. τῶν διατ. ἐστὶ θέμα β'. τοῦ δ'. κεφ. τοῦ γ'. τίτ. τοῦ μβ'. βιβλ. οὕτως ἔχον· Ἐξηρημένων τῶν χρεῶν, τὰ λοιπὰ πράγματα κατάγονται εἰς τὸ διαιροῦν τῇ φαμιλίᾳ τὸν κλῆρον δικαστήριον, καὶ τὰ κακὰ φάρμακα, καὶ τὰ μαγικὰ βιβλία, καὶ τὰ ὅμοια, ἀλλ' ὀφφικιόν ἐστι τοῦ δικαστοῦ παραχρῆμα τὰ τοιαῦτα φθείρειν. Οὐ διαιρεῖται δὲ τὰ ἀπὸ ἱεροσυλίας κτηθέντα, ἢ τὰ ἀπὸ δήμου κλαπέντα, ἢ βίας κτηθέντα, ἢ ἐφόδου. Πρόσχες τοίνυν ὅτι ἐν μὲν τοῖς διγέστοις γέγραπται μὴ διαιρεῖσθαι τὰ μαγικὰ βιβλία, καὶ τὰ κακὰ φάρμακα· ὁ δὲ βασιλικὸς λέγει διαιρεῖσθαι ταῦτα, καί ἐστι κατὰ πολὺ ἀκριβέστερον τὸ τοῦ βασιλικοῦ· καὶ ταῦτα γὰρ ὡς ὑπὸ δεσπότας γινόμενα, καλῶς διαιροῦνται. Ἑτέρου δὲ λόγου ἐστὶ τὸ καίεσθαι αὐτὰ ὀφφικίῳ τοῦ δικαστοῦ, διὰ τὸ μή τινας ἐκ τούτων βλαβῆναι. Τὸ λέ. διάτ.

(1) φάρμακα ὑγείαν ἐμποιοῦντα Σ. Ρ.

τοῦ ά. τίτ. τοῦ ιή. βιβλ. τῶν διατ. ἐστὶ θέμα γ'. τοῦ λέ. κεφ. τοῦ ά. τίτ. τοῦ ιθ'. βιβλ. τῶν βασιλικῶν ὁμοίως ἔχον. Τὸ ιέ. διάτ. τοῦ ί. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατ. ἐστὶ κεφ. ιέ. τοῦ κά. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν τὰ αὐτὰ λέγον, ἄνευ τοῦ ὑπόκεισθαι ταῖς διατάξεσι τὸν δι' ἀστρολογίας, ἢ ἑτέρας μαντείας εἰπόντα κλέπτην τὸν μὴ ὄντα· τοῦτο γὰρ οὐκ ἐτέθη εἰς τὸ αὐτὸ κεφ. ἀλλὰ εἰς θέμα ή. τοῦ αὐτοῦ κεφ. Τὸ 6'. διάτ. τοῦ ή. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. ἐστὶ κεφ. γ'. τοῦ λθ'. τίτ. τοῦ ξ'. βιβλ. τῶν βασιλικῶν τὰ αὐτὰ σχεδὸν λέγον, ὅσα εἰς τὸ κείμενον ἐγράφησαν· ὁ δὲ βασιλικὸς προστίθησι τὴν μετὰ δημεύσεως ἐξορίαν κατὰ τῶν ποιούντων τὰ φίλτρα. Τὰ δὲ γραφέντα περὶ τοῦ πημενταρίου ἀνετάχθησαν εἰς τὸ γ'. θέμα τοῦ αὐτοῦ γ'. κεφ. λέγοντος· Καὶ ὁ πημαντάριος προπετῶς διδούς τινι κώνειον, ἢ σαλαμάνδραν, ἢ ἀκόνιτον, ἢ πιτυοκάμπην, ἢ βούβρωστιν, ἢ μανδραγόραν, ἢ κανθαρίδας.

Κείμενον.

Διάτ. ιγ'. ὁ ποιῶν θυσίας ἀπηγορευμένας τῷ περὶ φονέων νόμῳ ὑπόκειται. Βιβλίον μή. τίτ. ιθ'. διάτ. κή. Οἱ φαρμακοὶ ἀξιωματικοὶ ὄντες δεπορτατεύονται, οἱ δὲ λοιποὶ εἰς κεφαλὴν τιμωροῦνται. Διάτ. λή. Ὁ δεδωκὼς πόμα πρὸς φίλτρον, ἢ ἀμβλωθρίδιον χωρὶς δόλου, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως· ἐσχάτῃ δὲ τιμωρίᾳ ὑπάγεται, ἐάν τις ἐκ τούτου τελευτήσῃ.

Σχόλιον.

Τὸ ιγ'. διάτ. ἐστι τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. κεφ. θ'. τὰ αὐτὰ λέγον. Τὸ κή. διάτ. τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλίου οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Καὶ τὸ λή. διάτ. τοῦ ιθ'. τίτ. τοῦ αὐτοῦ μή. βιβλ. τῶν διατάξεών ἐστι θέμα ς'. τοῦ λή. κεφ. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλίου οὕτως ἔχον ὡς ἐγράφη. Ἀνάγνωθι καὶ τοὺς κειμένους κανόνας ἐν τῷ κ'. κεφ. τοῦ ιγ'. τίτ. τοῦ παρόντος συντάγματος τοῦ διδάσκοντος περὶ ἀποστατῶν, καὶ θυτῶν, καὶ

μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων, καὶ μαθηματικῶν, καὶ μάντεων, καὶ περιάπτων.

ΚΕΦΑΛΑΙΟΝ ΚΣΤ'.

Περὶ ἐπισκόπων, ἢ κληρικῶν τυπτόντων, ἢ φονευόντων. Ἀποστόλων κανὼν κζ'. ξέ. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν θ'. Βασιλείου κανὼν νέ.

Κείμενον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἀπαγορεύει μὲν τοῖς ἐπισκόποις πλήττειν χερσὶν οἰκείαις (1), οὐχ ὥρισε δὲ ποινήν· γενικῶς δὲ περὶ παντὸς τύπτοντος, ἢ ὑβρίζοντος, ὁ πολιτικὸς διορίζει νόμος, βιβλ. μζ'. τίτ. ί. καὶ βιβλ. θ'. τοῦ κώδικος τίτ. λέ. διδοὺς κατ' αὐτῶν τὴν περὶ ὕβρεως ἀγωγὴν, ἥτις καὶ χρηματικῶς κινεῖται, καὶ ἐγκληματικῶς, γραφῆς ἀποτιθεμένης, καὶ διορίζει ποία ἐστὶ τραχεῖα ὕβρις, ποία δὲ ἐλαφρά. Περὶ δὲ φονέων διαλαμβάνει ὁ ή. τίτ. τοῦ μή. βιβλίου, καὶ ὁ ις'. τίτλος τοῦ θ'. βιβλίου τοῦ κώδικος. Γίνωσκε δὲ ὅτι ὁ φόνος ἀπὸ τῆς διαθέσεως σκοπεῖται, εἰ σκοπὸν ἔσχε φονεῦσαι· ὅθεν ἐστὶν εὑρεῖν, ὅτι καὶ ὁ πλήξας μὲν, μὴ φονεύσας δὲ, ὡς φονεὺς τιμωρεῖται, καὶ ὁ φονεύσας οὐ τιμωρεῖται ὡς φονεὺς, ἐὰν μόνον ἠθέλησε πλῆξαι. Ἡ δὲ τοιαύτη διάθεσις σκοπεῖται ἀπὸ τοῦ πλήξαντος ὀργάνου· καί ἐστι τοῦ μὲν ἑκουσίου φόνου, ἐπὶ μὲν ἐντίμου φονεύσαντος, δεπορτατίων καὶ τελεία δήμευσις, ἐπὶ δὲ τῶν εὐτελῶν, ξίφει καὶ θηρίοις παραδοθῆναι, ἐπὶ δὲ τοῦ κατὰ βλακείαν ἤγουν ἀμέλειαν φονεύοντος πενταετὴς ἐξορία· ἐπὶ δὲ τοῦ ἀκουσίου συγγνώμη δίδοται. Ζητῶν οὖν περὶ φόνου, ἀναγίνωσκε τοὺς

(1) ἰδίαις Χ. Τρ.

εἰρημένους τίτ. σὺν τοῖς αὐτῶν παρατίτλοις. Εἴρηται δὲ γενικῶς βιβλίῳ μή. τίτ. ιθ'. διάτ. έ. ὅτι ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν εἰ ἐκ προνοίας, ἢ κατὰ τύχην ἥμαρτε, καὶ οὕτως, ἢ πρὸς τὸν νόμον, ἢ πραοτέραν τιμωρίαν ἐπιφέρειν. Καὶ διάτ. ιά. ὅτι ἢ ἀπὸ προνοίας τις ἁμαρτάνει, ὡς ὁ φατρίαν (1) συνιστῶν, ἢ ἐξ ὁρμῆς, ὡς ὁ θυμούμενος, ἢ κατὰ τύχην, ὡς ὁ ἐν θήρᾳ κατὰ θηρίου ῥίψας καὶ φονεύσας ἄνθρωπον.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. κέ. ὃ καὶ ἔχει οὕτως ὡς ἐδηλώθη. Ὁ ί. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατ. καὶ ὁ λέ. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικος, καὶ ὁ λζ'. ἐτέθησαν εἰς τὸν κά. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν ἀπ' αὐτῆς ἀρχῆς, καὶ ζήτει διάφορα τούτου κεφ. Ὁ ά. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. ἐτέθη εἰς τὸ ξ'. βιβλ. τίτ. λγ'. κεφ. ά. *τῶν βασιλικῶν* (2) καὶ ἐφεξῆς. Ὁ ις'. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικος κεῖται εἰς βιβλ. ξ'. καὶ τίτ. λθ'. κεφ. ιγ'. καὶ ἐφεξῆς. Ἀνάγνωθι οὖν ἀπὸ τούτων τῶν βιβλίων καὶ τίτ. κεφ. διάφορα, καὶ τὸν ή. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὴν ἐν αὐτῷ τεθεῖσαν περὶ φονέων νεαρὰν τοῦ βασιλέως κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ. Τὸ έ. διάτ. τοῦ ιθ'. τίτλ. τοῦ μή. βιβλ. ἐστὶ θέμα β'. τοῦ έ. κεφ. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλ. τὰ αὐτὰ λέγον ῥητῶς. Τὸ δὲ ιά. διάτ. ἐστὶ θέμα γ'. τοῦ ιά. κεφ. τοῦ αὐτοῦ νά. τίτ. τὰ αὐτὰ διεξιὸν ἀπαραλλάκτως.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ ἐπισκόπων καὶ κληρικῶν κυβευόντων, ἢ μεθυσκομένων, ἢ θέαις παραβαλλόντων, τυμβωρυχούντων, κλεπτόντων, ἐπιορκούντων, τοκιζόντων ἢ λαμβανόντων ἡμιολίας, ἢ ἕτερον αἰσχρὸν ἑαυτοῖς ἐπινοούντων κέρδος.

(1) Χ. Τρ. — φρατρίαν Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — οὐχ εὑρηται ἐν Ἑ. Ἰ. Β.

Ἀποστόλων κανὼν κέ. μβ'. μγ'. μδ'. Συνόδου Νικαίας κανὼν ιζ'. Τῆς ἐν Λαοδικείᾳ κανὼν δ'. νδ'. Τῆς ἐν Καρθαγένῃ κανὼν έ. ις'. Συνόδου ς'. κανὼν ί. κγ'. κδ'. ν'. νά. Συνόδου Νικαίας τὸ δεύτερον κανὼν δ'. Βασιλείου κανὼν ιδ'. ιζ'. κθ'.

Κείμενον.

Ἡ λδ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν· Ἐπίσκοπος ἢ κληρικὸς κυβεύων, ἢ κοινωνῶν τοῖς κυβεύουσιν, ἢ παρακαθήμενος, ἢ θέατρον ἢ κυνήγιον θεωρῶν, ἀφορίζεται πάσης ἱερᾶς λειτουργίας, καὶ τῶν σιτηρεσίων (1) αὐτοῦ στερεῖται, καὶ ὁρίζεται αὐτῷ χρόνος εἰς μετάνοιαν· καὶ ἐὰν ἀξίως εἴσω τοῦ χρόνου μετανοήσας φανῇ, ἱερατικῆς ἀξιοῦται φιλανθρωπίας· εἰ δὲ μετὰ τὸν χρόνον ἐπιμείνοι, τελείως ἐκβάλλεται τοῦ κλήρου, καὶ γίνεται βουλευτὴς μετὰ τῆς αὐτοῦ περιουσίας τῆς πόλεως ἧς ἦν κληρικὸς, ἢ τῆς πόλεως ἐκείνης οὐκ ἐχούσης βουλευτήριον, *γίνεται* (2) εἰς τὴν χρήζουσαν ἐκ τῶν πλησιαζουσῶν· εἰ δὲ μὴ ἔχει οὐσίαν, γίνεται ταξεώτης. Παραφυλάττουσι δὲ ταῦτα οἱ πατριάρχαι, καὶ οἱ ἐπίσκοποι, καὶ οἱ ἐκκλησιέκδικοι, καὶ οἱ ἑκάστης διοικήσεως ἔπαρχοι, καὶ οἱ ἄρχοντες, καὶ οἱ ἔκδικοι ταῦτα τοῖς ἱερεῦσι προσαγγέλλουσι. Δεῖ δὲ τὰ τοιαῦτα μετ' ἀκριβείας ἐπὶ τῶν εὐαγγελίων ζητεῖσθαι, καὶ τοὺς συκοφάντας ἀγαναχτεῖσθαι. Ποινὰς δὲ διαφόρους ὁρίζει κατὰ τῶν ἀρχόντων, καὶ τῶν τάξεων, καὶ τῶν ἐκδίκων, εἰ ταῦτα μαθόντες μὴ προσαγγείλωσι (3) τοῖς προσφόροις ἱερεῦσι. Ἡ μέν τοι β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐπὶ τριετίαν εἶπεν αὐτοὺς τῆς λειτουργίας κωλύεσθαι, καὶ μοναστηρίῳ ἐμβάλλεσθαι, ἄδειαν παρασχοῦσα τοῖς ἱερεῦσι, μετανοίας ἐπιδεικνυμένης, ἐλαττοῦν τὸν χρόνον.

(1) σιτήσεων Χ. Τρ. καὶ Σ. Ρ. — (2) Ἑ. Ἰ. Β. ἢ εἰς τὴν χρήσουσαν, ἄνευ τοῦ, γίνεται. — (3) Χ. Τρ. καὶ Σ. Ρ.—μὴ προσαγγέλλουσι Ἑ. Ἰ. Β.

Σχόλιον.

Ἡ λδ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστιάνειος ργ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. κβ'. διαλαμβάνοντι ὅσα εἰς τὸ κείμενον διελήφθησαν.

Κείμενον.

Οὐ μόνον ἐπιορκεῖν κωλύεται κληρικὸς, ἀλλὰ καὶ καθόλου ὀμνύειν (1). Εἴρηται γὰρ βιβλίῳ ά. τοῦ κώδικος τίτ. γ'. διάτ. κέ. ὅτι οἱ κληρικοὶ δικαζόμενοι διδόασιν ἐγγύας μέχρι ν'. λιτρῶν· εἰ δὲ τὸ πρᾶγμα ὑπερβαίνει, ὁμολογίαν ἐπὶ τῷ ὑπερβαίνοντι ποιοῦσιν ἀνώμοτον· διότι καὶ *οἱ νόμοι* (2) καὶ οἱ κανόνες κωλύουσι κληρικὸν ὀμνύειν· εἰ καὶ τὰ μάλιστα εἴρηται ἐν βιβλίῳ τῷ αὐτῷ τίτ. ιβ'. διατάξει γ'. ὅτι δεῖ τοὺς προσφεύγοντας, προτρεπομένους καὶ ὅρκον ἐπὶ τῇ ἀσφαλείᾳ λαμβάνοντας ἀποτίθεσθαι ἅπερ ἐπιφέρονται ὅπλα. Καὶ ἡ ς'. διάτ. τοῦ αὐτοῦ ιβ'. τίτ. φησὶν, ὅτι ἐάν ἐστιν ὑπόνοια περὶ κληρικοῦ, ὡς ἔχοντος πράγματα (3) τοῦ πρόσφυγος, κελεύσει τοῦ ἐπισκόπου αὐτοῦ ὀμνύει.

Σχόλιον.

Ἡ κέ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐξελήφθη εἰς τὰ βασιλικά. Ἡ γ'. διάτ. τοῦ ιβ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδ. ἐστὶ κεφ ιά. τοῦ ά. τίτ. τοῦ έ. βιβλ. τῶν βασιλικῶν, ὅπερ κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ β'. κεφ. τοῦ έ. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι τοῦτο μηδὲν περὶ ὅρκου διαλαμβάνον. Ἡ ς'. διάτ. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. τοῦ κώδικος θέμα οὖσα τελευταῖον τοῦ ιγ'. κεφ. τοῦ ά. τίτ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν οὐδέν τι περὶ ὅρκου διαλαμβάνει. Ζητητέον οὖν εἰ ὀφείλουσιν οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ ὅρκους

(1) Χ. Τρ. —ὀμνύναι Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. καὶ Σ. Ρ. — ἐλλείπει ἐν Ἑ. Ἰ. Β. τὸ, καὶ οἱ γόμοι. — (3) Χ. Τρ. — πρᾶγμα Ἑ. Ἰ. Β.

διδόναι σωματικοὺς, καὶ νομίζω ὅτι ἐπεὶ τὰ ἀπὸ τῶν κωδίκων ἐκληφθέντα κεφάλαια καὶ τεθέντα εἰς τὰ βασιλικὰ, περὶ ὧν καὶ ὁ Φώτιος μνείαν εἰς τὸ κείμενον ἐποίησεν, οὐ μέμνηνται ὅλως ὅρκων, ἐκωλύθη τὸ ὀμνύειν ὅλως ἐπίσκοπον ἢ κληρικόν· διὰ γὰρ τοῦτο καὶ ἀντὶ σωματικοῦ ὅρκου, ἐπενοήθη ἡ ἐγγραφὴ, καταθέσεως τόπον ἐπέχουσα, καὶ ἀναπληροῦσα ὅσα ὁ σωματικὸς ὅρκος ποιῆσαι ἔμελλεν. Οἱ γοῦν ἀναγνῶσται κακῶς ἀναγκάζονται ὅρκους σωματικοὺς διδόναι, κληρικοὶ γάρ εἰσιν.

Κείμενον.

Ἡ δὲ κώλυσις τοῦ λαμβάνειν κληρικὸν τόκους, ἐμοὶ φαίνεται πανταχοῦ περὶ τῶν ἀπὸ δανείου ἤγουν συμφώνου λελέχθαι, οὐ μὴν περὶ τῶν σιωπηρῶς ἁρμοζόντων ἐξ ὑπερθέσεως ἐπὶ τῶν βοναφίδε ἀγωγῶν. Ἀμέλει καὶ ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐπὶ ληγάτων εὐσεβῶν ἐξ ὑπερθέσεως εἶπεν ἀπαιτεῖσθαι καὶ τόκους, καὶ καρπούς. Περὶ δὲ κλοπῆς κληρικῶν ἰδικῶς ὁ νόμος οὐ διαλέγεται· γενικῶς δὲ διαλαμβάνει περὶ κλοπῆς ὁ β'. τίτ. τοῦ ϛ'. βιβλ. τοῦ κώδικος, καὶ ὁ τίτ. β'. τοῦ μζ'. βιβλίου τῶν διατάξεων. Δύο δέ εἰσιν εἴδη τῆς κλοπῆς, καὶ τὸ μὲν αὐτῆς λέγεται φανερὰ κλοπὴ, τὸ δὲ, ἀφανής. Φανερὸς κλέπτης ἐστὶν ὁ μετὰ τοῦ κλοπιμαίου πράγματος ἐξ οἱουδήποτε προσώπου λαμβανόμενος πρὶν ἢ τὸ πρᾶγμα ἀπαγάγῃ, ἔνθα προέθετο ἐν αὐτῇ τῇ ἡμέρᾳ, εἴτε ἐν δημοσίῳ, εἴτε ἐν ἰδιωτικῷ τόπῳ· εἰ δὲ ἀπήγαγεν αὐτὸ ὅπου προέθετα, κἂν λοιπὸν συλληφθῇ μετ' αὐτοῦ, οὐκ ἔστι φανερὸς κλέπτης· ὁ δὲ μὴ τοιοῦτος, ἀφανὴς κλέπτης ἐστίν. Ἡ δὲ ποινὴ τοῦ μὲν φανεροῦ κλέπτου γίνεται εἰς τὸ τετραπλοῦν τοῦ τιμήματος τοῦ κλαπέντος, ἔστιν ὅτε καὶ τοῦ διαφέροντος· τοῦ δὲ ἀφανοῦς, εἰς τὸ διπλοῦν· καὶ ἐφ' ἑκατέρου, ἔξωθεν τῆς τοιαύτης ποινῆς, δίδοται τὸ πρᾶγμα, ἢ ἡ διατίμησις αὐτοῦ.

Σχόλιον.

Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστιάνειος ρλά., κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν έ. τίτ. γ'. κεφ. θ'. καταστρωθέντι εἰς σχόλιον τοῦ ά. κεφ. τοῦ β'. τίτ. τοῦ παρόντος συντάγματος περὶ τὰς ἀρχάς. Εὐχαρίστησον οὖν τῷ πατριάρχῃ Φωτίῳ καλῶς ἑρμηνεύσαντι ἀπαιτεῖν ὡς διαφέρον τόκους, τοὺς ἐπισκόπους καὶ τοὺς κληρικούς. Ὁ β'. τίτ. τοῦ ς'. βιβλ. τοῦ κώδικος ἐτέθη εἰς βιβλίον τῶν βασιλικῶν ξ'. τίτ. ς'. κεφ. ιή. καὶ ζήτει διάφορα τούτου κεφάλαια περὶ κλοπῶν καὶ κλεπτῶν. Ὁ δὲ β'. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατ. ἐτέθη εἰς βιβλ. τῶν βασιλικῶν ξ'. τίτ. ιβ'. κεφ. ά. καὶ ἑφεξῆς. Ζήτει κεφ. β'. γ'. δ'. έ. τὰ αὐτὰ λέγοντα ῥητῶς ὅσα καὶ εἰς τὸ κείμενον ἐγράφησαν. Ζήτει δὲ καὶ ἕτερον κεφ. τοῦ αὐτοῦ τίτ. διδάσκοντα περὶ ἀφανοῦς κλοπῆς καὶ φανερᾶς, καὶ εἰπὲ ὅτι κἂν ἱερωμένων κλεπτῶν οὐ μέμνηνται οἱ τοιοῦτοι τίτλοι, ἀλλ' ἐπεὶ ἀφ' ὧν νομίμων ἐνάγονται οἱ λαϊκοί, ἐξ αὐτῶν καὶ οἱ κληρικοὶ ἐνάγονται, προνόμιον δὲ οὐκ ἐδόθη τούτοις ἀπὸ κλοπῆς μὴ ἐνάγεσθαι, ἐξ ἀνάγκης τῷ κοινῷ νομίμῳ τὸ περὶ τῆς κλοπῆς καὶ αὐτοὶ συσφιγχθήσονται.

Κείμενον.

Ὁ δὲ ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου λαμβάνων ἔξωθεν τοῦ πράγματος δίδωσιν εἴσω μὲν οὐτιλίου ἐνιαυτοῦ τὸ τετραπλοῦν τῷ κλαπέντι, καὶ τῷ φίσκῳ τὸ τετραπλοῦν· μετὰ δὲ τὸν ἐνιαυτὸν τὸ ἁπλοῦν, ὡς βιβλίον ς'. τοῦ κώδικος τίτ. β'. διάτ. ιή. καὶ ἐν τῷ θ'. τίτ. τοῦ μζ'. βιβλίου. Ὡσεπιτοπολὺ δὲ ἐγκληματικῶς οἱ κλέπται κατηγοροῦνται, γραφῆς ἡγουμένης, ὡς διάτ. κγ'. τοῦ αὐτοῦ τίτ. καὶ ἀργεῖ ἡ τοῦ διπλοῦ ἢ τοῦ τετραπλοῦ ποινή. Εἴρηται γὰρ διατ. νζ'. τοῦ αὐτοῦ, ὅτι ἐάν τις τὸν κλέπτην παραδῷ νυκτεπάρχῳ, ἢ τῷ ἄρχοντι, καὶ καταδικασθεὶς παράσχῃ τὸ πρᾶγμα, ἢ τὴν διατίμησιν αὐτοῦ, ἀναιρεῖται (1) ἡ κατ' αὐτοῦ ἀγωγή, ὡς αὐτοῦ κινδυνεύ-

(1) Χ. Τρ. καὶ Σ. Ρ. — ἀγανακτεῖται Ἑ. Ἰ. Β.

σαντος. Ὁ δὲ καταδικασθεὶς ἐπὶ κλοπῇ, ἢ φιλικῶς ἀπαλλαγεὶς ἐπὶ δόσει χρημάτων, ἄτιμος γίνεται, ὡς βιβλίον γ'. τίτ. β'. διγ. ά. δ'. καὶ ς'.

Σχόλιον.

Ἡ ιή. διάτ. τοῦ β'. τίτ. τοῦ ς'. βιβλ. τοῦ κώδικός ἐστι θέμα λέ. τοῦ ς'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον· Ἐάν τις ἀπὸ ἐμπρησμοῦ, ἢ ναυαγίου ἀφέληταί τι, ἢ μειώσῃ, ἐντὸς ἐνιαυτοῦ ὡρισμένου εἰς τὸ τετραπλοῦν κατέχεται· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν πρὸς τῇ ἤδη ὡρισμένῃ ποινῇ· τὸ δὲ δίδοσθαι καὶ τῷ φίσκῳ, ἤγουν τῷ δημοσίῳ, τὸ τετραπλοῦν, καθὼς ἐν τῷ κώδικι περιείχετο, οὐ προσετέθη ἐν τοῖς βασιλικοῖς· λέγουσι γοῦν τινες διὰ τοῦτο μὴ ἀπαιτεῖσθαι παρὰ τοῦ δημοσίου τὸ τετραπλοῦν. Ἐμοὶ δὲ δοκεῖ, ὅτι ἀπὸ τοῦ εἰπεῖν τὸν βασιλικὸν ἔνοχον εἶναι τὸν οὕτως ἡμαρτηκότα σὺν τῷ τετραπλῷ καὶ τῇ ὡρισμένῃ ποινῇ, παρίσταται δύνασθαι καὶ τὸν δημόσιον ἀπαιτεῖν τὸ τετραπλοῦν. Φησὶ δὲ καὶ τὸ λά. κεφ. τοῦ γ'. τίτ. τοῦ νγ'. βιβλίου ταῦτα· Ὁ ἁρπάζων, ἢ κατὰ δόλον κερδαίνων ἐκ ναυαγίου, εἰς ὅσον ὑπόκειται τῷ ζημιωθέντι, τοσοῦτον καὶ τῷ δημοσίῳ δίδωσιν. Ὁ δὲ θ'. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατ. ἐτέθη εἰς τίτ. κ'. τοῦ ξ'. βιβλ. τῶν βασιλικῶν διαλαμβάνοντα περὶ τῶν ἀφαιρουμένων ἀπὸ ἐμπρησμοῦ, καὶ καταπτώσεως. Λέγει δὲ τὸ τέλος τοῦ ά. κεφ. τοῦ αὐτοῦ τίτ. ἁρμόζειν ἐπέκεινα τῆς χρηματικῆς ποινῆς, καὶ ἐγκληματικὴν ἐπεξέλευσιν· καὶ ἔστι τοῦτο ἰδικὸν εἰς τοὺς ἁρπάζοντας ἀπὸ ἐμπρησμοῦ, καὶ καταπτώσεως, καὶ ναυαγίου· τιμωροῦνται γὰρ καὶ χρηματικῶς, καὶ ἐγκληματικῶς, ὅπερ ἐπὶ τῶν ἄλλων ἁμαρτημάτων οὐκ ἔστι· καθά (1) φησι τὸ ζ'. διάτ. τοῦ θ'. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατ. ὅ ἐστι θέμα β'. τοῦ νζ'. κεφ. τοῦ ιβ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, οὕτως ἔχον ὡς συνωψίσθη. Ἐὰν γὰρ ὁ ὑβριστὴς, ἢ ὁ κλέπτης ἐγκληματικῶς ἑλκυσθεὶς τιμωρηθῇ, ποινὴν οὐ δίδωσι χρηματικήν. Τὸ μέντοι λγ'. διάτ. τοῦ β'. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατάξεων

(1) Χ. Τρ. — καί φησι Ἑ. Ἰ. Β.

οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Σημείωσαι δὲ, ὅτι ὅταν ἐγκληματικῶς κινηθῇ ἡ ἀπὸ ἁμαρτήματος ἀγωγὴ, δίδονται καὶ αἱ ἐγγραφαί (1). Ὁ δὲ ϐ΄. τίτ. τοῦ γ΄. βιβλίου τῶν διατ. ἐστὶ βιβλίον τῶν βασιλικῶν κ΄. τίτ. ϐ΄. διδάσκων ἐκ ποίων τρόπων ἐπάγεται ἀτιμία. Καὶ ἀνάγνωθι θέμα γ΄. τοῦ ά. κεφ. λέγον· Ἄτιμός ἐστι καὶ ὁ ἰδίῳ ὀνόματι κατακριθεὶς τῇ περὶ κλοπῆς ἀγωγῇ, ἤτοι περὶ ἁρπαγῆς πραγμάτων, καὶ τῇ περὶ ὕβρεως ἀγωγῇ, καὶ τῇ περὶ δόλου, ἢ συμφωνήσας ὑπὲρ τῶν τοιούτων ἀγωγῶν, καὶ χρήματα δοὺς μήπω προκατάρξεως γενομένης.

Κείμενον.

Περὶ τυμβωρύχων (2) γενικῶς διαλαμβάνει ὁ ιϐ΄. τίτ. τοῦ μζ΄. βιβλίου, ἐν ᾧ φησὶν ὅτι καὶ χρηματικῶς καὶ ἐγκληματικῶς ὑπόκεινται· καὶ ἔστιν ἡ χρηματικὴ ποινὴ, πότε μὲν εἰς ρ΄. νομίσματα, πότε δὲ εἰς διακόσια, πότε δὲ εἰς τὸ διαφέρον τῆς γενομένης ζημίας, καὶ ἄτιμος γίνεται ὁ καταδικαζόμενος. Οἱ δὲ τυμβωρυχοῦντες, εἰ μὲν μεθ᾽ ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλων· οἱ δὲ τὰ λείψανα ἢ ὀστᾶ μετακινοῦντες, εὐτελεῖς μὲν ὄντες, ἄκρως τιμωροῦνται· ἔντιμοι δὲ δεπορτατεύονται· οἱ δὲ ἄλλως περὶ μνημεῖον πλημμελοῦντες *ἐξορίζονται* (3) ἢ εἰς μέταλλα καταδικάζονται. Πῶς δὲ δυνατὸν ἀκινδύνως καὶ ἀζημίως μεταφέρειν λείψανα, καὶ φιλοκαλεῖν μνημεῖον, διδάσκει ὁ αὐτὸς τίτλος, καὶ ὁ ἕβδομος τοῦ ἑνδεκάτου βιβλίου τῶν διατάξεων. Ὑπόκεινται δὲ οἱ τυμβωρυχοῦντες καὶ τῷ περὶ ἱεροσυλίας νόμῳ, ὡς βιβλίον τεσσαρακοστὸν ὄγδοον τίτ. ιγ΄. καὶ διάτ. έ. τοῦ ἐννεακαιδεκάτου τίτ. τοῦ θ΄. βιβλίου τοῦ κώδικος, ἐν ᾧ καὶ τὰς χρηματικὰς αὔξει ποινὰς, πότε μὲν στέρησιν κτήματος, ἢ ἀγροῦ, ἢ οἴκου ἐπάγων, ἐὰν εἰς αὐτοὺς ὕλη ἀπενεχθῇ ἀπὸ μνημείου·

(1) Χ. Τρ.—καὶ ἐγγραφαὶ Ἑ. Ἰ. Β.—(2) περὶ τυμβωρυχούντων Χ. Τρ.—(3) Χ. Τρ. ἅπασα ἡ φράσις αὕτη ἐλλείπει ἐν Ἑ. Ἰ. Β.

πότε δὲ δέκα λιτρῶν ποινὴν ἐπάγων, καὶ εἴκοσι τῷ ἄρχοντι μὴ ἐπεξιόντι. Καὶ ἐν ταῖς ἡμέραις δὲ τοῦ πάσχα οἱ τυμβωρύχοι ἐγκλείονται καὶ δεσμοῦνται, ὡς βιβλίον ά. τοῦ κώδικος τίτ. δ'. διάτ. γ'.

Σχόλιον.

Ὁ ιϐ'. τίτ. τοῦ μζ'. βιβλίου τῶν διατ. ἐστὶ τίτ. κγ'. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν περὶ καταφθορᾶς μνήματος, ἤτοι τῶν ἐνταφίων λειψάνων διδάσκων. Φησὶ δὲ δὲ τὸ ὄγδοον κεφ. τοῦ αὐτοῦ τίτ. Τὸ ἔγλημα τῆς τυμβωρυχίας ὑπὸ τὸν περὶ βίας δημόσιον ἀναφέρεται νόμον. Ἁρμόζει δὲ καὶ χρηματικῶς· ἡ ποσότης δὲ τῆς ποινῆς οὐκ ἐξελήφθη εἰς τὰ βασιλικά. Τὸ ά. κεφ. φησί· Τὸ τῆς τυμβωρυχίας ἔγλημα ἀτιμίαν ἐπιφέρει. Τὸ ζ'. θέμα τοῦ δ'. κεφ. φησίν. Οἱ τυμβωρυχοῦντες, καὶ γυμνοῦντες τὰ τῶν τελευτώντων σώματα, εἰ μὲν μετὰ ὅπλων, κεφαλικῶς τιμωροῦνται, εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλου. Τὸ ί. κεφ. λέγει· Οἱ τὰ λείψανα, ἢ τὰ ὀστᾶ μετακινοῦντες, καὶ ἐφεξῆς ὅσα τῷ κειμένῳ περιέχονται. Ὁ ζ'. τίτ. τοῦ ιά. βιβλίου τῶν διατ. ἐστὶ τίτ. ά. τοῦ νθ'. βιβλ. τῶν βασιλ., διδάσκων περὶ μνημάτων καὶ δαπάνης τῶν κηδειῶν. Τὸ δ'. θέμα τοῦ γ'. κεφ. τοῦ κγ'. τίτ. τοῦ ξ'. βιβλ. φησίν· Οὐ δεῖ τὰ λείψανα τῶν τελευτώντων ψηλαφᾶσθαι, ἢ σκύλλεσθαι· τὰ δὲ προσκαίρως ἀποτεθέντα μεταφέρειν ἔξεστι. Τὸ ζ'. κεφ. τοῦ αὐτοῦ τίτ. φησί· Χεῖρον οὐ δεῖ τὸ μνημεῖον γίνεσθαι, φιλοκαλεῖν μέντοι αὐτῷ ἔξεστι, μὴ ἐφαπτομένων τῶν λειψάνων. Τὸ ή. κεφ. τοῦ ά. τίτ. τοῦ νθ'. βιβλίου τῶν βασιλ. περὶ τὸ τέλος φησίν· Ἐὰν δὲ ὁ τοῦ τόπου δεσπότης παρὰ κέλευσιν ἱερέως, ἢ κέλευσιν βασιλέως ἐκβάλῃ τὸν ἐξ ἄλλου ταφέντα, ἢ τὰ τεθέντα ὀστέα, ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. Καὶ κεφ. ά. τοῦ γ'. τίτ. τοῦ αὐτοῦ βιβλ. λέγει· Ἔξεστιν ἐξ εὐλόγου αἰτίας προσιέναι τῷ ἄρχοντι, καὶ μεταφέρειν εἰς ἕτερον τόπον τὸ ἀποκείμενον λείψανον παρενοχλούμενον. Καὶ κεφ. ιδ'. φησί· Μηδεὶς ἀνθρώπινον σῶμα χωρὶς κελεύσεως βασιλέως εἰς ἕτερον τόπον μεταφερέτω· καὶ τὸ παρὸν οὐκ ἔστιν ἐναντίον τῇ ά. διατ., ἐκείνη γὰρ ἀπὸ εὐλόγου αἰτίας ἐπέτρεψε μεταφέρεσθαι τὰ λείψανα κατὰ διάγνωσιν

τῶν ἀρχόντων, αὕτη δὲ μηδαμοῦ μνημονεύσασα εὐλόγου αἰτίας, ὅτι χωρὶς κελεύσεως βασιλικῆς οὐκ ἔξεστιν αὐτὰ μεταφέρειν. Ὁ ιγ'. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. ἐτέθη εἰς τίτ. μέ. τοῦ ξ'. βιβλ. τῶν βασιλικῶν, καί φησι τὸ β'. κεφ. Ὁ δὲ πεκουλάτους κινεῖται κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν, ἢ μνημείων, καὶ τὰ ἑξῆς. Τὸ δ'. κεφ. λέγει· Τῷ δεπεκουλάτῳ ὑπόκειται καὶ ὁ ἱερὰ ἢ ἐκ μνημείων χρήματα λαμβάνων, ἢ τὸ δωρηθὲν τῷ Θεῷ. Ἡ έ. διάτ. τοῦ ιθ'. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικος ἐτέθη εἰς κεφ. ιβ'. τοῦ κγ'. τίτ. τοῦ ξ'. βιβλίου, καὶ ἀνάγνωθι τὸ ιά. ιβ'. ιγ'. καὶ ιδ'. κεφ. τὰ αὐτὰ λέγοντα ὅσα συνωψίσθησαν. Ἡ γ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικός ἐστι κεφ. κς'. τοῦ ιζ'. τίτ. τοῦ ζ'. βιβλ. τῶν βασιλικῶν, ὃ καὶ ἀνάγνωθι καταχρωθὲν εἰς τὴν ἑρμηνείαν τοῦ κέ. κεφ. τοῦ παρόντος θ'. τίτ. Τούτων οὕτως ἐχόντων σημείωσαι, ὅτι τῷ περὶ τυμβωρυχίας νόμῳ ἐνέχονται καὶ οἱ χωρὶς κελεύσεως βασιλικῆς, ἢ ἐπισκοπικῆς, ἢ διαγνώσεως ἀρχοντικῆς μετακινοῦντες λείψανα τεθνεώτων μετὰ τελείας ὁσίας ταφέντα. Πλὴν οἱ μὲν ἄρχοντες χωρὶς εὐλόγου αἰτίας οὐ δύνανται ἐπιτρέπειν τὴν τούτων μετάθεσιν· ὁ βασιλεὺς δὲ καὶ οἱ ἐπίσκοποι δύνανται ταύτην ἀδιασίκτως (1) ἐπιτρέπειν. Οἱ γοῦν λέγοντες ἀπροκριματίστως ταύτην γίνεσθαι παρὰ τοῦ βούλομένου, μὴ προκειμένης αἰτίας αἰσχροκερδοῦς, κακῶς λέγουσιν, ὡς ἐμοὶ δοκεῖ· διὰ γὰρ τοῦτο καί τις καθηγούμενος τῆς σεβασμίας μονῆς τοῦ ἁγίου Μωκίου χωρὶς τοιαύτης ἐπιτροπῆς λείψανα μεταθέμενος ἐξεβλήθη συνοδικῶς ἀπὸ τῆς ἡγουμενείας, καὶ καθῃρέθη.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τῶν βδελυσσομένων τὸν γάμον, ἢ τὸν οἶνον, ἢ τὰ κρέα. Ἀποστόλων κανὼν νά. νγ'. ξς'. Συνόδου Ἀγκύρας κανὼν ιδ'. Συνόδου ς'. κανὼν ιγ'. λ'.

(1) ἀδιστάκτως Χ. Τρ.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ τῶν ἐπιτετραμμένων ἢ κεκωλυμένων γάμων· καὶ περὶ τοῦ ἐρωτᾶσθαι τοὺς ἀναγνώστας ἐφήβους γενομένους, εἰ βούλωνται γαμεῖν, καὶ περὶ παλλακισμοῦ, καὶ πορνείας, καὶ μοιχείας. Ἀποστόλων κανὼν ιζ'. ιή. ιθ'. κέ. κς'. Συνόδου Ἀγκύρας κανὼν ί. Συνόδου Νεοκαισαρείας κανὼν ά. θ'. ί. Συνόδου Χαλκηδόνος κανὼν ιδ'. ιέ. Συνόδου Καρθαγένης κανὼν ις'. Συνόδου ς'. κανὼν γ'. δ'. στ'. ιβ'. ιγ'. μή. νή. Βασιλείου κανὼν γ'. στ'. ις'. ξθ'. ό. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν δ'. έ.

Κείμενον.

Βιβλίον ά. τοῦ κώδικος τίτ. γ'. διάτ. έ. Ἐάν τις μόνος πειραθῇ λαβεῖν γαμετὴν παρθένον ἱερὰν, κεφαλικῶς τιμωρεῖται. Καὶ διάτ. μδ'. τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος γαμήσῃ, ὑπόκειται μὲν τοῖς κανόσιν, οἵτινες οὐχ ἧττον τῶν νόμων ἰσχύουσι, καὶ τῆς ἱερωσύνης ἐκπίπτει, καὶ οἱ παῖδες ὡς ἐξ ἀθεμίτων γάμων τεχθέντες, οὔτε φυσικοὶ, οὔτε νόθοι εἰσὶ, καὶ οὔτε κατὰ δωρεὰν, ἢ διαδοχὴν, ἢ ἐσχηματισμένον δάνειον, ἢ ἑτέραν ἐνοχὴν λαμβάνουσί τι παρὰ τῶν πατέρων αὐτῶν, ἢ αἱ μητέρες αὐτῶν· ἀλλὰ τὰ τοιαῦτα λαμβάνει ἡ κατ' αὐτοὺς ἐκκλησία. Λέγει δὲ καὶ ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, ὅτι ἐὰν μοναχὸς κληρωθῇ, μὴ θαῤῥείτω πρὸς γάμον ἐλθεῖν, κἂν τοιούτου βαθμοῦ τετύχηκεν ἐν τῷ κλήρῳ, ἐν ᾧ τοῖς κληρικοῖς ἔξεστι γαμεῖν, τουτέστι ψάλτῃ, καὶ ἀναγνώστῃ· τοῖς γὰρ ἄλλοις ἅπασι καθάπαξ ὁ γάμος ἀπηγόρευται· εἰ δὲ γαμήσει, ἢ παλλακὴν σχῇ, ἢ ἀσελγῶς ζήσει, ἐκβαλλέσθω τοῦ κλήρου, καὶ ἰδιώτης ἔστω, πρὸς στρατείαν ἢ ἑτέραν ἐπιτήδευσιν ἐλθεῖν οὐ θαῤῥῶν. Καὶ ἡ πρώτη διάταξις τοῦ

αὐτοῦ τίτλου, ὅτι μηδεὶς δευτερογαμήσας χειρονείσθω πρεσβύτερος, ἢ διάκονος, μήτε μὴν εἰ γυναικὶ συνοικεῖ τὸν οἰκεῖον ἄνδρα καταλιπούσῃ, μήτε εἰ παλλακὴν ἔχει, ἀλλὰ σωφροσύνῃ συζῶν, καὶ ἢ γαμετῇ συνοικῶν, ἢ μιᾶς ἀνὴρ γενόμενος σώφρονος, καὶ ἐκ παρθενίας. Εἰ δέ τις πρεσβύτερος ὢν, ἢ διάκονος, ἢ ὑποδιάκονος, γαμετὴν, ἢ παλλακὴν εἰσάγοιτο φανερῶς, ἢ λαθραίως, ἢ ἐσχηματισμένως, εὐθέως τῆς ἱερᾶς ἐκπιπτέτω τάξεως, καὶ ἰδιώτης καὶ λαϊκὸς ἔστω. Ἀναγνώστης δὲ δευτερογαμῶν μὴ προκοπτέτω, μὴ μὴν καὶ τριτογαμείτω. Εἰ δὲ δευτερογαμήσας σπεύσει προκόψαι, γίνεται ἰδιώτης. Λέγει δὲ ὅτι χειροτονούμεναι διακόνισσαι νουθετείσθωσαν, εἰδυῖαι ὡς εἰ θαῤῥήσαιεν καταισχύναι τὴν χειροτονίαν, προσομιλοῦσαι γάμῳ, ἢ ἄλλου βίου πορείᾳ (1), θανάτῳ γενήσονται ἔνοχοι· καὶ τοῖς αὐτῶν μοναστηρίοις, ἢ ταῖς αὐτῶν ἐκκλησίαις αἱ αὐτῶν περιουσίαι προσκυρωθήσονται· οἱ δὲ γῆμαι ἢ φθεῖραι αὐτὰς τολμήσαντες, ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὴν οὐσίαν αὐτῶν τὸ δημόσιον λήψεται.

Σχόλιον.

Ἡ έ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος, καὶ ἡ μδ'. διάτ. τοῦ αὐτοῦ τίτ. οὐκ ἐτέθησαν εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ ιγ'. διάτ. τοῦ ά. τίτλου τῶν νεαρῶν, μέρος οὖσα τῆς έ. Ἰουστινιανείου νεαρᾶς οὐδὲ ἡ ά. διάτ. τοῦ αὐτοῦ τίτ. τῶν νεαρῶν μέρος οὖσα τῆς ς'. Ἰουστινιανείου νεαρᾶς. Σημείωσαι περὶ τῶν ἐκπεσόντων τῆς ἱερωσύνης, καὶ γυναιξὶ συνοικησάντων καὶ τούτων τεκνοποιησάντων, μὴ συγχωρουμένων εἰς κληρονόμον αὐτῶν κληθῆναι, μηθ' ὅλως δύνασθαι τὰ τοιαῦτα παιδία ἢ γνήσια τούτων κληθῆναι ἢ φυσικὰ, ἢ καθ' οἱονδήποτε τρόπον περιελθεῖν τινα τῶν πραγμάτων αὐτῶν πρὸς αὐτοὺς, ἢ τὰς μητέρας αὐτῶν, ἀλλὰ τὰ προσόντα πάντα αὐτῷ λαμβάνειν τὰς κατ' αὐτοὺς ἐκκλησίας, ἢ τοὺς κλήρους· τοὺς δὲ τοιοῦτόν τι τολμῶντας, μετὰ

(1) Χ. Τρ. καὶ Σ. Τ.—ἢ ἄλλου βίου πορνείᾳ Ἑ. Ἰ. Β.

τὴν τῆς ἱερωσύνης γύμνωσιν, μὴ δυναμένους εἴς τι κοσμικὸν ἀξίωμα, ἢ στρατείαν ἀναχθῆναι, ἀλλὰ ἰδιωτεύοντας πάντα τὸν χρόνον. Ὅπως δὲ σήμερον οὐ φυλάττεται τοῦτο ἀγνοῶ.

Κείμενον.

Καὶ ἡ β'. διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν βουλευτὴς ἢ ταξεώτης, ἐπὶ ιέ. ἔτη μονάσας γένηται κληρικὸς, εἶτα γαμήσῃ, ἀποδίδοται τῇ ἰδίᾳ τύχῃ· τὰ αὐτὰ δὲ καὶ περὶ τῶν ἄλλων κληρικῶν τῶν ἀπὸ μοναχῶν, κἂν μὴ γεγόνασι βουλευταὶ ἢ ταξεῶται. Καὶ ὅτι ὁ χειροτονῶν ἄγαμον ἐρωτάτω αὐτὸν εἰ δύναται χωρὶς νομίμου γαμετῆς σεμνῶς βιοῦν. Ἐν δὲ τῷ καιρῷ τῆς χειροτονίας ἐπιτρέπων διακόνῳ ἢ ὑποδιακόνῳ γαμῆσαι μετὰ τὴν χειροτονίαν, τῆς ἐπισκοπῆς ἐκβάλλεται. Πρεσβύτερος δὲ, ἢ διάκονος, ἢ ὑποδιάκονος μετὰ τὴν χειροτονίαν γαμῶν, ἐκβάλλεται τοῦ κλήρου, καὶ μετὰ τῶν αὐτοῦ πραγμάτων δίδοται τῇ βουλῇ τῆς πόλεως, ἐν ᾗ κληρικὸς ἦν. Δευτερογαμῶν δὲ ἀναγνώστης, ἢ χήραν, ἢ διεζευγμένην λαμβάνων, ἢ τοῖς νόμοις, ἢ τοῖς κανόσιν ἀπηγορευμένην, εἰς ἄλλον μὴ προβαινέτω βαθμόν· ἀλλὰ καὶ προβὰς ἀποκαθίσταται τῷ προτέρῳ. Λέγει δὲ ὅτι οἱ ἁρπάζοντες, ἢ ὑπονοθεύοντες, ἢ διαφθείροντες ἀσκήτριαν, ἢ μονάστριαν, ἢ διακόνισσαν, ἢ ἄλλο εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετασχόντες, κεφαλικῶς τιμωροῦνται, καὶ τὰ πράγματα αὐτῶν τῇ ἐκκλησίᾳ ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης περιποιοῦνται διὰ τοῦ ἐπισκόπου, ἢ τοῦ οἰκονόμου, καὶ τῶν ἀρχόντων, καὶ τῶν τάξεων· αὕτη δὲ μετὰ τῶν αὐτῆς πραγμάτων μοναστηρίῳ ἐμβάλλεται ἀσφαλῶς φυλαχθησομένη. Εἰ δὲ διακόνισσά ἐστιν νομίμους ἔχουσα παῖδας, τὸ νόμιμον μέρος λαμβάνουσιν· εἰ δὲ ἐπὶ ἐνιαυτὸν μετὰ τὸ γνωσθῆναι τὸ μῦσος μὴ ἐκδικήσωσι τὰ πράγματα οἱ εὐαγεῖς οἶκοι, ὁ φίσκος αὐτὰ λαμβάνει, τοῦ ἀμε-

λοῦντος ἐκδικηθῆναι ἄρχοντος ἀποζωννυμένου, καὶ έ. λίτρας τοῖς πριβάτοις προστιμωμένου.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ αὐτοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι κεφ. κς'. τῆς ρκγ'. νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ, ἤτοι κεφ. λγ'. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν τὰ αὐτὰ διαλαμβάνον ὅσα συνωψίσθησαν. Λέγει δὲ καὶ τὸ κδ'. κεφ. τῆς αὐτῆς νεαρᾶς, ἤτοι τὸ λά. κεφ. τοῦ αὐτοῦ τίτ., ἀλλὰ μὴν καὶ τὸ λβ'. περὶ τοῦ ἐρωτᾶσθαι τοὺς μέλλοντας χειροτονεῖσθαι εἰ δύνανται σωφρονεῖν, καὶ περὶ γαμούντων ἱερωμένων, καὶ δευτερογαμούντων ἀναγνωστῶν, ὅσα παρὰ τοῦ πατριάρχου διελήφθησαν παραφραστικῶς (1). Περὶ δὲ τῶν ἁρπαζόντων, ἢ διαφθειρόντων, ἢ ὑπονοθευόντων τὰς τῷ Θεῷ ἀνατεθειμένας, διδάσκει ἡ αὐτὴ β'. διάταξις τοῦ ά. τίτ. τῶν νεαρῶν οὖσα ξγ'. κεφ. τῆς ρκγ'. Ἰουστιν. νεαρᾶς, ἤτοι κεφ. ιβ'. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, τὰ αὐτὰ λέγον ὅσα συνωψίσθησαν, πλὴν τῆς ποινῆς. Ὁ μὲν γὰρ βασιλικός φησι τὸν ἐκ τοῦ νόμου κίνδυνον ὑπομένειν τοὺς πλημμελήσαντας, καὶ τοὺς μετασχόντας τοῦ τοιούτου μύσους. Ὁ δὲ συνθέμενος τὸ νομοκάνονον λέγει κεφαλικῶς αὐτοὺς τιμωρεῖσθαι· σὺ δὲ μᾶλλον τῷ βασιλικῷ πρόσχες· καὶ εἰ θέλεις μαθεῖν ποῖαί εἰσιν αἱ νόμιμοι ποιναὶ, ἀνάγωθι βιβλ. ξ'. τίτ. νή. κεφ. ά. οὕτως ἔχον· Οἱ ἁρπάσαντες γυναῖκα, ἢ μνηστευομένην, ἢ ἀμνήστευτον, ἢ χήραν, εἴτε εὐγενής ἐστιν, εἴτε δούλη, ἢ ἀπελευθέρα, καὶ μάλιστα ἐὰν τῷ Θεῷ ὦσιν αἱ γυναῖκες καθιερωμέναι, νομίμως τιμωρείσθωσαν, τουτέστιν εἰ μὲν μεθ' ὅπλων, εἴτε ξιφῶν, ἢ ροπάλων τὴν ἁρπαγὴν ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν· οἱ δὲ συνυπουργοῦντες αὐτοῖς, ἢ συνειδότες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες τυπτόμενοι, καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν, ἐπειδὴ οἱ προθέντες παρ' ἑαυτοῖς ἁρπάσαι ἕτοιμοί εἰσι καὶ φονεύειν τοὺς ἀνθισταμένους. Εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω, οἱ δὲ

(1) Ἑ. — περιφραστικῶς Ἰ. Β. Χ. Τρ.

βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ, ἢ συνειδότες, ἢ ὑπηρετήσαντες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες αὐτοῖς, τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν. Ζήτει καὶ τὴν λέ: νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου τὰ αὐτὰ σχεδὸν νομοθετοῦσαν.

ΚΕΦΑΛΑΙΟΝ Λ΄.

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων. Ἀποστόλων κανὼν ξζ΄. Συνόδου Ἀγκύρας κανὼν ιά. κέ. Συνόδου Χαλκηδόνος κανὼν κζ΄. Συνόδου στ΄. κανὼν ϛ΄. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν β΄.

Κείμενον.

Βιβλίον ά. τίτ. γ΄. διάτ. έ. Ἐάν τις ἁρπάσῃ, ἢ πειραθῇ λαβεῖν γαμετὴν παρθένον ἱερὰν, κεφαλικῶς τιμωρεῖται. Καὶ διάτ. νγ΄. τοῦ αὐτοῦ τίτ. Τοῖς γονεῦσι, καὶ τοῖς ἀδελφοῖς, καὶ τοῖς κηδεμόσι τῶν παρθένων, καὶ διακονισσῶν, καὶ τῶν ἀνειμένων τῷ Θεῷ χηρῶν, ἔξεστι τοὺς ἅρπαγας αὐτῶν, καὶ τοὺς ἐν καιρῷ τῆς ἐφόδου βοηθοῦντας αὐτοῖς ἐπ᾽ αὐτοφώρῳ φονεύειν· εἰ δὲ διαφύγωσιν, ἀναζητοῦσιν αὐτοὺς ἐν Κωνσταντινουπόλει μὲν οἱ ὕπαρχοι καὶ ὁ ἔπαρχος· ἐν δὲ ταῖς ἐπαρχίαις, πάντες οἱ ἄρχοντες πολιτικοί τε καὶ στρατιωτικοί, καὶ μετὰ σύστασιν μὴ χρωμένους φόρου παραγραφῇ τιμωροῦνται ἐσχάτως· καὶ τὰ πράγματα τοῦ ἅρπαγος καὶ τοῦ ὡς εἴρηται βοηθήσαντος αὐτῷ, λαμβάνει τὸ μοναστήριον, ἢ τὸ ἀσκητήριον, ἐφ᾽ ᾧ καὶ τὴν βιασθεῖσαν ἐξ αὐτῶν ἐκεῖ τρέφεσθαι. Εἰ δὲ μόνον διακόνισσά ἐστιν ἡ βιασθεῖσα καὶ οὐκ ἀσκήτρια, εἴτε μονάστρια, τὴν μὲν δεσποτείαν ἡ κατ᾽ αὐτὴν ἐκκλησία λαμβάνει, αὐτὴ δὲ τὴν χρῆσιν· οἱ δὲ ἄλλως αὐτοῖς βοηθήσαντες, ἢ ὑπουργήσαντες, ἢ συνειδότες, ἢ ὑποδεξάμενοι, ἢ σπουδὴν οἱανδήτινα συνεισαγαγόντες, μό-

νῃ τῇ ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. Χώρα δὲ τοῖς εἰρημένοις, κἂν ἑκοῦσά τις τῶν εἰρημένων γυναικῶν ἁμαρτηθῇ. Βιβλ. α'. τίτ. δ'. διάτ. γ'. Καὶ ἐν ταῖς ἡμέραις τοῦ πάσχα οἱ τῶν παρθένων ἅρπαγες ἐγκλείονται καὶ δεσμοῦνται. Βιβλίον γ'. τίτ. κδ'. διάτ. ά. Ὁ μὴ ὢν ἰλλούστριος, ἀλλὰ μόνον λαμπρότατος, ἁρπαγὴν ἐν ἐπαρχίᾳ παρθένου πλημμελήσας, ἐκεῖ τοῖς νόμοις ὑποβάλλεται, μὴ χρώμενος φόρου παραγραφῇ.

Σχόλιον.

Ἡ έ. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά, οὐδὲ ἡ νγ'. καὶ μηδὲ σὺ προσχῇς ταύταις. Ἡ γ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικός ἐστι κεφ. κς'. τοῦ ιζ'. τίτ. τοῦ ζ'. βιβλ. τῶν βασιλικῶν, καὶ κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ κέ. κεφ. τοῦ παρόντος θ'. τίτ. ϑ καὶ ἀνάγνωθι. Ἡ ά. διάτ. τοῦ κδ'. τίτ. τοῦ γ'. βιβλ. τοῦ κώδικος ἐτέθη εἰς κεφάλ. ϛά. τοῦ έ. τίτ. τοῦ ζ'. βιβλίου τῶν βασιλικῶν, τοῦτο δὲ τὸ κεφάλαιον παρελείφθη.

Κείμενον.

Τίτλος μά. διάτ. δ'. Ὁ λέγων παρὰ δούλου τὴν αὐτοῦ γαμετὴν ἁρπαγῆναι, οὐ τοῦ δεσπότου ἀλλ' αὐτοῦ κατηγορεῖν ὀφείλει. Βιβλίον ζ'. τίτ. ιγ'. διάτ. γ'. Ἐὰν δοῦλος καταμηνύσῃ ἁρπαγὴν παρθένου λαθοῦσαν, πάκτῳ ἢ ἀποπροσποιήσει ἐλευθεροῦται. Βιβλίον θ'. τίτ. θ'. διάτ. ζ'. Ὁ ἀνὴρ οὐ δύναται κινεῖν ὡς ἀνὴρ περὶ τῆς πρὸ τοῦ γάμου βιαίας τῆς παρθένου φθορᾶς, εἰ μὴ ἦν αὐτοῦ μνηστή· αὐτὴ δὲ κινεῖ συνόντων τῶν κουρατώρων. Τίτλου δεκάτου διάταξις πρώτη· Ἐάν τις φθείρῃ τὴν παρ' αὐτοῦ ἐπιτροπευθεῖσαν δεπορτατεύεται, καὶ εἰς ὁλόκληρον δημεύεται. Τίτλου ἑνδεκάτου διάταξις τρίτη· Ἐὰν ἁρπαγῇ (1) ἡ μνηστὴ τοῦ υἱοῦ μου, κινῶ τὸν περὶ

(1) Χ. Τρ. καὶ Σ. Ῥ.—ἁρπάσῃ Ἑ. Ἰ. Β.

βίας νόμον. Βιβλίου ἐννάτου, τίτλου τρισκαιδεκάτου διάταξις πρώτη καὶ μόνη· Ἐάν τις ἁρπάσῃ οἱανδήτινα γυναῖκα δούλην, ἢ ἐλευθέραν, κἂν ἦν αὐτῷ μεμνηστευμένη, κεφαλικῶς καταδικαζόμενος (1) ἀποθνήσκει, καὶ οἱ ἐν τῇ ἁρπαγῇ βοηθήσαντες αὐτῷ. Καὶ τοῖς πατράσι τῶν ἁρπαγεισῶν ἔξεστι, καὶ τοῖς ἀδελφοῖς, καὶ τοῖς κηδεμόσι, *καὶ πάτρωσι* (2), καὶ δεσπόταις, ἐν τῷ καιρῷ τῆς ἐφόδου τούτους φονεύειν· εἰ δὲ διαφύγωσιν, ἀναζητοῦσιν αὐτοὺς ἐν μὲν Βυζαντίῳ οἱ ὕπαρχοι καὶ ὁ ἔπαρχος, ἐν δὲ ταῖς ἐπαρχίαις πάντες οἱ ἄρχοντες, καὶ στρατηλάται, καὶ δοῦκες, καὶ μετὰ σύστασιν ἀναιροῦσι, μὴ δυναμένους χρήσασθαι φόρου παραγραφῇ, ἢ ἐκκλήτῳ. Καὶ εἰ μὲν δούλη ἢ ἀπελευθέρα ἡρπάγη, ἀναιροῦνται οἱ ἅρπαγες, οὐ μὴν καὶ μείωσιν τῆς οὐσίας ὑφίστανται. Εἰ δὲ εὐγενὴς ἡρπάγη, πάντα τὰ πράγματα τοῦ ἁρπάσαντος, καὶ τῶν βοηθησάντων αὐτῷ, προσκυροῦνται τῇ ἁρπαγείσῃ. Οὔτε δὲ συναινοῦντος τοῦ πατρὸς, δύναται γαμεῖσθαι τῷ ἁρπάσαντι αὐτήν. Τὴν αὐτὴν δὲ ποινὴν τοῦ θανάτου καὶ τῶν πραγμάτων ὑφίστανται οἱ πρὸς τὴν ἔφοδον αὐτῷ ἀκολουθήσαντες· οἱ δὲ συνίστορες, καὶ ὑπουργοὶ, καὶ ὑποδοχεῖς, καὶ οἱ ὁπωσοῦν αὐτοῖς συσπουδάσαντες (3), οἵας ἂν εἶεν φύσεως, καὶ τύχης, ἢ βαθμοῦ, ἢ ἀξίας, μόνην τὴν κεφαλικὴν ὑφίστανται τιμωρίαν, εἰ καὶ ἑκοῦσα ἡ γυνὴ ἡρπάγη. Εἰ δὲ οἱ γονεῖς τῆς ἁρπαγείσης ἀνάσχωνται, καὶ παραχωρήσωσι, δεπορτατεύονται· οἱ δὲ ὑπουργήσαντες δοῦλοι καὶ δοῦλαι καίονται· καὶ ἀργεῖ (4) πάντα τὰ περὶ ἁρπαγῆς γυναικῶν ἀλλαχοῦ νενομοθετημένα, τῆς παρούσης διατάξεως ἀρκούσης ἐπὶ αὐτῶν, καὶ ἱερῶν, καὶ χηρῶν.

---

(1) Κ. Τρ. καὶ Σ. Ῥ.— ἀποδικαζόμενος Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. καὶ Σ. Ῥ.— οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. ἀλλ' ἐν τῇ Λατιν. μεταφράσει. — (3) Χ. Τρ.—σπουδάσαντες Ἑ. Ἰ. Β. — (4) Χ. Τ. Σ. Ῥ.—ἀρκεῖ Ἑ. Ἰ. Β.

Σχόλιον.

Ἡ δ'. διάτ. τοῦ μά τίτ. τοῦ γ'. βιβλίου τοῦ κώδικός ἐστι κεφ. μς'. τοῦ έ. τίτ. τοῦ ξ'. βιβλ. λέγουσα· Ἡ διάτ. ὁμοία τῇ δευτέρᾳ ἐστὶ καὶ τῇ γ'. καὶ λέγει, ὅτι ὁ δεσπότης ἀγνοῶν τὸ πταῖσμα τοῦ οἰκέτου νοξαλίᾳ (1) μόνον κατέχεται, εἰδὼς δὲ, ἰδίῳ ὀνόματι. Ὅλον δὲ τὸ τῆς διατ. νόμιμον τοιοῦτόν ἐστι, ὅτι ἐὰν οἰκέτης ἀλλότριος ἁρπάσῃ, εἴσω μὲν ἐνιαυτοῦ τὸ τετραπλοῦν ζητεῖ ἡ περὶ ἁρπαγῆς χρημάτων ἀγωγὴ, μετὰ δὲ τὸν ἐνιαυτὸν τὸ ἁπλοῦν, ἤτοι ἐφ' ᾧ δοῦναι τὸν οἰκέτην εἰς νόξαν, ἢ κατέχεσθαι τὸν δεσπότην αὐτοῦ, καὶ εἰς τὸ περιελθὸν εἰς αὐτόν. Εἰ δὲ συνειδότος τοῦ δεσπότου ἥρπασεν, εἰς τὸ διαφέρον ἐνέχεται ὁ δεσπότης πάντως, τουτέστιν εἰς τὸ τετραπλοῦν, ἢ εἰς τὸ ἁπλοῦν. Εἰ δὲ τὴν σὴν γαμετὴν ἥρπασε, κατ' αὐτοῦ τοῦ οἰκέτου κίνησον τὸ δημόσιον ἔγκλημα. Ἡ γ'. διάτ. τοῦ ιγ'. τίτ. τοῦ ζ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. γ'. τοῦ ιή τίτ. τοῦ μή. βιβλ. τῶν βασιλ. οὕτως ἔχον· Ἐὰν δοῦλος ἁρπαγὴν παρθένου καταμηνύσῃ, ἐλεύθερος γίνεται, ἢ ἐὰν τὴν ἤδη συγχωρηθεῖσαν ἀπελέγξῃ. Ἡ ζ'. διάτ. τοῦ θ'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ὁ ί. τίτ. τοῦ αὐτοῦ βιβλίου, οὐδὲ ὁ ιά. Ἡ δὲ ά. διάτ. τοῦ ιγ'. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. ά. τοῦ νή. τίτ. τοῦ ξ'. βιβλ. Καὶ αὐτὸ μὲν κατεστρώθη περὶ τὸ τέλος τοῦ κθ'. κεφαλαίου τοῦ παρόντος θ'. τίτ. τὸ δὲ β'. θέμα τούτου λέγει ταῦτα· Ἐὰν οὖν ἐν αὐτῇ τῇ ἁρπαγῇ εἷς ἐκ τούτων καταληφθῇ ἢ παρὰ τῶν πατέρων τῶν γυναικῶν, ἢ παρὰ τῶν ἀδελφῶν, ἢ ἐπιτρόπων, ἢ κουρατώρων, ἢ πατρώνων, ἢ δεσποτῶν, ἐξελεγχθέντες φονευέσθωσαν (2) αὐτοχειρὶ, μάλιστα ἐὰν καὶ γεγαμημένας γυναῖκας ἐπειράθησαν ἁρπάσαι. Τὸ αὐτὸ δὲ λέγομεν καὶ εἰ μνηστήν τις ἰδίαν ἥρπασεν. Εἰ δὲ δυνηθῶσιν οἱ τοιοῦτοι διαφυγεῖν, καὶ οἱ ἐν Κωνσταντινουπόλει, καὶ οἱ ἐν πάσῃ χώρᾳ ἄρχοντες καὶ στρατηλάται ἐκδικείτωσαν τὸ γινόμενον, κατέχοντες αὐτοὺς καὶ τιμωρούμενοι, καὶ μὴ συγχωροῦντες αὐτοῖς ἐκκαλέσασθαι. Καὶ εἰ μὲν δοῦλαί εἰσιν αἱ ἁρπαγεῖσαι, ἢ ἀπελεύθεραι, οἱ ἁρπάσαντες ὑποκείσθωσαν· εἰ δὲ καὶ εὐγενεῖς ἦσαν, τὰ πράγματα

(1) Χ. Τρ. — νοξάλια Ἐ. Ἰ. Β. — (2) Χ. Τρ.—φενενέσθωσαν Ἐ. Ἰ. Β.

τῶν ἁρπασάντων καὶ τῶν βοηθούντων αὐτοῖς, τῆς δεσποτείας αὐτῶν γινέσθωσαν προνοίᾳ τῶν ἀρχόντων καὶ τῶν γονέων εἰς προῖκα, ἢ ἐὰν μὴ βουληθῶσι γαμῆσαι, κατέχειν ταῦτα τὰ πράγματα. Μὴ ἐξέστω δὲ τῇ γυναικὶ αὐτὸν τὸν ἁρπάσαντα ἄνδρα λέγειν, μηδὲ τοὺς γονεῖς αὐτῆς τοῦτο αὐτῇ κελεύειν. Αἱ δὲ τιμωρίαι τῆς διατ. πᾶσαι ἔστωσαν κατ' αὐτῶν τῶν ἁρπασάντων καὶ βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρπαγῇ. Οἱ μέντοι συνειδότες καὶ ὑπηρετήσαντες, καὶ ὑποδεξάμενοι, ἢ οἱανδήτινα σπουδὴν αὐτοῖς συνενεγκόντες τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν, εἴτε βουλομένων τῶν γυναικῶν, εἴτε μὴ βουλομένων ἡ ἁρπαγὴ γέγονε. Καὶ οἱ γονεῖς δὲ τῆς γυναικὸς, κἂν ἀνεξικακήσωσι, περιοριζέσθωσαν. Εἰ δὲ καὶ δοῦλος εὑρεθῇ ἐν τῷ πράγματι, καιέσθω, πασῶν τῶν ἄλλων τιμωριῶν σχολαζουσῶν.

Κείμενον.

Καὶ βιβλίον μζ'. τίτ. β'. διάτ. λθ'. Ὁ δούλην ἀλλοτρίαν πόρνην οὖσαν ἁρπάζων ἢ κρύπτων, οὔτε ὡς κλέπτης, οὔτε ὡς ἀνδραποδιστὴς ἐνέχεται· οὐ γὰρ κλοπῆς ἀλλ' ἡδονῆς χάριν τοῦτο ἐποίησε. Βιβλ. μή. τίτ. έ. διάτ. χθ'. Ὁ ὡρισμένος εἰς κατηγορίαν τῆς μοιχείας χρόνος τῆς πενταετίας οὐκ ἔχει χώραν ἐπὶ τῆς κατὰ βίαν γινομένης φθορᾶς, ἀπροσδιορίστως γὰρ κινεῖται, ἐπειδὴ καὶ δημοσία βία πλημμελεῖται. Ὁμοίως διάτ. έ. τοῦ ς'. τίτ. τοῦ αὐτοῦ βιβλίου ἐν ᾧ φησιν, ὅτι ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας, καὶ ὁ ἁρπάσας γεγαμημένην ἢ μὴ γεγαμημένην ἐσχάτως τιμωρεῖται, καὶ ἐξωτικοῦ κατηγοροῦντος, ἐὰν ὁ τῆς κόρης πατὴρ παρακληθεὶς συνεχώρησε. Λέγει δὲ καὶ διάτ. ά. τοῦ ά. τίτ. τῶν νεαρῶν, ὅτι οἱ φθείροντες διακόνισσαν ὑπεύθυνοί εἰσι ξίφει, καὶ τὰς οὐσίας αὐτῶν λαμβάνει τὸ δημόσιον. Ἡ δὲ περὶ μανδάτου ἀρχόντων διαλεγομένη νεαρὰ ιζ'. ἀπαγορεύει ὅρους ἀσυλίας φυλάττεσθαι τοῖς ἅρπαξι τῶν παρθένων. Καὶ ἡ β'. τοῦ αὐτοῦ τίτ. διάτ. φησιν, ὅτι οἱ ἁρπάζοντες, ἢ ὑπο-

νοθεύοντες, ἢ διαφθείροντες ἀσκήτριαν, ἢ διακόνισσαν, ἢ μονάστριαν, ἢ ἄλλην εὐλαβὲς ἔχουσαν σχῆμα, καὶ οἱ μετασχόντες, κεφαλικῶς τιμωροῦνται καὶ τὰ πράγματα αὐτῶν τῇ ἐκκλησίᾳ, ἢ τῷ μοναστηρίῳ τῆς ὑβρισθείσης περιποιοῦνται διὰ τοῦ ἐπισκόπου, καὶ τοῦ οἰκονόμου, καὶ τῶν ἀρχόντων, καὶ τῶν τάξεων· αὐτὴ δὲ μετὰ τῶν πραγμάτων αὐτῆς ἐμβάλλεται μοναστηρίῳ ἀσφαλῶς φυλαχθησομένη. Εἰ δὲ διακόνισσά ἐστιν ἔχουσα νομίμους παῖδας, τὸ νόμιμον μέρος λαμβάνουσιν. Εἰ δὲ ἐπὶ ἐνιαυτὸν μετὰ τὸ γνωσθῆναι τὸ μῦσος, μὴ ἐκδικήσωσι τὰ πράγματα οἱ εὐαγεῖς οἶκοι, ὁ φίσκος αὐτὰ λαμβάνει, τοῦ ἀμελοῦντος αὐτὰ ἐκδικηθῆναι ἄρχοντος ἀποζωννυμένου, καὶ πέντε λίτρας τοῖς πριβάτοις προστιμωμένου. Ἡ δὲ ρμγ'. νεαρὰ διαλεγομένη περὶ γυναικὸς ἁρπαγείσης, καὶ γαμηθείσης τῷ ἁρπάσαντι, φησὶ τὴν τοιαύτην *γυναῖκα* (1) μὴ δύνασθαι λαβεῖν τὰ πράγματα αὐτοῦ, μήτε ἐκ τοῦ νόμου, μήτε ἐκ διαθήκης αὐτοῦ, μήτε οἱ μετασχόντες τοῦ μύσους, ἀλλ' οἱ γονεῖς αὐτῆς λαμβάνουσιν αὐτὰ, εἰ μὴ τῷ γάμῳ ἰδικῶς συνήνεσαν· εἰ γὰρ συνήνεσαν, εἰ μὴ περίεισι, φισκοῦνται τὰ τοιαῦτα πράγματα.

Σχόλιον.

Τὸ λθ'. διάτ. τοῦ ϛ'. τίτ. τοῦ μζ'. βιϐ. ἐστι κεφ. λθ'. τοῦ ιϐ'. τίτ. τοῦ ξ'. βιβλίου οὕτως ἔχον ὡς συνωψίσθη. Γίνωσκε δὲ ὅτι ὁ τοιοῦτος, κἂν μὴ ἐνέχεται ὡς κλέπτης, ἢ ὡς ἀνδραποδιστὴς, ἀλλὰ χρηματικῶς τιμωρεῖται παρὰ τοῦ ἄρχοντος, καὶ σωφρονίζεται. Καὶ ζήτει θέμα παρατέλευτον τοῦ λζ'. τίτ. τοῦ αὐτοῦ ξ'. βιϐλίου λέγον περὶ τὸ τέλος· Ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τῶν μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λς'. εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω, καὶ καθόσον εὐπορεῖ, κατ' ἀναλογίαν τῶν λς'. νομισμάτων διδότω. Τὸ κθ'. διάταγμα

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β.

τοῦ έ. τίτ. τοῦ μή. βιβλ. ἐστὶ θέμα τελευταῖον τοῦ κθ'. κεφ. τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλίου οὕτως ἔχον ὡς ἐγράφη. Τὸ δὲ έ. διάτ. τοῦ ς'. τίτ. τοῦ μή. βιβλ. τῶν διατάξεών ἐστι θέμα β'. τοῦ έ. κεφ. τοῦ ιή. τίτ. τοῦ ξ'. βιβλ. οὕτως ἔχον ὡς ἐγράφη. Ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι κεφ. ιβ'. τῆς ς'. νεαρᾶς τοῦ Ἰουστινιανοῦ, οὐκ ἐτέθη δὲ εἰς τὰ βασιλ. Ἡ περὶ μανδάτων διαλεγομένη ιζ'. νεαρά ἐστι κεφ. κά. τοῦ γ'. τίτ. τοῦ ς'. βιβλ. τῶν βασιλ. λέγον ταῦτα ῥητῶς· Οὔτε δὲ ἀνδροφόνοις, οὔτε μοιχοῖς, οὔτε παρθένων ἅρπαξιν ἁμαρτάνουσι τὴν ἐκ τῶν ὅρων φυλάξεις ἀσφάλειαν, ἀλλὰ κἀκεῖθεν ἐξελκύσεις, καὶ τιμωρίαν αὐτοῖς ἐπάξεις. Οὐ γὰρ τῶν τὰ τοιαῦτα ἁμαρτανόντων φείδεσθαι προσήκει, ἀλλὰ τῶν περιόντων ἵνα μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν. Ἄλλως τε ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις δέδοται παρὰ τοῦ νόμου, καὶ οὐκ ἂν εἴη δυνατὸν ἑκάτερον ἀσφαλίζεσθαι τῇ παρὰ τῶν ἀσύλων τόπων ἀσφαλείᾳ, καὶ τὸν ἀδικοῦντα, καὶ τὸν ἀδικούμενον. Ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλ. δ'. τῶν βασιλικῶν τίτ. ά. κεφάλαιῳ ιβ'. ταῦτά φησιν, εἴτις ἁρπάσῃ, καὶ τὰ ἑξῆς ὡς (1) ἐγράφη εἰς τὸ κείμενον. Ἡ ρμγ'. νεαρὰ κεῖται εἰς κεφ. β'. τοῦ νή. τίτ. τοῦ ξ'. βιβλ. οὕτω διαλαμβάνον ὡς ἐδηλώθη. Ἀνάγνωθι καὶ τὸν αὐτὸν νή. τίτ. ὅλον ὡραΐά τινα διδάσκοντα, καὶ διάφορα περὶ τῶν ἁρπαζόντων οἱασδήτινας γυναῖκας.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ ἱερατικῶν συλλουομένων γυναιξί. Συνόδου Λαοδικείας κανὼν λ'. Συνόδου στ'. κανὼν οζ'.

Κείμενον.

Ἡ περὶ ρεπουδίων νεαρὰ ριζ'. δίδωσιν ἄδειαν τῷ ἀνδρὶ τῆς αὐτοῦ γαμετῆς παρὰ γνώμην αὐτοῦ συλλουο-

(1) Χ. Τρ. — οὐχ εὑρηται τὸ, ὡς ἐν Ἑ. Ἰ. Β.

μένης ἀνδράσι στέλλειν αὐτῇ ρεπούδιον, καὶ λύειν τὸν γάμον, καὶ κερδαίνειν τὴν αὐτῆς προῖκα.

Σχόλιον.

Ἡ ριζ'. νεαρὰ τοῦ Ἰουστινιανοῦ κεῖται εἰς βιβλίον κή. τίτ. ζ'. καὶ λέγει τὸ δ'. θέμα τοῦ ά. κεφ. ταῦτα ῥητῶς· Ἐὰν ἀνδράσιν ἐξωτερικοῖς γυνὴ μὴ βουλομένου τοῦ ἀνδρὸς συμποσιάζῃ, ἢ συλλούηται, καὶ ἔστι μία τῶν λυουσῶν τὸν γάμον αἰτιῶν καὶ αὕτη.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ ἐπισκόπων, καὶ κληρικῶν γινομένων λαϊκῶν, ἢ ἀξιωματικῶν, ἢ στρατευομένων. Ἀποστόλων κανὼν πγ'. Συνόδου Νικαίας κανὼν ιβ'. Συνόδου Χαλκηδόνος κανὼν ζ'.

Κείμενον.

Βιβλίον ά. τοῦ κώδικος τίτ. γ'. διάτ. λζ'. Οἱ δοῦλοι γνώμῃ τῶν δεσποτῶν μονάζοντες ἐλευθεροῦνται· εἰ δὲ καταλιπόντες τὴν ἄσκησιν, ἑτέραν κατάστασιν μετέλθωσιν, ἀναδουλοῦνται. Καὶ διάτ. νδ'. τοῦ αὐτοῦ τίτ. ὅτι ἐάν τις ὢν κληρικὸς ἐνόπλως στρατεύσηται, ἢ καθαιρεθεὶς μετέλθῃ στρατείαν, ἀποστρατεύεται, καὶ βουλευτὴς παραχρῆμα γίνεται τῆς ἰδίας πόλεως, ἢ ἑτέρας μέχρι μιᾶς ἐπαρχίας, ἐὰν ἡ πόλις αὐτοῦ πολλοὺς ἔχῃ βουλευτάς. Εἰ δὲ λανθάνοι, ἐπιλαμβάνονται οἱ βουλευταὶ τῶν πραγμάτων αὐτοῦ, καὶ τὸ μὲν ἥμισυ ἐν προσόδῳ οὔσῃ, ἢ ὠνουμένῃ λαμβάνουσι, τὸ δὲ ἥμισυ τῇ τραπέζῃ τῶν ὑπάρχων εἰσκομίζεται. Τὸ αὐτὸ καὶ ἐπὶ μοναχοῦ ὁπωσοῦν στρατευομένου, ἢ λαμβάνοντος ἀξίαν, ἢ τὸν ἐν δικαστηρίοις βίον μεταδιώκοντος.

Σχόλιον.

Ἡ λζ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Οὐδὲ ἡ ιδ'. διάτ. τοῦ αὐτοῦ τίτ. οὐδὲ

ἡ νγ'. Ζήτει δὲ βιβλ. τῶν βασιλικῶν δ'. τίτ. ά. κεφ. ιά. θέμα γ'. οὕτω λέγον· Ἐὰν μοναχὸς καταλείψῃ τὸ μοναστήριον, καὶ εἰς κοσμικὸν βίον μετέλθῃ (1), τοῦτον τῆς στρατείας καὶ τῆς τιμῆς, εἴ τινα ἔχοι (2), πρῶτον γυμνωθέντα ἐκ τοῦ ἐπισκόπου τοῦ τόπου, καὶ τοῦ τῆς ἐπαρχίας ἄρχοντος, εἰς μοναστήριον βάλλεσθαι, καὶ τὰ πράγματα, ὅσα μετὰ ταῦτα ἔχειν δειχθείη, τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται διαφέρειν· εἰ δὲ καὶ πάλιν καταλείψῃ τὸ μοναστήριον, τότε αὐτὸν ὁ ἄρχων τῆς ἐπαρχίας, ἐν ᾗ ἂν εὑρεθείη, κρατείτω, καὶ τῇ ὑποκειμένῃ αὐτῷ τάξει συναριθμείτω. Κεφ. γ'. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. οὕτως ἔχον· Εἴ τις δὲ εἰς μοναχικὸν βίον ἐλθεῖν βουληθείη, κελεύομεν ἵνα, εἰ μὲν γνώριμός ἐστιν ὅτι οὐδεμιᾷ τύχῃ ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου, ὅτε συνίδοι, τὸ σχῆμα αὐτῷ παράσχῃ· εἰ δὲ μὴ γνωρίζεται, εἰ οἱᾳδήποτε ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαμβάνειν αὐτὸν τὸ μοναχικὸν σχῆμα, ἀλλ' ἐντὸς τοῦ εἰρημένου χρόνου ἀποπειράσθω τῆς τούτου ἀναστροφῆς ὁ τοῦ μοναστηρίου ἡγούμενος. Καὶ εἰ ἐντὸς τριετίας ἀναφυῇ τις λέγων ἢ δοῦλον, ἢ κολωνὸν (3), ἢ ἐναπόγραφον τοῦτον ἴδιον εἶναι, ἢ καὶ ὡς φεύγοντα τὴν γεωργίαν, ἢ ὥς τι κλέψαντα, ἢ διά τι πταῖσμα εἰς τὸ μοναστήριον αὐτὸν εἰσεληλυθέναι, καὶ ταῦτα ἀποδειχθείη, τῷ ἰδίῳ δεσπότῃ τοῦτον ἀποκαθίστασθαι μετὰ τῶν πραγμάτων, ἅπερ δειχθείη εἰς τὸ μοναστήριον εἰσαγαγών, λόγον πρότερον, ὡς οὐδὲν ὑπομενεῖ, παρὰ τοῦ ἰδίου δεσπότου λαμβάνοντα. Εἰ δὲ ἐντὸς τριετίας μηδεὶς ἐναγάγῃ τινὶ τῶν εἰρημένων προσώπων, ὁ ἡγούμενος τοῦ μοναστηρίου μετὰ τὴν παραδρομὴν τοῦ τριετοῦς χρόνου, εἰ τὸν τοιοῦτον ἄνδρα ἄξιον κρίνῃ, τότε διδότω αὐτῷ τὸ σχῆμα, καὶ μηδεὶς αὐτῷ ὄχλησιν μετὰ ταῦτα ὑπὲρ τῆς τύχης εἰσφερέτω, ἐνόσῳ μέντοι γε ἐν τῷ μοναστηρίῳ διάγει· τὰ δὲ πράγματα, ἅπερ εἰς τὸ μοναστήριον εἰσαγαγὼν φανείη, τῷ δεικνυμένῳ δεσπότῃ ἀποδιδόσθω. Εἰ δέ τις τῶν εἰρημένων προσώπων καταλείψῃ τὸ μοναστήριον, καὶ εἰς κοσμικὸν ἔλθῃ βίον, ἢ ἐν ταῖς πόλεσιν, ἢ ἐν τοῖς ἀγροῖς περιέρχεται, τῇ ἰδίᾳ τύχῃ παραδιδόσθω. Κεφ. ί. τοῦ αὐτοῦ

(1) Χ. Τρ.—ἐπέλθῃ Ἐ. Ἰ. Β.—(2) εἶτα καὶ ὧν ἔχει, Χ. Τρ.—(3) ἢ μισθωτὸν Βασιλ.

τίτ. λέγον· Ἀπογορεύομεν δὲ τοῖς γονεῦσι τοὺς ἰδίους παῖδας μοναχικὸν βίον ἐπιλεγομένους ἐκ τῶν εὐαγῶν μοναστηρίων ἀφέλκειν.

Κείμενον.

Διάτ. νδ'. τοῦ αὐτοῦ τίτ. Οὐκ ἔξεστι τοῖς γονεῦσιν βουλομένους τοὺς παῖδας μονάσαι, ἢ κληρωθῆναι, κωλύειν, οὔτε διὰ τοῦτο μόνον ἀποκληρονόμους ποιεῖν· ἀλλ' εἰ μὲν τὰ καθ' ἑαυτοὺς διατυποῦσιν, ἀνάγκην ἔχουσι τρεῖς οὐγγίας ἐᾷν αὐτοῖς· εἰ δὲ μὴ διατυπώσωσι, χώρα τοῖς ἐξ ἀδιαθέτου. Εἰ δὲ τὰς ἐκκλησίας ἢ τὰ μοναστήρια καταλίπωσι, καὶ κοσμικοὶ γένωνται, πάντα τὰ δίκαια αὐτῶν τῷ μοναστηρίῳ καὶ τῇ ἐκκλησίᾳ διαφέρειν. Λέγει δὲ καὶ ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, ὅτι εἴτε πρεσβύτερος, εἴτε διάκονος, εἴτε ὑποδιάκονος, ἢ ἀναγνώστης, ἀπολιπεῖν βουληθῇ τὸ σχῆμα τοῦ κληρικοῦ, καὶ εἰς ἕτερον βίον μετελθεῖν, ἢ εἰς βουλευτήριον μετὰ τῆς οὐσίας, ἢ ἄπορος ὢν εἰς ταξεωτικὴν καταχθήσεται τύχην. Καὶ ἡ ιβ'. διάτ. τοῦ αὐτοῦ τίτ. φησί· Μηδεὶς τὸν οἰκεῖον κλῆρον ἐῶν γινέσθω κοσμικὸς, ἐπεὶ καὶ τῆς ὡς εἰκὸς προσούσης αὐτῷ ἀξίας ἢ στρατείας ἀποστερεῖται, καὶ τῇ βουλῇ τῆς ἰδίας πόλεως ἀποδίδοται. Καὶ ἐὰν δοῦλος εἰδότος καὶ μὴ ἀντιλέγοντος τοῦ δεσπότου κληρωθῇ, ἐλεύθερος καὶ εὐγενὴς γίνεται· ἀγνοῶν δὲ ὁ δεσπότης εἴσω ἑνὸς ἐνιαυτοῦ τὴν τύχην ἀποδεικνὺς λαμβάνει αὐτόν· ὁ δὲ οὕτως ἐλευθερούμενος, ἐὰν εἰς κοσμικὸν βίον μετέλθῃ, παραδίδοται τῷ δεσπότῃ αὐτοῦ εἰς δουλείαν· καὶ ὅτι ὁ διὰ τὸ μονάσαι ἐλευθερωθεὶς, ἐὰν κοσμικὸς γένηται, ἢ ἐν πόλεσιν, ἢ ἐν ἀγροῖς περιέρχηται, ἀποδίδοται τῇ ἰδίᾳ τύχῃ. Καὶ ἡ ιγ'. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι δοῦλος κατὰ τὴν ἐν αὐτῷ παρατήρησιν μονάσας, ἐὰν πειραθῇ τὸ μοναστήριον καταλιπεῖν, καὶ βίου ἑτέρου σχῆμα μετελθεῖν, ἔξεστι τῷ ἰδίῳ δεσπότῃ

τὴν τύχην ἀποδεκνύντι, ἕλκειν αὐτὸν καὶ εἰς οἰκέτας ὑπάγειν. Λέγει δὲ καὶ ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, ὅτι ἐὰν μοναχὸς γένηται λαϊκὸς, γυμνοῦται τῆς στρατείας καὶ τῆς τιμῆς, καὶ διὰ τοῦ ἐπισκόπου μεθ' ὧν ἐπεκτήσατο εἰς μοναστήριον βάλλεται· εἰ δὲ πάλιν καταλίπῃ τὸ μοναστήριον, ὁ ἄρχων τῆς ἐπαρχίας ἐν ᾗ συνελήφθη ἑνοῖ αὐτὸν τῇ ἐπιχωρίῳ τάξει.

Σχόλιον.

Ἡ νγ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ὡς καὶ ὄπισθεν ἐγράψαμεν. Ζήτει δὲ βιβλίον δ'. τίτ. ά. κεφ. θ'. οὕτως ἔχον· Οὐδεμίαν δὲ ἄδειαν διδόαμεν ἢ τοῖς γονεῦσι τοὺς παῖδας, ἢ τοῖς παισὶ τοὺς γονέας, τὴν κοσμικὴν διαγωγὴν καταλιμπάνοντας, ὡς ἀχαρίστους ἀποκλείειν τῆς ἰδίας κληρονομίας, ὑπὲρ αἰτίας πρὸ τοῦ μοναχικοῦ βίου παρακολουθησάσης. Ἡ ά. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ς'. τοῦτο δὲ τὸ κεφ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ β'. διάτ. τοῦ αὐτοῦ τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ργ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. ά. καὶ λέγει τὸ λδ'. κεφ. τούτου, ὅσα εἰς τὸ κείμενον περιέχονται. Ἀνάγνωθι τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. κεφ. λζ'. ὅπερ κατεστρώθη εἰς τὴν ἑρμηνείαν τοῦ λς'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος. Ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος έ. τοῦτο δὲ τὸ κεφ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ τίτ. ἐστὶ νεαρὰ Ἰουστινιάνειος ργ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν δ'. τίτ. ά. κεφ. ιά. καὶ ἀνάγνωθι τοῦτο καταστρωθὲν ῥητῶς ἐν τῇ ἀρχῇ τοῦ παρόντος λβ'. κεφ.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῶν συνεπισταμένων ἁμαρτάνουσι κληρικοῖς, καὶ μὴ φανερούντων. Βασιλείου κανὼν οά.

Κείμενον.

Περὶ τῶν ὑποδεχομένων ἢ κρυπτόντων λῃστὰς, ἢ δυναμένων καὶ μὴ παραδιδόντων, ἢ ἑτέροις ἐγκλήμασιν ὑποκειμένων, διαλαμβάνει ὁ λθ'. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικος, καὶ ὁ ις'. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατάξεων, πῇ μὲν αὐτοὺς ὑποβάλλοντες ταῖς κατ' ἐκείνων ἁρμοζούσαις τιμωρίαις, πῇ δὲ διαφόρους ἑτέρας ποινὰς ἐπάγοντες· καὶ πῶς ἀποσπῶνται οἱ ὑπεύθυνοι διάγοντες ἐν χωρίοις. Ὁ δὲ (1) συγγενῆ, ἢ ἀγχιστέα λῃστὴν φυλάξας καὶ διασώσας, μέσως πως τιμωρεῖται, ὡς διάτ. β'. τοῦ εἰρημένου ις'. τίτ. τοῦ μζ'. βιβλίου.

Σχόλιον.

Ὁ λθ'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς κεφ. γ'. τοῦ κζ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, καί φησιν οὕτως· Ὁ ὑποδεξάμενός τινα ἐνεχόμενον ἐγκλήματι ἐν εἰδήσει, τὴν αὐτὴν ὑποστήσεται τιμωρίαν· ὁ δὲ ὑποδεξάμενος λῃστὰς καὶ μὴ προσαγαγὼν αὐτοὺς δικαστηρίῳ δημευέσθω, ἢ τιμωρείσθω κατὰ τὴν ποιότητα τοῦ προσώπου ὡς ἂν ὁ δικαστὴς συνίδῃ. Ὁ ις'. τίτ. τοῦ μζ'. βιβλ. τῶν διατ. ἐτέθη εἰς κεφ. ά. τοῦ αὐτοῦ κζ'. τίτ. τοῦ ξ'. βιβλ. καί φησιν· Οἱ ὑποδοχεῖς τῶν λῃστῶν ὡς λῃσταὶ τιμωροῦνται, καὶ οἱ δυνάμενοι κρατῆσαι τοὺς λῃστὰς καὶ ἀπολύσαντες χρήματα λαβόντες, ἢ μέρος τῶν λῃστευθέντων. Τὸ β'. διάτ. τοῦ ις'. τίτ. τοῦ μζ'. βιβλίου τῶν διατάξεών ἐστι κεφ. β'. τοῦ ῥηθέντος κζ'. τίτ. τοῦ ξ'. βιβλ. οὕτως ἔχον ῥητῶς ὡς ἐγράφη. Ἀνάγνωθι καὶ τὸ δ'. αὐτοῦ κεφ. διδάσκον πῶς ἀποσπῶνται οἱ ἐνεχόμενοι ἐγκλήμασι, καὶ διατρίβοντες ἐν κτήμασι, καὶ ὅτι εἰ μὴ διδόασι τούτους οἱ δεσπόται τοῦ κτήματος τῷ ἄρχοντι, στερίσκονται τῆς δεσποτείας αὐτοῦ, καὶ οἱ πρωτεύοντες καὶ οἱ φροντισταὶ τούτου ἐξορίζονται. Σὺ δὲ ζήτει τὸν ὅλον κζ'. τίτλον τοῦ ξ'. βιβλίου. Ἀνάγνωθι καὶ βιβλίον ά. τίτ. β'. κεφ. κβ'. ν'. καὶ ξ'. καὶ βιβλίον ξ'. τίτ. λθ'. κεφ. τελευ-

(1) Χ. Τρ. καὶ Σ. Ῥ. — ὁ γὰρ Ἑ. Ἰ. Β.

ταῖον· διαλαμβάνουσι γὰρ ὅτι ἐπίσης τοῖς αἱρετικοῖς καὶ τοῖς γόησι κολάζονται οἱ αὐτοὺς ὑποδεχόμενοι καὶ συγκαλύπτοντες.

ΚΕΦΑΛΑΙΟΝ. ΛΔ'.

Περὶ τοῦ καθαιρεῖσθαι τοὺς κληρικοὺς διδόντας ἐγγύας. Ἀποστόλων κανὼν κ'.

Κείμενον.

Ἡ κέ. καὶ λϐ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος λέγουσι τοὺς κληρικοὺς δικαζομένους διδόναι ἐγγύας. Ἡ δὲ ϐ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν λέγει τοὺς μὲν κληρικοὺς δικαζομένους μὴ διδόναι ἐγγυητάς, ἀλλ' ὁμολογίαν ἐνυπόθηκον ποιεῖν ἄνευ ὅρκου· τοὺς δὲ ἐπισκόπους δικαζομένους μήτε ἐγγύας διδόναι, μήτε ποιεῖν ὁμολογίαν.

Σχόλιον.

Ἡ κέ. καὶ λϐ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά. Ἡ δὲ ϐ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ γ'. τῶν βασιλικῶν τίτ. ά. καί φησι τὸ μδ'. κεφ. καὶ μέ. τοῦ αὐτοῦ περὶ τὰ τέλη ὅσα συνωψίσθησαν παρὰ τοῦ Πατριάρχου. Τὰ μέν τοι γραφέντα εἰς τὴν ἑρμηνείαν τοῦ κ'. κανόνος τῶν ἁγίων Ἀποστόλων ἀρκοῦσιν εἰς διευλύτωσιν τῆς εἰσαγομένης ἀμφιϐολίας χάριν τῶν ἐγγυῶν τῶν ἐπισκόπων, καὶ τῶν κληρικῶν, καὶ ἀνάγνωθι ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ κληρικῶν ἐσθιόντων ἐκ καπηλείῳ, ἢ πανδοχείῳ. Ἀποστόλων κανὼν νδ'. Συνόδου Λαοδικείας κανὼν κδ'. Συνόδου Καρθαγένης κανὼν μ'. Συνόδου στ'. κανὼν θ'.

Κείμενον.

Ἡ ιδ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησιν, ὅτι τὸν μοναχὸν ἀναστρεφόμενον ἐν καπηλείῳ δεῖ σωφρονίζεσθαι, ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τῶν ἐκδίκων, ἐν δὲ Κωνσταντινουπόλει παρὰ τοῦ ἐπάρχου τῶν πραιτωρίων, ἐξωθούμενον τῶν μοναστηρίων παρὰ τῶν ἡγουμένων. Πανταχοῦ δὲ κρατεῖ ὁ νόμος, καὶ προνοοῦσι τῆς φυλακῆς αὐτοῦ οἱ ὕπαρχοι καὶ οἱ ἄρχοντες.

Σχόλιον.

Ἡ ιδ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλγ'. κειμένη ἐν βιβλίῳ δ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. ις'. οὕτως ἔχοντι ὡς συνωψίσθη, καὶ ἀνάγνωθι τοῦτο. Ζήτει καὶ κανόνα τῶν ἁγίων Ἀποστόλων μβ'. μγ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΣΤ'.

Περὶ κληρικῶν ὑβριζόντων βασιλέα, ἢ ἐπίσκοπον, ἢ ἄρχοντα, ἢ πρεσβύτερον. Ἀποστόλων κανὼν νέ. νς'. πδ'.

Κείμενον.

Ἰδικῶς μὲν περὶ κληρικῶν ὑβριζόντων ὁ πολιτικὸς νόμος οὐ διαλαμβάνει· λέγει δὲ βιβλίον θ'. τοῦ κώδικος τίτ. ζ'. διάτ. ά. καὶ μόνη, ὅτι ὁ τὸν βασιλέα ὑβρίζων οὐ τιμωρεῖται, οὔτε τι σκληρὸν ἢ τραχὺ ὑπομένει· ἢ γὰρ ἀπὸ κουφότητος εἶπε, καὶ περιφρονεῖται· ἢ ἐξ ἀνοίας, καὶ ἐλεεῖται· ἢ ὡς ἀδικούμενος, καὶ συγχωρεῖται· ἀναφέρεται δὲ τῷ βασιλεῖ, καὶ αὐτὸς ἐκ τῆς ποιότητος τοῦ προσώπου κρίνει εἰ ὀφείλει συγχωρηθῆναι ἢ τιμωρηθῆναι. Εἴρηται γὰρ καὶ βιβλίῳ μή. τίτ. δ'. διατ. ζ'. ὅτι οὐ χρὴ τοὺς δικαστὰς ἀποκεχρῆσθαι τῇ βασιλικῇ τιμῇ, ἀλλὰ τὸ ἀληθὲς σκοπεῖν, καὶ εἰ δυνατὸν ἦν τὸ πρόσωπον ποιῆσαι,

καὶ εἰ πρὸ τούτου ἐποίησε, καὶ εἰ ἐνεθυμήθη, καὶ εἰ ἔνηφεν· οὔτε γὰρ εὐχερῶς ὀφείλει τιμωρεῖσθαι ὁ φλύαρος, εἰ μὴ τοιοῦτό ἐςι τὸ ἁμάρτημα, ὅπερ νόμος ῥητῶς ἢ ἐξ ὁμοίου τιμωρεῖται· τραχύτερον δὲ κατὰ ςρατιωτῶν κινεῖται. Γενικῶς δὲ περὶ τῶν ὑβριζόντων, ἢ τυπτόντων, ἢ ποιούντων φάμοσα (1) καὶ τῶν εὑρισκόντων αὐτὰ καὶ ἀναγινωσκόντων, καὶ μὴ διαῤῥηγνύντων, διαλαμβάνει βιβλίον μζ'. τίτ. ί. καὶ βιβλίον θ'. τοῦ κώδικος τίτ. λέ. καὶ λς'. καὶ Ἰνστιτουτίων δ'. τίτ. δ'. ἐν οἷς εἴρηται ὅτι καὶ χρηματικῶς καὶ ἐγκληματικῶς κινεῖται, καὶ ὅτι ὁ περὶ ὕβρεως καταδικαζόμενος ἄτιμος γίνεται, κἂν ἀλλότριον δοῦλον ὕβρισεν, ἢ φιλικῶς ἐπὶ δόσει χρημάτων ἀπηλλάγη, ὡς βιβλίον γ'. τίτ. β'. διάτ. β'. καὶ ς'. καὶ ὅτι τραχεῖα ὕβρις ἐστὶν ἡ γινομένη ἄρχοντι, ἢ ὑπάτῳ, καὶ ἱερεῖ, καὶ ἀξιωματικῷ, καὶ ὅτι εἴσω ἐνιαυτοῦ μόνον κινεῖται. Κεφαλικὴ δὲ τιμωρία ὥρισται κατὰ τῶν ποιούντων φάμοσα, καὶ τῶν ἀναγινωσκόντων αὐτὰ, καὶ τὴν δύναμιν αὐτῶν λεγόντων τισὶν, ὡς βιβλίον θ'. τίτ. λς'.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ ζ'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικός ἐστι βιβλίον ξ'. τίτ. λς'. κεφ. ιγ'. οὕτως ἔχον ὡς συνωψίσθη. Τὸ ζ'. διάτ. τοῦ δ'. τίτλου τοῦ μή. βιβλίου ἐστὶ θέμα β'. τοῦ ή. κεφ. τοῦ λς'. τίτ. τοῦ ξ'. βιβλίου, διαλαμβάνον ῥητῶς ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Σημείωσαι οὖν καὶ ἀμφότερα ξένα ὄντα, καὶ χρήσιμα κατὰ πολύ. Ὁ ί. τίτ. τοῦ μζ'. βιβλίου τῶν διατάξεων ἐτέθη εἰς τίτ. κά. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν ἐξ αὐτῆς ἀρχῆς· καὶ ζήτει κεφ. διάφορα τούτου περὶ ὕβρεων, καὶ φαμόσων διαλεγόμενα. Τὸ δὲ ά. κεφ τοῦ αὐτοῦ τίτ. λέγει ταῦτα ῥητῶς· Γενικῶς μὲν ὕβρις λέγεται τὸ παράνομον, ἰδικῶς δὲ ἡ περιφρόνησις, καὶ ἡ ζημία, ὡς ἐπὶ τοῦ Ἀκουϊλίου, καὶ ἡ ἀδικία ὡς ἐπὶ τοῦ ἀδίκως καὶ παρανόμως ψηφισαμένου.

(1) λατιν. famosos libellos (ὑβριστικὰ ἔγγραφα).

Ὁ λέ. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς κεφ. μγ'. τοῦ κά. τίτ. τοῦ ξ'. βιβλίου λέγον· Ὁ κατὰ συκοφαντίαν κινήσας τὴν περὶ ὕβρεως ἀγωγὴν, ἢ ἐξορίζεται, ἢ τοῦ ἀξιώματος ἀποκινεῖται. Καὶ ὁ λς'. τίτ. τοῦ αὐτοῦ βιβλίου κεῖται εἰς τίτ. ξγ'. τοῦ ξ'. βιβλίου, καί φησι τὸ ά. κεφ. ταῦτα· Πᾶς ὁ εὑρίσκων φλυαρίαν ἐσφραγισμένην, ἢ ἀσφράγιστον, καὶ μὴ παραχρῆμα καίων, ἀλλὰ (1) ἀναγινώσκων, ὑποκείσθω τιμωρίᾳ ᾗ τινι ὑπέκειτο καὶ ὁ συντεθεικὼς τὴν φλυαρίαν. Καὶ κεφ. β'. Ὁ εὑρὼν φλυαρίαν μηδενὶ ἑτέρῳ λεγέτω τὴν δύναμιν αὐτῆς, ἀλλὰ διαῤῥήξει αὐτὴν ἢ καύσει· ὁ δὲ ταῦτα μὴ ποιήσας κεφαλικῇ τιμωρίᾳ ὑποβληθήσεται· πᾶς γὰρ θαῤῥῶν ἅπερ ἐντάττει ἐν τῇ φλυαρίᾳ κατηγορείτω, γινώσκων ὅτι ἐὰν ἀποδείξῃ τιμῆς ἀξιοῦται, μὴ ἀποδείξας δὲ τιμωρεῖται· ὁ δὲ τοιοῦτος χάρτης τὴν καθ' οὗ ἐτέθη ὑπόληψιν μὴ βλάψῃ. Ὁ δὲ δ'. τίτ. τῆς δ'. ἰνςιτουτιῶνος οὐκ ἐτέθη μὲν εἰς τὰ βασιλικά· φησὶ δὲ τὴν περὶ ὕβρεως ἀγωγὴν καὶ χρηματικῶς, καὶ ἐγκληματικῶς κινεῖσθαι. Τὸ β'. καὶ στ'. διάτ. τοῦ β'. τίτ. τοῦ γ'. βιβλίου τῶν διατάξεων ἐτέθη ἀπ' ἀρχῆς τοῦ ά. κεφ. τοῦ β'. τίτ. τοῦ κά. βιβλίου τῶν βασιλικῶν· καὶ ζήτει διάφορα κεφάλαια τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. Ἀνάγνωθι καὶ γ'. θέμα τοῦ ά. κεφ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου καταστρωθὲν εἰς τὸ κζ'. κεφ. τοῦ παρόντος τίτ. περὶ τὰ μέσα.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ τῶν ποιούντων συνωμοσίας ἢ φατρίας. Συνόδου Χαλκηδόνος κανὼν ιή. Συνόδου Καρθαγένης κανὼν νγ. Συνόδου ς'. κανὼν λδ'.

Κείμενον.

Καὶ ὁ πολιτικὸς νόμος τιμωρεῖται τὰς φατρίας (2) καὶ τὰς συνωμοσίας, ὡς βιβλίον μή. τίτ. δ'. διάτ. δ'. καὶ τίτ. ιθ'. διατ. ιά. καὶ ις'.

(1) Χ. Τρ. — καὶ ἄλλα ἀναγινώσκων Ἐ. Ἰ. Β. — (2) Χρ. Τρ. καὶ Σ. Ῥ. — φρατρίας Ἐ. Ἰ. Β.

Σχόλιον.

Ὁ δ΄. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. ἐτέθη εἰς τὸν λς΄. τίτ. τοῦ ξ΄. βιβλίου τῶν βασιλικῶν· καὶ ζήτει κεφ. δ΄. λέγει γὰρ τοῦτο, μετὰ τὸ εἰπεῖν τὰ πρὸ αὐτοῦ κεφ. τίνες ἐνέχονται τῷ περὶ καθοσιώσεως ἐγκλήματι, ταῦτα ῥητῶς· Καὶ ὁ συνωμοσίαν κατὰ τῆς πολιτείας παρασκευάσας γενέσθαι, καὶ ὁ ἐπιβουλεύσας ἐν στρατοπέδῳ, ἢ τοῖς πολεμίοις αὐτὰ προδοὺς, καὶ ὁ κατὰ δόλον ἐμποδίσας ὑπὸ Ῥωμαίους γενέσθαι τοὺς πολεμίους, ἢ παρασκευάσας αὐτοὺς βοηθηθῆναι πλήθει, ἢ ὅπλοις, ἢ ἵπποις, ἢ χρήμασιν, ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ, ἢ τοὺς φίλους τῆς πολιτείας ἐχθροὺς ποιήσας, ἢ κωλύσας ἕτερον ἔθνος πειθαρχῆσαι τῇ πολιτείᾳ, ἢ παρασκευάσας τοῖς ἐχθροῖς δεχθῆναι ὁμήρους, ἢ χρήματα, ἢ ὑποζύγια. Τὸ ιά. καὶ ις΄. διάτ. τοῦ ιθ΄. τίτ. τοῦ μή. βιβλίου τῶν διατ. εἰσὶ θέμα γ΄. τοῦ ιά. κεφ. τοῦ νά. τίτ. τοῦ ξ΄. βιβλίου, καὶ κεφ. ις΄. τοῦ αὐτοῦ τίτ. καὶ βιβλίου· καὶ ἄμφω γὰρ κολάζουσι τοὺς ποιοῦντας συνωμοσίας ἢ φατρίας.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ΄.

Ποῖα ἁμαρτήματα λύει ἡ χειροθεσία. Συνόδου Νεοκαισαρείας κανὼν θ΄. καὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν ιβ΄. καὶ τὰ ἐν αὐτῷ παρ᾽ ἡμῶν γραφέντα.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ΄.

Περὶ μετανοίας, καὶ τίνες ἄδειαν ἔχουσι διδόναι τοῖς μετανοοῦσι καταλλαγήν· καὶ ὅτι ἔξεστι τῷ ἱερεῖ μειοῦν καὶ αὔξειν τὰ ἐπιτίμια. Ἀποστόλων κανὼν νά. νβ΄. Συνόδου Νικαίας κανὼν ιά. ιβ΄. Συνόδου Ἀγκύρας κανὼν ά. β΄. γ΄. δ΄. έ. ς΄. ζ΄. ή. θ΄. Συνόδου Νεοκαισαρείας κανὼν ά. β΄. ιά. ιβ΄. Συνόδου Καρθαγένης κανὼν ς΄. ζ΄. κζ΄. μγ΄. μέ. Συνόδου Λαοδικείας κανὼν β΄. Συνόδου ς΄. κατ

νὼν ρβ'. Βασιλείου κανὼν έ. λδ'. οδ' οέ. οστ'. πβ'. πδ'. Γρηγορίου Νύσσης κανὼν γ'. δ'. ζ'. ή.

Κείμενον.

Ἡ γ'. διάτ. τοῦ ζ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος ἀνεῖλε τὴν μετάνοιαν τῶν ὀρθοδόξων εἰς αἱρετικοὺς ἀποστάντων. Ἡ δὲ λζ'. νεαρὰ, ἡ περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς διαλεγομένη, καὶ τοῖς τοιούτοις καιρὸν δέδωκε μετανοίας. Ἡ δὲ λδ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος καὶ ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, ἄδειαν τῷ ἐπισκόπῳ δέδωκε, θεωροῦντι μετάνοιαν τοῦ κυβεύσαντος κληρικοῦ, ἢ θέαις παρεμβαλόντος (1), μειοῦν τὸ ἐπιτίμιον, καὶ πρὸ συμπληρώσεως τοῦ ὁρισθέντος χρόνου ἀποκαθιστᾷν αὐτὸν τῇ θείᾳ λειτουργίᾳ Τοῦτο δὲ περὶ ἐπισκόπων ἰδικόν ἐστιν· οἱ γὰρ πολιτικῶς δικάζοντες ἄδειαν ἔχουσι, τὴν ἀρχὴν ψηφιζόμενοι, καὶ αὔξειν καὶ μειοῦν τὴν ποινὴν, ὡς μέν τοι ἐπὶ ἑκατέρου μὴ παρεξιέναι τὴν συμμετρίαν, ὡς βιβλίον μή. τίτ. ιθ'. διατ. ιβ'. ιγ'. Εἰ καὶ τὰ μάλιστα εἴρηται βιβλίῳ τῷ αὐτῷ τίτ. ις'. διατ. ά. καὶ βιβλίῳ ν'. τίτ. ά. διατ. ιέ. ὅτι ἡ τοῦ φάκτου ζήτησις ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις· ὅμως μέν τοι ὁ ψηφισάμενος οὐκέτι δύναται τὴν ψῆφον ἀνατρέπειν. Εἴρηται γὰρ βιβλίῳ ζ'. τοῦ κώδικος τίτ. ν'. διατ. ά. ὅτι οὔτε τὴν ἰδίαν ψῆφον, οὔτε τὴν τοῦ διαδεχθέντος (2) δύναταί τις ἀνατρέψαι· καὶ βιβλίον θ'. τίτ. μζ'. διάτ. ιέ. ὅτι ὁ ἄρχων ἀνατρέπειν οὐ δύναται τὴν παρ' αὐτοῦ ὁρισθεῖσαν ποινήν.

Σχόλιον.

Ἡ γ'. διάτ. τοῦ ζ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, κἂν ὁ τοιοῦτος τίτ. κεῖται ἐν βιβλίῳ

(1) παραβαλόντος Χ. Τρ. — (2) διαλειχθέντος Σ. Ῥ.

ξ'. τίτ. νδ'. κεφ. κγ'. Ἡ δὲ περὶ τῶν ἐκκλησιῶν Ἀφρικῆς διαλεγομένη λζ'. νεαρὰ τοῦ Ἰουστινιανοῦ οὐκ ἐτέθη εἰς τὰ βασιλικά· δέδωκε δὲ τούτοις καιρὸν μετανοίας. Ἡ λδ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ ϐ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι κεφ. κϐ'. τοῦ ά. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν, οὕτως ἔχον ὡς συνωψίσθη ἀπὸ τῆς ρκγ'. νεαρᾶς τοῦ Ἰουστινιανοῦ ἐκκοπὲν, καὶ κεφ. ὃν αὐτῆς ιέ. Τὸ ιϐ'. διάτ. καὶ τὸ ιγ'. τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι κεφ. ιά. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλ. οὕτως ἔχον· Πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος δεῖ τὴν τιμωρίαν ἐκφέρεσθαι, καὶ μήτε σκληρὸν, μήτε μὴν ἐλαφρὸν φαίνεσθαι τὸν δικαστὴν, πλὴν ἐν τοῖς ἐλαφροῖς ἐλαφρὸν εἶναι αὐτὸν δεῖ, καὶ ἐν τοῖς βαρυτέροις σφοδρὸν μετὰ καλοθελοῦς συμμετρίας· καὶ κεφ. ιδ'. ὁ ἐξτραόρδινεμ. δικάζων ἐγκλήματι αὔξειν καὶ μειοῦν τὴν ποινὴν δύναται, ὥστε μέντοι ἐπὶ ἑκατέρου μὴ παρεξιέναι τὴν συμμετρίαν. Τὸ ά. διάτ. τοῦ ις'. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι κεφ. ί. τοῦ ά. τίτ. τοῦ ξ'. βιβλ. λέγον περὶ τὸ τέλος, ὡς ἡ μὲν τῆς ὑποθέσεως ζήτησις ἐπιτέτραπται τῷ δικαστῇ, οὐ μὴν ἡ τοῦ νόμου ἐπεξέλευσις. Ὁ δὲ ά. τίτ. τοῦ ν'. βιβλίου τῶν διατ. ἐτέθη εἰς βιβλ. νδ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. ά. Τὸ ιέ. διάτ. παρείθη. Ἡ ά. διάτ. τοῦ ν'. τίτ. τοῦ ζ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. πς'. τοῦ ά. τίτ. τοῦ θ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Οὔτε τὴν τοῦ προηγησαμένου ἀπόφασιν, οὔτε τὴν ἰδίαν δύνασθαί τινα ἀνακαλεῖσθαι εἰς ἀμφιβολίαν οὐ φέρεται· μηδὲ ἀπὸ τῆς τοιαύτης ἀποφάσεως προτιθέναι ἔκκλητον φανεροῦ νομίμου ἐστίν. Ἡ ιέ. διάτ. τοῦ μζ'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικός ἐστι κεφ. νέ. τοῦ νά. τιτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν οὕτω λέγον· Τὴν τιμωρίαν οὐκ ἔξεσι τῷ ἄρχοντι ἀνακαλεῖσθαι. Ζήτει καὶ τίτ. ν'. τοῦ αὐτοῦ ξ'. βιβλ. κεφ. ά. θέμα τελευταῖον, καὶ βιβλ. ζ'. τίτ. ϐ'. κεφ. κ'. καὶ βιβλ. θ'. τίτ. α'. κεφ. πδ'. καὶ ρκζ'. καὶ βιβλ. νς'. τίτ. ή. κεφ. κθ'.

Κείμενον.

Ἐν δὲ τῷ μέ. διατάγματι τοῦ ά. τίτ. τοῦ μϐ'. βι-

βλίου φησίν, ὅτι τὴν ψηφισθεῖσαν ποινὴν αὔξειν ἢ μειοῦν ὁ ἄρχων χωρὶς βασιλικῆς αὐθεντίας οὐ δύναται. Καὶ βιβλ. μή. τίτ. ιή. διάτ. α'. φησίν, ὅτι ἐὰν δοῦλος φοβούμενος πρὸς τὸν δεσπότην ὑποστρέψαι εἴπῃ καθ' ἑαυτοῦ πλαστῶς, καὶ μετὰ καταδίκην ἐρωτωμένου περὶ τῶν συνιστόρων, φανῇ ἡ ἀλήθεια, ἐλευθεροῦται τῆς ποινῆς, καὶ διὰ τῆς τάξεως πιπράσκεται, ἐφ' ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην, καὶ τὸ τίμημα (1) τῷ δεσπότῃ δίδοται. Αὐτὸς δὲ ὁ καταδικάσας ὡς αἴτιόν τινα οὐ δύναται ἐλευθεροῦν ἀναίτιον εὑρισκόμενον. Οὔτε γάρ τις τὴν οἰκείαν ψῆφον ἀνακαλεῖται, κἂν χρηματικὴ εἴη· δεῖ οὖν περὶ τούτου βασιλεῖ ἀναφέρειν ἐπὶ τῶν ἐγκλημάτων. Καὶ διάτ. θ'. καὶ κζ'. τοῦ ιθ'. τίτ. τοῦ αὐτοῦ βιβλίου, ὅτι ὁ βουλευτὴς οὔτε εἰς μέταλλον, οὔτε εἰς ἔργον μετάλλου καταδικάζεται, οὔτε φουρκίζεται, οὔτε καίεται, ἀλλ' εἰ καί τι τοιοῦτο ψηφισθῇ, ἐλευθεροῦται οὐ διὰ τοῦ ἄρχοντος, ἀλλὰ διὰ τοῦ βασιλέως διδασκομένου, καὶ τὴν τιμωρίαν ἐναλλάσσοντος, ἢ ἐλευθεροῦντος· καὶ ὅτι οἱ ἄρχοντες οὐκ ἀνατρέπουσι τὰς ἰδίας ψήφους. Εἰ μέντοι τις καθ' ἑαυτοῦ ψευσάμενος, ἢ ἀπορίᾳ συστάσεων καταδικασθῇ, καὶ ὕστερον εὑρεθῶσι δικαιώματα βοηθοῦντα αὐτῷ, ὁ βασιλεὺς ἢ ἐλευθεροῖ αὐτὸν, ἢ μειοῖ τὴν ποινήν.

Σχόλιον.

Τὸ μέ. διάτ. τοῦ ά. τίτ. τοῦ μβ'. βιβλίου ἐστὶ θέμα παρατέλευτον τοῦ μς'. κεφ. τοῦ γ'. τίτ. τοῦ θ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς ἐγράφη Ἐρωτήσει δέ τις, καὶ μὴν τὸ καταστρωθὲν ὄπισθεν ιγ'. κεφ. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλ. λέγει δύνασθαι τὸν δικαστὴν αὔξειν καὶ μειοῦν τὴν ποινήν· πῶς οὖν ἐνταῦθα λέγει τὸ ἐναντίον; Ὁ μὲν δικάζων ἐξτραορδιναρίου ἔγκλημα δύναται αὔξειν καὶ μειοῦν τὴν ποινὴν, ὁ δὲ διὰ τῶν

1) Χ. Τρ. — τιμὴ Ἑ. Ἰ. Β.

ἐγκληματικῶς ἐνορδίνῳ ὑποθέσει ἀπὸ νόμου ἐχούσῃ ὡρισμένην ποινὴν οὐ δύναται τοῦτο ποιεῖν. Ἢ εἰπὲ ὅτι πρὸ μὲν ἀποφάσεως δύναται αὔξειν καὶ μειοῦν τὴν ποινήν, κἂν ὡρισμένη ἀπὸ τοῦ νόμου ἐστί· μετὰ δὲ τὴν ἀπόφασιν οὐ δύναται· πέπαυται γὰρ τοῦ εἶναι δικαστής. Καὶ ζήτει κεφ. ιδ'. τοῦ αὐτοῦ νά. τίτ. τοῦ ξ'. βιβλ. Οὕτω λύσον καὶ τὸ ή. θέμα τοῦ ιγ'. κεφ. τοῦ κά. βιβλίου, καὶ τὸ γ'. καὶ δ'. κεφ. τοῦ γ'. τίτ. τοῦ αὐτοῦ βιβλίου. Τὸ ά. διάτ. τοῦ ιή. τίτ. τοῦ μή. βιβλίου ἐστὶ θέμα ιθ'. τοῦ ά. κεφ. τοῦ ν'. τίτ. τοῦ ξ'. βιβλίου τὰ αὐτὰ λέγον ὅσα συνωψίσθησαν. Τὸ θ'. διάτ. τοῦ ιθ'. τίτ. τοῦ αὐτοῦ βιβλ. τῶν διατάξεων οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Τὸ κζ'. κεφ. τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεών ἐστι θέμα ϐ'. τοῦ κζ'. κεφ. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλ. οὕτως ἔχον· Ἐὰν οἱ πολιτευόμενοι, ἢ οἱ τῆς πόλεως πρωτεύοντες ἁμάρτωσί τι κεφαλικὸν, ὡς ἀξίους αὐτοὺς εἶναι ἐξορίας ἢ περιορισμοῦ, ἢ κεφαλικῆς τιμωρίας, δεῖ τὸν ἄρχοντα δεδεμένους αὐτοὺς φυλάττειν, καὶ ἀναφέρειν τῷ βασιλεῖ προσζευγνῦντα τῇ ἀναφορᾷ καὶ τὴν ἐπ' αὐτοῖς ψῆφον. Τὸ δὲ ά. θέμα τοῦ αὐτοῦ κεφ. κζ'. φησίν· Οἱ ἄρχοντες τὰς ἰδίας ἀποφάσεις ἀνατρέπειν οὐ δύνανται, καὶ ἐφεξῆς ὅσα συνωψίσθησαν.

Κείμενον.

Ταῦτα περὶ αὐτοτελῶν εἴρηται ψήφων. Τὰ γὰρ κατὰ μέρος διαλαλούμενα δύναται ὁ δικαστὴς καὶ τελείως ἀναιρεῖν, καὶ ἐναλλάσσειν, ὡς βιβλίον μϐ'. τίτ. ά. διάτ. ιδ'. καὶ βιβλίον δ'. τίτ. ή. διάτ. ιθ'. καὶ κ'. καὶ εἰκότως· ὁ μὲν γὰρ διαλαλήσας μένει δικαστὴς, ὁ δὲ ψηφισάμενος πέπαυται ἐπ' αὐτῷ τῷ πράγματι εἶναι δικαστὴς, ὡς βιβλίον μϐ'. διάτ. νέ.

Σχόλιον.

Τὸ ιδ'. διάτ. τοῦ ά. τίτ. τοῦ μϐ'. βιβλίου τῶν διατάξεών ἐςι κεφ. ιδ'. τοῦ γ'. τίτ. τοῦ θ'. βιβλίου ὅ φησιν· Ὃ κελεύσει, ἢ κωλύσει ὁ πραίτωρ, δύναται ἀνατρέπειν, οὐ μὴν ψῆφον οἰκείαν, Τὸ ιθ'.

διάτ. τοῦ ή. τίτ. τοῦ δ'. βιβλίου τῶν διατάξεων, καὶ τὸ κ'. εἰσὶ τοῦ τίτ. ϛ'. τοῦ βιβλ. ζ'. κεφ. ιθ'. οὕτως ἔχον· Ὁ αἱρετὸς δικαστὴς τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ. Εἰ δὲ δόξει ἐν τοῖς αἱρετοῖς(1) δικαστηρίοις ὥστε τόδε ψηφίσασθαι, οὐκ ἔρρωται, οὐδὲ ἀναγκάζεται ψηφίσασθαι· ψηφίζεται δὲ ὁ γνώμην ἐσχηκὼς διὰ τοῦ διαλαλουμένου πᾶσαν τὴν δίκην τεμεῖν. Εἰ δὲ ἐπὶ πολλοῖς προσελήφθη κεφαλαίοις, οὐ δοκεῖ ψηφίζεσθαι, εἰ μὴ πάσας τὰς φιλονεικίας περατώσει. Καὶ εἰ μὲν ψηφίσεται δοῦναί τι ἢ ἀπολυθῆναι τὸν ἐναγόμενον, οὐ δύναται μετὰ ταῦτα ψηφίσασθαι τἀναντία. Τὰ δὲ διαλαλούμενα ἐπὶ παρασκευῇ τῆς δίκης ἀμείβειν δύναται· οἷον διελάλησε καλένδαις παραφυλάξαι, καὶ ὕστερον διελάλησε ταῖς εἰδοῖς. Καὶ κεφ. κ'. Κἂν πλανηθῇ ἐν τῷ ψηφίζεσθαι οὐ διορθοῦται· ψηφισάμενος γὰρ πέπαυται εἶναι δικαστής. Τὸ δὲ νέ. διάτ. τοῦ ά. τίτ. τοῦ μϐ'. βιβλίου ἐστὶ κεφ. νέ. τοῦ γ'. τίτ. τοῦ θ'. βιβλίου οὕτως ἔχον. Ὁ ψηφισάμενος πέπαυται εἶναι δικαστὴς, καὶ οὐκέτι διορθοῦται τὴν ψῆφον.

---

(1) Χ. Τρ. Βασιλ. — δόξοιεν τοῖς αἱρετικοῖς Ἑ. Ἰ. Β.

ΤΙΤΛΟΣ Ι΄.

ΠΕΡΙ ΔΙΟΙΚΗΣΕΩΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΠΡΑΓΜΑΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΙΔΙΚΩΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Περι τοῦ χρῆναι τὸν οἰκονόμον ἐκ τοῦ κλήρου τῆς ἐκκλησίας εἶναι. Συνόδου Χαλκηδόνος κανὼν κς΄. Συνόδου Νικαίας τὸ β΄. κανὼν ιά. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν θ΄.

Κείμενον.

Ἡ λβ΄. διάτ. τοῦ γ΄. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος λέγει τὸν οἰκονόμον χρῆναι παρὰ τοῦ ἐπισκόπου γίνεσθαι· καὶ ἡ μά. διάταξις τοῦ αὐτοῦ τίτ. ὅτι κατὰ δοκιμασίαν γίνεται. Ἡ δὲ κε΄. τοῦ β΄. τίτ. ὅτι δεῖ τοὺς οἰκονόμους κατὰ μῆνα, ἢ τὸ μήκιστον ὑπὲρ δύο, λογοποιεῖν πρὸς τοὺς ἀρχαρίους ἐπεὶ κινδυνεύουσι· καὶ ὅτι ἕκαστος μὲν οἰκονόμος ζητεῖ τὰ τῆς ὑφ' ἑαυτὸν διοικήσεως, οἱ δὲ λοιποὶ κατὰ πρόσταξιν ἄγραφον τοῦ πατριάρχου, τοῖς λογισμοῖς ὑπογράφουσι τὸ, Ἀνέγνων, καὶ τὸ χωρὶς τῆς τοιαύτης παρατηρήσεως λογιζόμενον οἴκοθεν οἱ οἰκονόμοι διδόασι. Καὶ ἡ μβ΄. τοῦ γ΄. τίτ. ὅτι κατ' ἐνιαυτὸν ὁ οἰκονόμος παρατίθεται λόγον τῆς αὐτοῦ διοικήσεως τῷ ἐπισκόπῳ, καὶ ἀποδίδωσιν εἴ τι φανῇ βλάψας, ἢ κερδάνας. Εἰ δὲ τελευτήσει πρὸ τῶν λογισμῶν, ὑπόκεινται τούτοις οἱ κληρονόμοι αὐτοῦ· ὑπόκειται γὰρ καὶ ἀπὸ ῥαθυμίας, καὶ ἐὰν ἀπόροις ἐκδώσῃ. Ἡ δὲ β΄. διάτ. τοῦ β΄. τίτ. τῶν νεκρῶν ἀπαγορεύει τοῖς οἰκονόμοις καὶ ὀρφανοτρόφοις,

καὶ διοικηταῖς τῶν λοιπῶν εὐαγῶν οἴκων· ἔτι μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσι, καὶ παισὶ, καὶ τοῖς κατὰ γένος, ἢ γάμον αὐτοῖς συναπτομένοις, ἐμφυτεύσεις, καὶ μισθώσεις, καὶ ὑποθήκας πραγμάτων τῶν εὐαγῶν οἴκων, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτων προσώπων λαμβάνειν· ἐπεὶ καὶ τὸ συνάλλαγμα ἀκυροῦται, καὶ πᾶσα ἡ περιουσία τῶν οἰκονόμων, καὶ χαρτουλαρίων, καὶ διοικητῶν, οἷς κατὰ τὸν εἰρημένον τρόπον συνάπτονται, εἰς τὸν εὐαγῆ οἶκον, ἐξ οὗ τὸ πρᾶγμα λαμβάνουσι, περιέρχεται μετὰ τὴν αὐτῶν τελευτήν.

Σχόλιον.

Ἡ λϐ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ μά. οὐδὲ ἡ μϐ'. Ἀνάγνωθι δὲ τὴν γ'. Ἰουστινιανοῦ νεαρὰν ἤτοι (1) κεφ. τελευταῖον τοῦ ϐ'. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Ὥσπερ δὲ τὴν περὶ τούτου δαπάνην ὡρίσαμεν, οὕτω προσήκει τὸν κατὰ καιροὺς ἁγιώτατον πατριάρχην, καὶ τοὺς εὐλαβεστάτους οἰκονόμους περισκοπεῖν τοῦτο, καὶ τὰς ἄλλας δαπάνας τὰς γινομένας ἐκ τῶν ἐκκλησιαστικῶν πόρων περὶ εὐσεβεῖς δαπανᾶσθαι πράξεις καὶ Θεῷ ἀρεσκούσας, καὶ εἰς ἐκείνους ταύτας χορηγεῖν, τοὺς ταῖς ἀληθείαις δεομένους, καὶ οὐκ ἔχοντας ἑτέρωθι τροφῆς ἀφορμήν· ταῦτα γὰρ τὸν δεσπότην Θεὸν θεραπεύει· ἀλλὰ μὴ προστασίαις, καὶ σπουδαῖς ἀνθρώπων τὰς ἐκκλησιαστικὰς δαπάνας εἰς ἀνθρώπους εὐποροῦντας ἐπιδιδόναι, καὶ ἐντεῦθεν τοὺς ἀπορουμένους μὴ τυχάνειν τῶν ἀναγκαίων. Ἵστωσαν γὰρ οἱ θεοφιλέστατοι οἰκονόμοι οἵ τε νῦν, οἵ τε κατὰ καιροὺς ἐσόμενοι, ὡς εἴ τι παρὰ ταῦτα πράξαιεν, ταῖς τε ἐκ Θεοῦ ποιναῖς ὑποκείσονται, καὶ ἐκ τῆς αὐτῶν οὐσίας τὸ ἀζήμιον τῇ ἁγιωτάτῃ περιποιήσουσιν ἐκκλησίᾳ Ἡ ϐ'. διάτ. τοῦ ϐ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκ'. ἤτοι θέμα ϐ'. τοῦ ζ'. κεφ. τοῦ ϐ'. τίτ. τοῦ έ. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς συνωψίσθη-

(1) Χ. Τρ. — ζήτει: Ἐ. Ἰ. Β.

[Σημείωσαι τὴν παροῦσαν Ἰουστινιάνειον νεαρὰν διὰ τὰ γινόμενα τυπώματα παρὰ τῶν πατριαρχῶν χάριν ἀδελφάτων, καὶ λοιπῶν σιτηρεσίων πρὸς πρόσωπα πλουτοῦντα καὶ παραδυναστεύοντα· καὶ λέγε ταῦτα μὲν εἶναι ἀνίσχυρα, κατὰ τὴν ταύτης περίληψιν, τὰ δὲ πρὸς ἐνδεεῖς γινόμενα εἶναι βέβαια].

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων. Ἀποστόλων κανὼν λή. μ΄. μά. Συνόδου Ἀντιοχείας κανὼν κδ΄. κέ. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β΄. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κεφ. στ΄. ί.

Κείμενον.

Πολλὰ μὲν εἴρηται περὶ τῆς διοικήσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐν τῷ β΄. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος, καὶ ἐν διαφόροις διατάξεσι τῶν νεαρῶν· καὶ ἀνάγνωθι τὸν β΄. τίτ. τῶν αὐτῶν νεαρῶν, καὶ μάλιστα τὴν β΄. καὶ τὴν γ΄. αὐτοῦ διάτ. περιεχούσας πάντα τὰ περὶ ἐκκλησιαστικῶν διοικήσεων καὶ προνομίων.

Σχόλιον.

Ὁ β΄. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος ἐτέθη εἰς βιβλίον έ. τῶν βασιλικῶν τίτ. ά. ἀπὸ τοῦ ά. κεφ. μέχρι τοῦ ιά. ἡ δὲ β΄. καὶ γ΄. διάτ. τοῦ β΄. τίτ. τῶν νεαρῶν εἰσι νεαραὶ Ἰουστινιάνειοι ρκ΄. καὶ ρλά. ὧν ἡ μὲν κεῖται ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. β΄. ἡ δὲ ἐν βιβλίῳ τῷ αὐτῷ τίτ. γ΄. καὶ ἀνάγνωθι τοὺς τοιούτους τίτλους.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ πραγμάτων, καὶ προσόδων τῶν ἀνεπισκόπων ἐκκλησιῶν. Συνόδου Ἀγκύρας κανὼν ιέ. Συνόδου Χαλκηδόνος κανὼν κέ. Συνόδου στ΄. κανὼν λέ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ ἐκποιήσεως ἐκκλησιαστικῶν. Ἀποστόλων κανὼν λή. ογ'. Συνόδου Ἀγκύρας κανὼν ιέ. Συνόδου Καρθαγένης κανὼν κβ'. κγ'. Συνόδου Νικαίας τὸ β'. κανὼν ιβ'. Κυρίλλου ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς κεφ. β'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ β'. κεφ. τοῦ παρόντος τίτ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν μετὰ τὴν χειροτονίαν κτωμένων ἐπισκόπῳ, ἢ κληρικῷ. Συνόδου Καρθαγένης κανὼν λβ'. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ζ'.

Κείμενον.

Ἡ λγ'. διάταξις τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός φησιν, ὅτι οἱ ὀρθόδοξοι ἐπίσκοποι καὶ κληρικοὶ, ὅπερ ἂν ἐν τῷ καιρῷ τῆς ὑπεξουσιότητος κτήσωνται, καὶ ὑπεξούσιοι ὄντες ἴδιον ἔχουσι, καὶ οὐ συνεισφέρουσιν αὐτὰ, ἀλλὰ ἄδειαν ἔχουσι καὶ ζῶντες ἐκποιεῖν, καὶ ἐπ' αὐτοῖς εἰς ἐξωτικοὺς διατίθεσθαι, ἢ κατιοῦσιν αὐτὰ παραπέμπειν. Καὶ ἡ μά. διάτ. τοῦ αὐτοῦ τίτ. ὅτι τὰ μετὰ τὴν ἐπισκοπὴν κτηθέντα ἐκποιεῖν ὁ ἐπίσκοπος οὐ δύναται, ἢ διατίθεσθαι ἐπ' αὐτοῖς, εἰ μὴ ἀπὸ γονέων, ἢ θείων, ἢ ἀδελφῶν, εἰς αὐτὸν (1) περιῆλθον, ἀλλὰ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ διαφέρουσι, καὶ μετὰ την αὐτῶν τελευτὴν λογισμοὺς τῶν τοιούτων πραγμάτων ὁ οἰκονόμος ἀπαιτεῖται. Τὰ δὲ πρὸ τῆς ἐπισκοπῆς κτηθέντα καὶ ἐκποιοῦσι, καὶ διατίθενται ἐπ' αὐτοῖς. Καὶ ἡ μθ'. ὅτι οἱ ἐπίσκοποι, καὶ πρεσβύτεροι, καὶ διάκονοι κουάσι καστρένσε ἔχουσι,

(1) Χ. Τρ. — αὐτοὺς Ἐ. Ἰ. Β.

καὶ διατίθενται νομίμως ἐπ᾽ αὐτῷ· καὶ οὐχ ὑπόκειται ἡ διαθήκη τῇ δεϊνοφικιόσο. Ἡ δὲ γ᾽. διάτ. τοῦ β᾽. τίτ. τῶν νεαρῶν φησιν, ὅτι οἱ ἐπίσκοποι τὰ μετὰ τὴν ἐπισκοπὴν αὐτοῖς κτηθέντα κινητὰ, ἢ αὐτοκίνητα, εἰς ἰδίους συγγενεῖς ἢ ἄλλους οἱῳδήποτε τρόπῳ οὐ μεταφέρουσιν, ἀλλὰ δαπανάτωσαν αὐτὰ εἰς λύσιν αἰχμαλώτων, καὶ πτωχῶν ἀποτροφὴν, ἢ εἰς συμφέρον τῆς ἰδίας ἐκκλησίας· τὰ δὲ μετὰ τὴν αὐτῶν τελευτὴν ἐκ τούτων περιττεύοντα, ἡ κατ᾽ αὐτοὺς ἐκκλησία οἰκειοῦται. Ἄδειαν δὲ ἔχουσιν ἐκποιεῖν ἅ τινα πρὸ τῆς ἐπισκοπῆς ἐσχηκότες ἀποδειχθῶσι, καὶ ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς περιέλθοι ἀπὸ συγγενῶν, οὓς ἐξ ἀδιαθέτου μέχρι τετάρτου βαθμοῦ διαδέχεσθαι δύνανται. Ταῦτα δὲ κρατεῖ καὶ ἐπὶ ὀρφανοτρόφων, καὶ πτωχοτρόφων, καὶ νοσοκόμων, καὶ γεροντοκόμων, καὶ ξενοδόχων, καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων οἴκων, ἐπὶ τοῖς αὐτοῖς ἐν τῷ καιρῷ τῆς διοικήσεως αὐτῶν κατὰ τὸν εἰρημένον τρόπον περιελθοῦσιν. Ἡ δὲ β᾽. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἁπλούστερόν φησιν, ὅτι τὰ μετὰ τὴν χειροτονίαν κτηθέντα τοῖς ἐπισκόποις ταῖς αὐτῶν ἐκκλησίαις διαφέρει, ἤ τις λέγει ὅτι πάντες οἱ κληρικοὶ, τουτέστι πρεσβύτεροι, διάκονοι, ἀναγνῶσται, ψάλται, τὰ ὁπωσοῦν αὐτοῖς κτηθέντα πράγματα, κἂν ὑπεξούσιοι ὦσιν, ἴδια ἔχουσι, καὶ δωροῦνται, καὶ διατίθενται ἐπ᾽ αὐτοῖς, οὕτω μέν τοι, ὥστε τοὺς αὐτῶν παῖδας, ἢ τούτων οὐχ ὑπόντων, τοὺς γονεῖς αὐτῶν κομίζεσθαι τὸ νόμιμον μέρος. Ἡ δὲ γ᾽. διάτ. τοῦ β᾽. τίτ. τῶν νεαρῶν φησιν, ὅτι ἐὰν ἐπίσκοπος, ἢ κληρικὸς οἱουδήποτε βαθμοῦ, ἢ ἐκκλησίας διακόνισσα τελευτήσῃ ἄνευ διαθήκης, ἢ νομίμων διαδόχων, ἡ τούτων διαδοχὴ προσκυροῦται τῇ ἐκκλησίᾳ ἐν ᾗ κεχειροτόνηται.

Σχόλιον.

Ἡ λγ᾽. διάτ. τοῦ γ᾽. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι

κεφ. ή. τοῦ γ'. τίτ. τοῦ γ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον· Καὶ ὁ πρεσβύτερος, καὶ ὁ διάκονος ὅσα κτήσεται καὶ ἐν ὑπεξουσιότητι ἐκποιείτω, καὶ διατιθέσθω ἐπ' αὐτοῖς, ὡς βούλεται, καὶ μὴ ἐκδικείσθωσαν παρὰ τῶν ἐχόντων αὐτὸν ὑπεξούσιον, ἢ συνεισφερέσθω τοῖς ἀδελφοῖς, ἢ τοῖς τέκνοις αὐτῶν, ἀλλ' οἱ παῖδες αὐτῶν λαμβανέτωσαν αὐτὰ, κἂν μὴ διαθέμενοι τελευτήσωσι. Ἡ μά. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά· ὡσαύτως οὐδὲ ἡ μθ'. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλ. Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐςι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλ. έ. τίτ. γ'. ἧς δὴ νεαρᾶς τὸ ί. κεφ. αὐτὰ ταῦτα διδάσκει ὅσα καὶ συνωψίσθησαν, προστιθέμενον μόνην σημασίαν τῶν ἀκινήτων. Λέγει γὰρ μήτε κινητὰ, ἢ ἀκίνητα, ἢ αὐτοκίνητα, παρὰ τῶν ἐπισκόπων μετὰ τὴν ἐπισκοπὴν κτηθέντα ἐκποιεῖσθαι· ὁ δὲ τίτ. ί. τῶν νεαρῶν, ὡς παρίσταται ἀπὸ τοῦ κειμένου, μόνων κινητῶν καὶ αὐτοκινήτων μέμνηται. Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλ. γ'. τῶν βασιλικῶν τίτ. ά. καί φησι τὸ μβ'. αὐτῆς κεφ. ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. γ'. καὶ λέγουσα περὶ τὸ ί. κεφ. κατὰ τὸ τέλος ὅσα συνωψίσθησαν εἰς τὸ κείμενον.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τῶν ἰδικῶν τοῦ ἐπισκόπου πραγμάτων, καὶ ὅτι οὐκ ὤφειλεν ἀδιάθετος τελευτᾷν. Ἀποστόλων κανὼν μ'. Συνόδου Ἀντιοχείας κανὼν κδ'. Συνόδου Χαλκηδόνος κανὼν κβ'. Συνόδου Σαρδικῆς κανὼν ιβ'. Συνόδου Καρθαγένης κανὼν κβ'. πά. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ έ. κεφ. τοῦ παρόντος τίτλου.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ τὰς ἐν τοῖς βαρβαρικοῖς ἔθνεσιν οὔσας τοῦ Θεοῦ ἐκκλησίας κατὰ (1) τὴν κρατήσασαν διοικεῖσθαι συνήθειαν. Συνόδου Κωνσταντινουπόλεως κανὼν ϐ'. Συνόδου Χαλκηδόνος κανὼν κή. Συνόδου στ'. κανὼν λ'. λζ'. λθ'.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τοῦ μήτε ἐπίσκοπον, μήτε κληρικὸν διδόναι διὰ δωρεᾶς ἢ διαθήκης (2) αἱρετικῷ, κἂν εἴη συγγενὴς αὐτῷ. Συνόδου Καρθαγένης κανὼν κϐ'. πά.

Κείμενον.

Οὐ μόνον ἀπὸ ἐπισκόπων καὶ κληρικῶν κωλύονται λαμϐάνειν οἱ αἱρετικοί, ἀλλὰ καὶ ἐκ τῶν ἑτέρων. Εἴρηται γὰρ ϐιϐλ. ά. τίτ. έ. διάτ. ί. ὅτι οὔτε ὀρθόδοξος δύναται καθ' οἱονδήποτε τρόπον μεταφέρειν εἰς αἱρετικὸν ἀκίνητον πρᾶγμα, ἔχον ὀρθόδοξον ἐκκλησίαν, ἐπεὶ φισκοῦται. Ἡ μέν τοι γ'. διάτ. τοῦ ϐ'. τίτ. τῶν νεαρῶν φησιν, ὅτι ἐὰν ὀρθόδοξος ἔχων κτῆσιν, ἐν ᾗ ἁγία ἐστὶν ἐκκλησία, ἐκποιήσῃ, ἢ καταλίπῃ, ἢ ἐμφυτεύσῃ, ἢ μισθώσῃ, ἢ καθ' οἱανδήποτε διοίκησιν παράσχῃ Ἰουδαίῳ, ἢ Σαμαρείτῃ, ἢ Ἕλληνι, ἢ Μοντανιστῇ, ἢ Ἀρειανῷ, ἢ ἁπλῶς ἄλλῳ αἱρετικῷ, ἡ ἐκκλησία τῆς αὐτῆς κώμης τὴν αὐτοῦ δεσποτείαν ἐκδικείτω. Βιϐλίον ά. τίτ. έ. διάτ. ιή. Ἐὰν αἱρετικὸς ὑπὲρ τοῦ τυχεῖν στρατείας, ἢ ἀξίας, ἢ δημόσιον πρᾶξαι φρόντισμα, ἢ παιδεῦσαι, ἢ συνηγορῆσαι, προσποιήσηται τὸν ὀρθόδοξον, καὶ φανῇ γαμετὴν ἢ παῖδας ἔχων αἱρετικούς, ἐκϐάλλεται· εἰ δὲ καὶ λάθοι, οὐ δύναταί τι τῶν

(1) Χ. Τρ. — μετὰ Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — διαθέσεως Ἑ. Ἰ. Β.

αὐτοῦ δωρεῖσθαι, ἢ ἄλλως ἐκποιεῖν αἱρετικῷ, ἀλλὰ ταῦτα καὶ τὴν αἱρετικῷ (1) καταφερομένην αὐτοῦ κληρονομίαν ἐκδικεῖ τὸ δημόσιον. Καθόλου γὰρ οἱ μετασχόντες στρατείας, ἢ ἀξίας, ἢ συνηγορίας, ἢ δημοσίας φιλοτιμίας, ἢ συγκροτήσεως, παρὰ μόνων ὀρθοδόξων κληρονομοῦνται, καὶ τὰ ἐξ αὐτῶν εἰς αἱρετικοὺς ὁπωσοῦν ἐρχόμενα τὸ δημόσιον ἀπαιτεῖ(2). Ἡ δὲ αὐτὴ διάτ. φησὶν, ὅτι ἐὰν τῶν παίδων οἱ μέν εἰσιν αἱρετικοὶ, οἱ δὲ ὀρθόδοξοι, μόνοι κληρονομοῦσιν οἱ ὀρθόδοξοι. Εἰ δὲ πάντες εἰσὶν αἱρετικοὶ, συγγενεῖς ὀρθόδοξοι κληρονομοῦσιν· ἢ μὴ ὄντων, ὁ φίσκος διαδέχεται. Διάτ. ιθ'. Οἱ αἱρετικοὶ τοῦ αἱρετικοῦ παῖδες οὔτε δωρεὰν, οὔτε κλῆρον αὐτοῦ λαμβάνουσι. Διάτ. κβ'. Οὔτε ἀπὸ στρατιωτικῆς διαθήκης αἱρετικὸς κληρονομεῖ, ἢ ληγάτον λαμβάνει.

Σχόλιον.

Ἡ ί. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ γ'. διάτ. τοῦ 6'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. γ'. καί φησι τὸ γ'. θέμα τοῦ ιά. κεφ. τοῦ αὐτοῦ τίτ. ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Ἡ ιή. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ ιθ'. οὐδὲ ἡ κβ'.

Κείμενον.

Ἡ δὲ τὰς αἰτίας ἐξερεδιτατιώνων τάττουσα (3) ριέ. νεαρά φησιν, ὅτι ἐὰν γονεὺς ὀρθόδοξος ὢν αἴσθηται τοὺς ἰδίους παῖδας μὴ ὄντας ὀρθοδόξους, ἄδειαν ἔχει ποιεῖν αὐτοὺς ἀποκληρονόμους. Εἰ δὲ τοὐναντίον ὁ γονεύς ἐστιν αἱρετικὸς, μὴ ἐχέτω ἄδειαν ἄλλους γράφειν κληρονόμους εἰμὴ τοὺς ὀρθοδόξους αὐτοῦ παῖδας, ἢ, μὴ ὄντων τούτων, συγγενεῖς ὀρθοδόξους. Εἰ δέ τινες τῶν παίδων εἰσὶν

(1) Σ. Ῥ.—αἱρετικὴν Ἑ. Ἰ. Β. —(2) ἐκδικεῖ Σ. Ῥ. — (3) Χ. Τρ. — τάκτους Ἑ. Ἰ. Β.

ὀρθόδοξοι, τινὲς δὲ οὔ, ἡ οὐσία εἰς τοὺς ὀρθοδόξους ἔρχεται, κἂν ὁ πατὴρ ἄλλους ἔγραψε κληρονόμους· εἰ δὲ μετὰ ταῦτα οἱ αἱρετικοὶ ἀδελφοὶ ὀρθόδοξοι γένωνται, δίδοται αὐτοῖς τὸ αἱροῦν αὐτοῖς μέρος, οὐ μὴν καὶ οἱ προλαβόντες καρποί, οὔτε λόγους ἀπαιτοῦσι τῆς διοικήσεως· τέως δὲ τὰ πράγματα οἱ ὀρθόδοξοι ἐκποιεῖν οὐ δύνανται. Εἰ μέν τοι μέχρι τελευτῆς ἐπιμείνωσι τῇ πλάνῃ, πλήρη τὴν δεσποτείαν κτῶνται οἱ ὀρθόδοξοι καὶ οἱ κληρονόμοι. Εἰ δὲ πάντες οἱ παῖδες αἱρετικοί εἰσιν, συγγενεῖς ὀρθόδοξοι κληρονομοῦσιν· εἰ δὲ μή εἰσι, τότε, εἰ μὲν κληρικοί εἰσιν οἱ γονεῖς, ἡ ἐκκλησία τῆς πόλεως, ἐν ᾗ τὴν οἴκησιν εἶχον, λαμβάνει τὰ πράγματα· εἰ δὲ οἱ ἐκκλησιαστικοὶ δι' ἐνιαυτοῦ ἀμελήσουσιν ἐκδικῆσαι τὰ πράγματα, ὁ φίσκος αὐτὰ λαμβάνει· εἰ δὲ λαϊκοί εἰσιν, ὁ φίσκος αὐτὰ λαμβάνει, εἴτε διέθεντο, εἴτε μή. Τὰ αὐτὰ κρατεῖ ἐὰν ὁ παῖς, ὀρθόδοξος ὢν, αἴσθηται τοὺς γονεῖς αἱρετικοὺς, ὅταν αὐτὸς ὁ παῖς διατίθεται, ἢ κληρονομεῖται. Ἡ ά. περὶ Σαμαρειτῶν, β'. οὖσα τοῦ γ'. τίτ. τῶν νεαρῶν, συνεχώρησε τοὺς Σαμαρείτας λαμβάνειν δωρεὰς ἐκ διαθηκῶν, καὶ διδόναι, καὶ παραπέμπειν Σαμαρείταις αὐτῶν παισὶ, καὶ γονεῦσι, καὶ συγγενέσιν. Ἡ μέν τοι τελευταία περὶ Σαμαρειτῶν, τρίτη οὖσα τοῦ γ'. τίτ. τῶν νεαρῶν φησιν, ὅτι Σαμαρεῖται οὐ κληρονομοῦσιν ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, οὔτε ληγάτα ἢ δωρεὰς λαμβάνουσιν, ἀλλ' οὔτε διαδόχους ἕξουσιν ἐξ ἀδιαθέτου Σαμαρείτας, ἢ σχηματιζομένους μὲν τοὺς ὀρθοδόξους, οὐχ οὕτω δὲ φρονοῦντας· οὔτε δὲ διατίθεσθαι, ἢ ληγατεύειν, ἢ δωρεῖσθαι εἰ μὴ τοῖς ὀρθοδόξοις καὶ πίστει καὶ ἔργοις δύνανται. Τούτων δὲ μὴ ὄντων, αἱ οὐσίαι μετὰ θάνατον εἰς τὸν φίσκον ἔρχονται. Οἱ δὲ γήδια γεωργοῦντες Σαμαρεῖται δύνανται γράφειν κληρονόμους ἀνιόντας, καὶ κατιόντας αὐτῶν, καὶ ληγατεύειν αὐτοῖς καὶ τοῖς ἐκ πλαγίου, κἂν ὦσι Σαμαρεῖται·

τούτων δὲ μὴ ὄντων, ὁ τοῦ χωρίου δεσπότης, ἐν ᾧ ἐγεώργει ὁ τελευτήσας, τὴν οὐσίαν λαμβάνει, τὸν τόπον ἐν τούτῳ τοῦ φίσκου ἐπέχων. Ἡ δὲ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν λέγει· Μηδεὶς αἱρετικὸς μηδὲ κατὰ μίσθωσιν, ἢ ἐμφύτευσιν, ἢ ἀγορασίαν, ἢ ἑτέρῳ τρόπῳ ἀκίνητα πράγματα λαμβανέτω ἀπὸ ἐκκλησίας, ἢ ἄλλου σεβασμίου τόπου· ἐπεὶ ὁ μὲν αἱρετικὸς τὰ παρ' αὐτοῦ δοθέντα ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ ἀπολλύτω, τὸ δὲ πρᾶγμα ἐπανατρεχέτω εἰς τὸν τόπον ἐξ οὗ ἐδόθη· ὁ δὲ δεδωκὼς διοικητὴς εἴργεται τοῦ λοιποῦ πάσης διοικήσεως, καὶ μοναστηρίῳ ἐμβάλλεται, καὶ ἐπὶ ἐνιαυτὸν τῆς ἁγίας κοινωνίας χωρίζεται. Ἡ αὐτὴ δὲ διάταξίς φησιν, ὅτι ἐάν τις τῶν αἱρετικῶν, οἷς συναριθμοῦνται Νεστοριανοὶ, καὶ Εὐτυχιανισταὶ, καὶ Ἀκέφαλοι, τολμήσῃ καταγώγιον τῆς ἰδίας θρησκείας ποιήσασθαι, ἢ Ἰουδαῖοι νέαν συναγωγὴν ποιήσασθαι, ἐκδικείτω αὐτὰ ἡ ἐκκλησία· εἰ δὲ ἐνεφύτευσεν, ἢ ἐμίσθωσεν, ἢ ὁπωσοῦν εἰς διοίκησιν δέδωκε τοιούτῳ προσώπῳ (1), εἰ μὲν εἰδὼς ὁ δεσπότης αἱρετικὸν αὐτὸν ἔπραξε τοῦτο, πάσας τὰς προσόδους τοῦ χρόνου τοῦ συναλλάγματος, ἡ ἐκκλησία τῆς πόλεως, ὑφ' ἣν ἡ κτῆσις διάκειται, ἐκδικεῖ· ἀγνοοῦντι δὲ τῷ δεσπότῃ οὐδεμία προσγίνεται ζημία· ὁ δὲ αἱρετικὸς ἐφ' ἑκατέρῳ θέματι(2), καὶ τῆς κτήσεως ἀπελαύνεται, καὶ δημεύεται.

Σχόλιον.

Ἡ ῥιέ. νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ ἐτέθη εἰς κεφ. λή. τοῦ ή. τίτ. τοῦ λέ. βιβλίου τῶν βασιλικῶν. Λέγει δὲ τὸ ιδ'. κεφ. αὐτῆς ταῦτα ῥητῶς· Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς ἐκκλησίας, καὶ τὰ ἑξῆς ὡς εἰς τὸ κείμενον συνωψίσθησαν. Ἡ περὶ τῶν Σαμαρειτῶν ά. διάτ. β'. οὖσα τοῦ γ'.

(1) Χ. Τρ. — τοιουτοτρόπῳ Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — ἀφ' ἑκατέρου θέματος Ἑ. Ἰ. Β.

τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκθ'. οὐκ ἐτέθη δὲ εἰς τὰ βασιλικά· οὐδὲ ἡ γ'. νεαρὰ οὖσα Ἰουστινιάνειος ρμδ'. Ζήτει δὲ τὸ νά. κεφ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου, καὶ ἀνάγνωθι τοῦτο, καὶ τὰ ἐφεξῆς κεφ. μέχρι τοῦ τέλους τοῦ τίτ. διαλαμβάνοντα ὅσα συνωψίσθησαν εἰς τὸ κείμενον, καὶ ἕτερα πολλὰ χρειώδη καὶ ἀναγκαῖα περὶ αἱρετικῶν. Ἀπὸ γὰρ τούτων, ὡς ἔοικεν, ἀκέραια κάστρα τε καὶ χωρία Βωγομιλικὰ παραχωροῦμεν πλανᾶσθαι, καὶ μετὰ τῆς ἰδίας ἀποθνήσκειν αἱρέσεως· ἕνα δὲ καὶ τυχόντα τοιοῦτον αἱρετικὸν εὑρίσκοντες ἐν τῇ βασιλευούσῃ διατρίβοντα, μεγάλως αὐτὸν κολάζομεν. Ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλίῳ έ. τῶν βασιλικῶν τίτ. γ'. τὸ δὲ ιά. κεφ. τοῦ τοιούτου τίτ. λέγει ὅσα συνωψίσθησαν εἰς τὸ κείμενον, καὶ ἀνάγνωθι τοῦτο μέχρι τοῦ ιβ'. κεφ. τὰ γὰρ ὅλα θέματα τοῦ αὐτοῦ ιά. κεφ. περὶ τούτων διδάσκουσιν.

ΤΙΤΛΟΣ ΙΑ'.

ΠΕΡΙ ΜΟΝΑΣΤΗΡΙΩΝ ΚΑΙ ΜΟΝΑΧΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΠΕΡΙ ποιήσεως μοναστηρίων, καὶ τοῦ μὴ γίνεσθαι αὐτὰ ἰδιωτικὰ, καὶ περὶ πραγμάτων τῶν μοναζόντων. Συνόδου Χαλκηδόνος κανὼν δ'. κδ'. Συνόδου ἕκτης κανὼν μθ'. Συνόδου Νικαίας τὸ β'. κανὼν ιγ'. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν ά. καὶ στ'.

Κείμενον.

Ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν λέγει, ὅτι ὁ βουλόμενος οἰκοδομῆσαι μοναστήριον, πρῶτον διαλεγέσθω τῷ ἐπισκόπῳ τοῦ τόπου, ὅπως ἂν ἐκεῖσε γινόμενος εὐχὴν ποιήσοιτο, καὶ σαυρὸν πήξοι, καὶ τότε τοῦ κτίσματος ἡ ἀρχὴ γίνεται. Καὶ ἡ γ'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν φησιν, ὅτι ὁ θέλων κτίσαι μοναστήριον, μὴ ἄλλως ἀρχέσθω τοῦ οἰκοδομήματος, εἰ μὴ ὁ τῶν τόπων ἐπίσκοπος εὐχὴν ἐκεῖσε ποιήσει, καὶ τὸν τίμιον πήξει σταυρόν· ὁ δὲ ἀρξάμενος νέον κτίζειν, ἢ παλαιὸν ἀνανεοῦν, ἀναγκάζεται πληρῶσαι. Ἀνάγνωθι καὶ τὰ παραγραφέντα ἐν τῷ ά. κεφ. τοῦ β'. τίτ. καὶ κεφ. ιδ'. τοῦ γ'. τίτ. τοῦ παρόντος συντάγματος. Ἡ δὲ ά. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν λέγει· Μηδεὶς μοναστήριον πωλείτω, ἢ ἀμειβέτω, ἢ δωρείσθω, ἔνθα θυσιαστήριον καθιδρύθη, καὶ ἱερὰ γέγονε λειτουργία, καὶ μοναχικὴ ἄσκησις· ἐπεί τοί γε τὸ γινόμενον ἄκυρον ἔσται, καὶ τῶν τιμημάτων ὁ λαβὼν ἐκπεσεῖται, καὶ ὁ πιπράσκων ζημιωθήσεται τῇ τε τοῦ πράγματος ἐκπτώ-

σει, καὶ τῇ τοῦ τιμήματος ἀπωλείᾳ, τῇ κατὰ τόπον ἁγιωτάτῃ ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τόπον εὐαγέσι μοναστηρίοις τούτων προσνεμομένων, ὥστε αὐτοὺς προνοεῖν τοῦ τὸ κακῶς ἐκποιηθὲν αὖθις ἐπαναγαγεῖν εἰς μοναχικὸν σχῆμα· μήτε ὑποθήκη ἐπὶ τοῖς τοιούτοις ἐῤῥώσθω, ἀλλ' ἀκυρούσθω, καὶ τὸ μοναστήριον τῇ ἱερᾷ λειτουργίᾳ προσκυρούσθω. Καὶ ἡ β'. διάτ. τοῦ β'. τίτ. τῶν νεαρῶν φησιν, ὅτι ἐκποίησις μοναστηρίου μὴ γινέσθω ἐπὶ τῷ τὸ ἱερατικὸν σχῆμα εἰς ἰδιωτικὴν διαγωγὴν μετασχηματίζεσθαι, ἐπεὶ ἄδειαν ἔχουσιν οἱ ἐπίσκοποι τὸ τοιοῦτο μοναστήριον ἐκδικεῖν, καὶ εἰς τὸ πρότερον ἐπανάγειν σχῆμα. Βιβλ. ά. τίτ. γ'. διάτ. λή. φησὶν, ὅτι οἱ τὰ ἴδια μοναστήρια καταλιμπάνοντες οὐ λαμβάνουσιν ἅπερ αὐτοῖς προσήγαγον κινητὰ, ὁσηςδήποτε ποσότητος ὄντα, κἂν μὴ συνέστῃ πρᾶξις ὑπομνημάτων ἐπ' αὐτοῖς. Περὶ δὲ τῶν ἀκινήτων δεῖ τὰ νόμιμα φυλάττεσθαι, ἐπεὶ οὐκ ἀναιρεῖται τῷ δωρησαμένῳ ἡ ἐκνίκησις αὐτῶν. Καὶ ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν λέγει, ὅτι εἴ τις μονάσας ἀναχωρῆσαι βουληθῇ, τὰ πράγματα ὅσα περ εἶχεν, ἡνίκα εἰσήει, τῆς δεσποτείας ἔσται τοῦ μοναστηρίου· καὶ ὅτι δεῖ τὸν θέλοντα μονάσαι διατυποῦν περὶ τῶν ἰδίων πραγμάτων· εἰσελθόντι γὰρ αὐτῷ συνακολουθοῦσι, κἂν μὴ τοῦτο ῥητῶς εἴπῃ. Εἰ μέν τοι παῖδας ἔχων ἔτυχέ τινα πράγματα δωρησάμενος, ἢ δωρησαμένη αὐτοῖς, ἢ ὑπὲρ προικὸς, ἢ πρὸ γάμου δωρεᾶς, καὶ ποιεῖ ταῦτα τὸ νόμιμον μέρος τῆς αὐτοῦ περιουσίας, μὴ ἐχέτωσαν οἱ παῖδες πρὸς τὰ λοιπὰ μετουσίαν. Εἰ δὲ μηδὲν αὐτοῖς, ἢ ἔλαττον τοῦ νομίμου ἐδωρήσατο, καὶ μετὰ τὸ μονάσαι αὐτὸν ὀφείλεται τοῖς παισὶ τὸ νόμιμον. Εἰ δὲ ἀνὴρ ἢ γυνὴ μονάσῃ, τὸν ἀπὸ τελευτῆς κάσον ὁ ἕτερος κερδαίνει. Καὶ ὅτι ἐὰν μοναχὸς εἰς στρατείαν ἔλθῃ, ἢ ἕτερον βίου σχῆμα, ἡ μὲν οὐσία μένει τῷ μοναστηρίῳ, αὐτὸς δὲ ταξεώτης ἐπιχώριος γί-

νεται. Εἰ δὲ καί τις εἰς ἕτερον μοναστήριον μετέλθῃ, ἡ οὐσία αὐτοῦ τῷ πρώτῳ μοναστηρίῳ διαφέρει· οἱ μέν τοι ἡγούμενοι μὴ δεχέσθωσαν αὐτὸν, κωλυέτωσαν δὲ τοῦτο καὶ οἱ ἐπίσκοποι, καὶ οἱ ἀρχιμανδρῖται. Λέγει δὲ καὶ διάτ. νϐ'. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. ὅτι ἐάν τις βαρηθῇ ἀποκαταστάσει, ἢ ὑποκαταστάσει ἐξ ἀπαιδίας, καὶ μὴ βουληθῇ γαμῆσαι δι' ἄσκησιν, μένει ἔχων τὰ πράγματα, καὶ περιὼν αὐτὰ δαπανᾷ, ἢ καταλιμπάνει ὡς θέλει, εὐσεβῶς μέν τοι. Εἰ δὲ καὶ ὑπὸ αἵρεσιν παιδοποιίας αὐτῷ καταλειφθῇ, ἔχει αὐτὰ καὶ μὴ παιδοποιῶν· τὸ αὐτὸ καὶ ἐπὶ παρθενευούσαις. Ἡ αὐτὴ διάταξίς φησιν, ὅτι ἐάν τις τῶν συνοικούντων μονάσῃ, πέμπει ῥεπούδιον ὁ ἄλλος, καὶ χώρα τοῖς ἀπὸ τελευτῆς συμφώνοις, καὶ τὸ ἐντεῦθεν κέρδος φυλάττεται τοῖς ὡς εἰκὸς οὖσιν ἐκ τῶν αὐτῶν γάμων παισίν, ἢ τὸ κερδάναν (1) πρόσωπον μὴ ἐλθὸν εἰς δεύτερον γάμον· καὶ τοῦ ἀνδρὸς μονάζοντος ἡ γυνὴ ἑτέρῳ οὐ γαμεῖται ἐπὶ ἕνα ἐνιαυτόν· εἰ μέν τοί τις τῶν μνηστήρων μονάσει, οἱ ἀῤῥαβῶνες ἁπλοῖ ἀποδίδονται, καὶ οὐδὲν ζημιοῦται, ὡς ἡ νδ'. διάτ. τοῦ αὐτοῦ τίτ.

Σχόλιον.

Ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. καὶ ἐτέθη τὸ λγ'. κεφ. αὐτῆς εἰς βιβλίον τῶν βασιλικῶν δ'. τίτ. ά. κεφ. ά. ἐκεῖνα διδάσκον ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Ἡ γ'. διάτ. τοῦ ϐ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρλά. κειμένη ἐν βιβλ. τῶν βασιλικῶν έ. τίτ. γ'. λέγει δὲ τὸ δ'. κεφ. τοῦ αὐτοῦ τίτλου ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν. Ἡ ά. διάτ. τοῦ ϐ'. τίτ. τῶν νεαρῶν ἐστι κεφ. ί. τῆς Ἰουστινιανείου ζ'. νεαρᾶς, οὐκ ἐτέθη δὲ εἰς τὰ βασιλικά. Ἡ ϐ'. διάτ. τοῦ ϐ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκ'. κειμένη ἐν βιβλ. τῶν βασιλικῶν έ. τίτ. ϐ'. φησὶ δὲ τὸ ιέ. τοῦ αὐτοῦ τίτ. κεφ. ὅσα εἰς τὸ κείμενον ἐγρά-

(1) Σ. Ῥ.—κερδᾶναι Ἐ. Ἰ. Β.

φησαν. Ἡ λή. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά· οὐδὲ ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν οὖσα Ἰουστινιάνειος έ. Οὐδὲ ἡ νδ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος, οὐδὲ ἡ νδ'.

Κείμενον.

Καὶ ἡ περὶ ρεπουδίων διαλαμβάνουσα ριζ'. νεαρὰ φησίν, ὅτι ἐὰν παρὰ τὰς εἰρημένας αὐτῇ αἰτίας γυνὴ πέμψῃ ρεπούδιον, ἡ μὲν προὶξ τῷ ἀνδρὶ δίδοται, ἢ κατὰ δεσποτείαν, ἢ παίδων ὑπόντων, κατὰ χρῆσιν. Ἡ δὲ γυνὴ διὰ τοῦ δικάσαντος παραδίδοται τῷ ἐπισκόπῳ τῆς πόλεως, ἐν ᾗ οἰκεῖ, καὶ δι' αὐτοῦ μοναστηρίῳ ἐμβάλλεται πᾶσαν τὴν ζωὴν αὐτῆς. Καὶ εἰ μὲν ἔχει παῖδας, τὸ δίμοιρον μέρος (1) τῆς οὐσίας αὐτῆς λαμβάνουσι, τὸ δὲ τρίτον τὸ μοναστήριον· εἰ δὲ παῖδας οὐκ ἔχει, ἀλλὰ γονεῖς, τὸ δίμοιρον δίδοται τῷ μοναστηρίῳ, καὶ τὸ τρίτον τοῖς γονεῦσιν, εἰ μὴ ὑπεξουσίαν αὐτὴν ἔχοντες τῷ ἀλόγῳ ρεπουδίῳ συνήνεσαν· τότε γὰρ πάντα τῷ μοναστηρίῳ προσκυροῦται, ὥσπερ καὶ ὅτε μὴ παῖδας μήτε γονεῖς ἡ γυνὴ ἔχῃ.

Σχόλιον.

Ἡ ριζ'. νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ ἐτέθη ἀπ' ἀρχῆς τοῦ θ'. κεφ. εἰς τὸν ζ'. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν· τοῦτο δὲ τὸ κεφ. παρελείφθη, καὶ οὐ κατεστρώθη εἰς τὰ βασιλικά. Ἐτέθησαν δὲ ἀντὶ τούτου ἐν τῷ αὐτῷ ζ'. τίτ. χάριν τῶν εὐλόγως λυομένων συνοικεσίων, καὶ τῶν ἐπαγομένων ποινῶν κατὰ τῶν ἀνευλόγως λυόντων αὐτά, διάφορα κεφ. ἔκ τε τῆς ριά. (2) νεαρᾶς, τῆς κδ'. καὶ ἑτέρων, καὶ ζήτει τὸν ὅλον τοῦτον ζ'. τίτ. περὶ λύσεως γάμων διαλαμβάνοντα.

Κείμενον.

Καὶ ἡ δ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησὶν ὅτι δούλου, ἢ ἐναπογράφου, κατὰ τὴν διάστιξιν αὐτῆς, μονάζοντος

(1) Χ. Γρ. καὶ Σ. Ρ. — μέρος οὐχ εὕρηται ἐν Ε. Ι. Β. — (2) ἴσ. ριζ'. — Διόρθ. Β.

τὰ πράγματα, ἅπερ εἰς τὸ μοναστήριον ἤγαγε, λαμβάνει ὁ δεσπότης· οὐ μένουσι δὲ ἅμα μοναχοὶ καὶ μονάστριαι, ἀλλ' οἱ ἄνδρες εἰς ἑτέρους μεθίστανται τόπους, καὶ διαιροῦνται εἰς αὐτοὺς τὰ πράγματα πρὸς τὸ ἁρμόζον αὐτοῖς δίκαιον· ὁ δὲ βεβαρημένος ληγάτῳ, ἢ ἀποκαταστάσει, *ἢ ὑποκαταστάσει* (1), ὑπὸ αἵρεσιν γάμου, ἢ ἀπαιδίας, ἢ ἐὰν οὕτω δωρηθῇ ἢ ἔλθῃ τινί, καὶ γένηται μοναχὸς ἢ ἀσκήτρια, σβέννυται ἡ ἀποκατάστασις· κἂν γὰρ τῶν μοναστηρίων ἐξέλθωσιν, ὅμως τὰ τοιαῦτα πράγματα μετὰ τῶν ἄλλων αὐτῶν τοῖς μοναστηρίοις διαφέρει. Εἰ δὲ ἐπὶ ἀναῤῥύσει αἰχμαλώτων, ἢ ἀποτροφῇ πτωχῶν, ἡ τοιαύτη ἀποκατάστασις γένηται, ἐξ οὐδενὸς τῶν εἰρημένων τρόπων ἀποκλείεται. Τοῦ εἰσιόντος εἰς τὸ μοναστήριον, εἴπερ οὐκ ἔχει παῖδας, τὰ πράγματα τῷ μοναστηρίῳ διαφέρουσιν. Εἰ δὲ παῖδας ἔχει, καὶ οὐ διετύπωσε περὶ τῶν αὐτοῦ πραγμάτων πρὶν εἰσέλθῃ, ἄδειαν ἔχει καὶ μετὰ ταῦτα διατυποῦν, καὶ οὐ δύναται τὸ νόμιμον αὐτῶν μέρος μειοῦν. Καὶ ἑαυτῷ δὲ φυλάττει παιδὸς ἑνὸς ἀναλογίαν ὀφείλουσαν τῷ μοναστηρίῳ προσκυρωθῆναι. Εἰ δὲ τελευτήσει ἐν τῷ μοναστηρίῳ, πρὶν ποιήσῃ τὴν διατύπωσιν, τὸ μὲν νόμιμον οἱ παῖδες λαμβάνουσι, τὰ δὲ λοιπὰ τὸ μοναστήριον. Οὐδεὶς τῶν μνηστήρων προφάσει τῶν ἀῤῥαβώνων ζημιοῦται μονάζων· καὶ ὁ γάμος ἐκ τοῦ λαβεῖν τὸν ἕνα τῶν συνοικούντων τὸ μοναχικὸν σχῆμα λύεται χωρὶς ῥεπουδίου, καὶ ἀναλαμβάνει ἡ γυνὴ τὴν προῖκα καὶ τὰ ἄλλα αὐτῆς πράγματα· τῷ δὲ μὴ μονάσαντι, τὸ ἀπὸ τελευτῆς συμφωνηθὲν κέρδος ἁρμόζει· εἰ δὲ ἅμα οἱ δύο ἀποτάξωνται, οὐδεὶς αὐτῶν ἐκ τοῦ ἑτέρου κερδαίνει εἰ μὴ ἑκών τις τῷ ἑτέρῳ δωρήσηται.

Σχόλιον.

Ἡ ϛ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιά-

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β.

νειος ρκγ'. καὶ ἐτέθη ἀπ' ἀρχῆς τοῦ νϐ'. κεφ. αὐτῆς εἰς τίτ. ά. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν. Καὶ ἀνάγνωθι τὸ γ'. κεφ. τοῦ τοιούτου τίτ. ἤτοι κεφ. νδ'. τῆς νεαρᾶς καταστρωθὲν εἰς τὸ σχόλιον τοῦ λϐ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος. Περὶ δὲ τοῦ μὴ οἰκεῖν ἅμα τοὺς μοναχοὺς καὶ τὰς μοναστρίας, φησὶ τὸ ϐ'. θέμα τοῦ δ'. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, θέμα ὂν τοῦ νέ. κεφ. τῆς ρκγ'. Ἰουσινιανείου νεαρᾶς ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν. Περὶ δὲ τῶν βεβαρημένων ληγάτῳ, ἢ ἀποκαταστάσει, ὑπὸ αἵρεσιν γάμου ἢ ἀπαιδίας, συνώψισεν ὁ πατριάρχης περὶ τὰ τέλη τοῦ ά. κεφ. τοῦ ϐ'. τίτ. τοῦ παρόντος συντάγματος τὴν ρκγ'. Ἰουστινιάνειον νεαρὰν, ἤτοι τὸ έ. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν· καὶ ἀνάγνωθι τοῦτο, πρὸς δὲ καὶ τὰ ἐνταῦθα συνοψισθέντα μέρος ὄντα τοῦ αὐτοῦ κεφ.

Κείμενον.

Ἡ δὲ περὶ τοποτηρητῶν διαλεγομένη ρλδ'. νεαρά φησιν, ὅτι ἐὰν γυνὴ ἐπὶ μοιχείᾳ καταδικασθῇ, ταῖς προσηκούσαις ποιναῖς ὑποβαλλομένη μοναστηρίῳ ἐμβάλλεται, καὶ ἄδειαν ἔχει ὁ ἀνὴρ εἴσω διετίας αὐτὴν ἀναλαβεῖν, μὴ ϐλαπτομένου τοῦ γάμου ἐκ τῶν ἐν μέσῳ· εἰ δὲ παρέλθῃ ὁ χρόνος, ἢ τελευτήσῃ μὴ ἀναλαϐὼν αὐτὴν, τὸ σχῆμα λαμϐάνει. Καὶ εἰ μὲν ἔχει παῖδας, λαμϐάνουσι τὰς ὀκτὼ οὐγγίας, καὶ τὸ μοναστήριον τὰς δ'. εἰ δὲ μόνους ἀνιόντας (1) ἔχει μὴ συνεργήσαντας τῷ ἀτοπήματι, λαμϐάνουσι τὰς δ'. οὐγγίας, καὶ τὸ μοναστήριον τὰς ὀκτώ· εἰ δὲ συνήργησαν, ἢ μηδ' ὅλως εἰσὶν ἀνιόντες, ἢ κατιόντες, λαμϐάνει πάντα τὸ μοναστήριον τῶν ἐν τοῖς προικῴοις συμφώνοις ἐπὶ πάντων τῶν θεμάτων τῷ ἀνδρὶ φυλαττομένων. Ἐὰν δέ τις ἐπὶ μοιχείᾳ κατηγορηθείς, καὶ κατὰ προδοσίαν τοῦ δικαστοῦ, ἢ ἑτέραν αἰτίαν, ἀποφύγῃ τὰς ποινὰς, καὶ μετὰ ταῦτα ζῶντος ἢ τελευτήσαντος τοῦ ἀνδρὸς αὐ-

(1) Χ. Τρ. καί Σ. Ρ. — κατιόντας Ἐ. Ἰ. Β.

τῆς αἰσχρῶς αὐτῇ συναστρέφηται, ἢ πρὸς γάμον αὐτὴν λάβῃ, οὔτε ὁ γάμος ἔρρωται, ἀλλ' ὁ μὲν ἀνὴρ ὡς μοιχὸς ὑπὸ παντὸς ἄρχοντος κολάζεται, ἡ δὲ γυνὴ σωφρονιζομένη καὶ κειρομένη ἐμβάλλεται μοναστηρίῳ ὅλον τὸν χρόνον τῆς ζωῆς αὐτῆς, καὶ τὰ πράγματα, ὡς εἴρηται, διαιροῦνται κινδύνῳ τοῦ κόμητος τῶν πριβάτων, καὶ τῶν κατὰ τόπον ἀρχόντων.

Σχόλιον.

Ἡ περὶ τοποτηρητῶν ρλδ'. νεαρὰ τοῦ Ἰουστινιανοῦ ἐτέθη εἰς θέμα β'. τοῦ ά. κεφ. τοῦ ζ'. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν, καὶ ἀνάγνωθι ταύτην· ἐνταῦθα γὰρ οὐ κατεστρώθη, ὅτι συνωψίσθη ὧδέ τε καὶ εἰς τὸ δ'. κεφ. τοῦ ιγ'. τίτ. τοῦ παρόντος συντάγματος. Ὡσαύτως συνωψίσθη καὶ ἡ ριζ'. νεαρὰ, ἣν καὶ ἀνάγνωθι. Τὰ δὲ περὶ τοῦ κατηγορηθέντος ἐπὶ μοιχείᾳ καὶ κατὰ προδοσίαν τοῦ δικαστοῦ ἀποφυγόντος τὰς ποινὰς οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά. Ἀνάγνωθι καὶ τὴν λβ'. νεαρὰν τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου ἀναγκαιοτάτην οὖσαν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῶν ἐξ ἑτέρων μοναστηρίων γινομένων ἡγουμένων ἢ κληρικῶν. Συνόδου Καρθαγένης κανὼν π'. Συνόδου Νικαίας τὸ β'. κανὼν κά.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ δούλων μοναζόντων, ἢ προφάσει εὐλαβείας καταφρονούντων, καὶ μὴ δουλευόντων τοῖς δεσπόταις. Συνόδου Γαγγρῶν κανὼν γ'. Συνόδου ς'. κανὼν πέ. Συνόδου Χαλκηδόνος κανὼν δ'.

Κείμενον.

Ἡ λς'. διάτ. τοῦ γ'. τίτλ. τοῦ ά. βιβλίου τοῦ κώδικος φησίν, ὅτι οἱ ἐναπόγραφοι χωρὶς συναινέσεως τῶν δεσποτῶν μονάζοντες, οὕτως αὐτοῖς ὑπόκεινται ὡς μὴ τοῦτο γενόμενοι. Διάτ. λζ'. Δοῦλοι γνώμῃ τῶν δεσποτῶν μονάσαντες ἐλευθεροῦνται· εἰ δὲ τὴν ἄσκησιν καταλιπόντες εἰς ἑτέραν μετέλθωσι κατάστασιν, ἀναδουλοῦνται. Ἡ δὲ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησίν, ὅτι οἱ παραμένοντες ἐν μοναστηρίοις (1), εἴτε ἐλεύθεροι, εἴτε δοῦλοι, πρότερον τριετίαν προκαρτερείτωσαν (2), κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῶν λαϊκῶν, καὶ τὰς γραφὰς μανθάνοντες, καὶ τὴν τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι, μή ποτε πονηρά ἐστι, καὶ νουθετείσθωσαν· καὶ *εἰ* (3) προσκαρτερήσουσι τὴν τριετίαν, καὶ ἄξιοι φανῶσι τοῦ μονάσαι, τότε χειρέσθωσαν, καὶ τῆς δουλείας ἐλευθεροῦνται. Εἰ δέ τις εἴσω τῆς τριετίας αὐτὸν δουλαγωγεῖ, λέγων αὐτὸν ὑφελόμενόν τινα προσδραμεῖν τῷ μοναστηρίῳ, μὴ προχείρως αὐτὸν ἀφελκέτω, ἀλλὰ δεικνύτω πρότερον ὅτι καὶ δοῦλος ἐστί, καὶ ἐπὶ κλοπῇ ἢ πταίσμασιν ἀτόποις (4) ἀπέδρα, καὶ τότε αὐτὸν λαμβανέτω, μεθ' ὧν ὡς εἰκὸς εἰς τὸ μοναστήριον εἰσήγαγε· διδότω δὲ αὐτῷ πίστιν ὡς οὐδὲν ἐπὶ τούτῳ κακὸν αὐτῷ δράσῃ. Εἰ δὲ μὴ ταῦτα δειχθείη, κἀκεῖνος ἐκ τῆς ἀσκήσεως φανείη σεμνὸς, κἂν μήπω παρῆλθεν ἡ τριετία, μενέτω ἐν τῷ μοναστηρίῳ, καὶ μετὰ τὴν τριετίαν ἄξιος φαινόμενος προσκαρτερείτω τῇ ἀσκήσει, εἴτε δοῦλος ἦν(5), εἴτε ἐλεύθερος, ὑπ' οὐδενὸς τὸ λοιπὸν περὶ τούτου πολυπραγμονούμενος, κἂν προημαρτηκὼς εἴη. Τὰ μέν τοι

(1) εἰς μονήρη βίον Χ. Τρ. — (2) Χ. Τρ. — προσκαιρέσθωσαν Ἐ. Ἰ. Β. ὁ δὲ Β. ἐν περισελιδίῳ προσκαρτερέσθωσαν. — (3) Χ. Τρ. — οὐχ εὕρηται ὁ, εἰ ἐν Ἐ. Ἰ. Β. — (4) ἀτόπως Χ. Τρ. — (5) Χ. Τρ. — εἴ τε δοῦλος ἂν Ἐ. Ἰ. Β.

ὡς εἰκὸς κλαπέντα, ὁπουδήποτε ὄντα, τῷ πάλαι δεσπότῃ ἀποδίδονται. Καὶ ἡ β'. διάταξις τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι τῷ βουλομένῳ σχῆμα μοναχικὸν λαβεῖν, εἰ μὲν γινώσκεται, ὡς οὐχ ὑπόκειται τύχῃ, ὁ ἡγούμενος ὅτε νομίσει διδότω αὐτῷ τὸ σχῆμα· εἰ δὲ ἀγνοεῖται, ἐπεχέτω· καὶ ἄν τις εἴσω τριετίας ἀποδείξῃ αὐτὸν δοῦλον, ἢ ἐναπόγραφον, ἢ κολωνὸν, λαμβάνει αὐτὸν μεθ' ὧν ὡς εἰκὸς ὑφείλετο πραγμάτων διδοὺς αὐτῷ λόγον. Μηδενὸς δὲ εἴσω τριετίας ἐνάγοντος, εἴπερ ἄξιον αὐτὸν κρίνει, διδότω αὐτῷ τὸ σχῆμα, καὶ οὐκ ὀχλεῖται. Τὰ δὲ πράγματα, ἅπερ εἰς τὸ μοναστήριον ἤγαγε, λαμβάνει ὁ δεσπότης. Ἡ αὐτὴ διάταξις φησὶν, ὅτι ὁ ἐπίσκοπος τὸν ἀββᾶν, ἢ τὸν ἀρχιμανδρίτην ἑκάστου μοναστηρίου μὴ πάντως κατὰ βαθμὸν προβαλλέσθω, ἀλλ' ὃν οἱ μοναχοὶ πάντες, ἢ οἱ εὐϋπόληπτοι ἐπιλέξονται, ἐπὶ τῶν εὐαγγελίων λέγοντες, ὡς οὐ διὰ φιλίαν, ἢ χάριν αὐτὸν ἐπελέξαντο, ἀλλὰ γινώσκοντες αὐτὸν ὀρθόδοξον, καὶ σώφρονα, καὶ διοικήσεως ἄξιον, καὶ δυνάμενον φυλάσσειν (1) τὴν ἐπιστήμην τῶν μοναχῶν, καὶ τὴν τοῦ μοναστηρίου κατάστασιν. Τὰ αὐτὰ καὶ περὶ τῶν γυναικείων μοναστηρίων καὶ ἀσκητηρίων (2). Τὰ αὐτὰ φησὶ καὶ ιγ'. διάτ. τοῦ αὐτοῦ τίτ. προστιθεῖσα ὅτι δεῖ τὴν ἐπιλογὴν τοῦ ἀξίου ποιεῖσθαι ἀπὸ τοῦ πρώτου, καὶ οὕτω κατὰ βαθμὸν διὰ τῶν ἑξῆς. Οἱ γὰρ πρῶτοι ἄξιοι φαινόμενοι προτιμῶνται τῶν μετ' αὐτοὺς, ὡς ἡ μς'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου. Ἡ δὲ λθ'. διάτ. τοῦ αὐτοῦ τίτ. διορίζει, ὅτι τοὺς μὲν ἡγουμένους ἐπιβλέπουσιν οἱ ἐπίσκοποι, τοὺς δὲ μοναχοὺς οἱ ἡγούμενοι, καὶ ὅτι δύω μοναστηρίων οὐ γίνεται *δ* (3) αὐτὸς ἡγούμενος.

Σχόλιον.

Ἡ λς'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ

(1) φυλάξαι Χ. Τρ. — (2) Χ. Τρ. — ἀσκητρίων Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. Σ. Ρ.

ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ λζ' οὐδὲ ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, νεαρὰ οὖσα Ἰουστινιάνειος έ. Περὶ δὲ δούλων κληρουμένων, μοναζόντων, ἢ καὶ εἰς ἐπισκοπικὸν ἀξίωμα προβιβαζομένων, ἀνάγνωθι τὸ λς'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος, καὶ τὰ ἐν αὐτῷ· πρὸς δὲ τὴν θ'. ί. καὶ ιά. τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου νεαράν· καὶ τούτων γὰρ μνείαν ἐποιησάμεθα εἰς τὸ ῥηθὲν λς'. κεφ. Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ δ'. τῶν βασιλικῶν τίτ. ά. κεφ. γ'. καὶ ἔχουσι τὰ τοῦ τοιούτου κεφ. ὡς εἰς τὸ κείμενον συνωψίσθησαν. Κατεστρώθη δὲ παρ' ἡμῶν τὸ τοιοῦτον κεφ. ἔξωθεν τοῦ λβ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ζήτει τὰ περὶ τούτου ἐκεῖσε. Ἡ αὐτὴ δὲ ρκγ'. νεαρὰ διὰ τοῦ β'. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν φησιν ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν. Περὶ δὲ τὸ τέλος λέγει, ὅτι ταῦτα πάντα τὰ παρ' ἡμῶν διατυπωθέντα διὰ τὴν προβολὴν τῶν ἡγουμένων κρατεῖν παρακελευόμεθα καὶ ἐπὶ τῶν γυναικείων μοναστηρίων· πρὸς δὲ καὶ τοῦτο, τοῦ ὁσιωτάτου ἐπισκόπου ὑφ' ὃν τὸ μοναστήριον τέτακται τὸν οὕτως ἐπιλεγόμενον πᾶσι τρόποις ἡγούμενον προβαλλομένου. Ἡ ιγ'. διάτ. τοῦ αὐτοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος έ. οὐκ ἐτέθη δὲ εἰς τὰ βασιλικὰ, ἀλλ' οὐδὲ ἡ μς'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος, οὐδὲ ἡ λθ'. διάτ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ.

ΚΕΦΑΛΑΙΟΝ. Δ'.

Περὶ τοῦ μὴ ὡς ἔτυχε μοναχὸν ἐξιέναι τοῦ μοναστηρίου, καὶ (1) πράγματα πράττειν, καὶ ὅτι ὑπὸ τὸν ἐπίσκοπόν εἰσι. Συνόδου Χαλκηδόνος κανὼν γ'. δ'. ἡ. κγ'. Συνόδου ς'. κανὼν μά. μβ'. μς'. Συνόδου ά. καὶ β'. ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κανὼν β'. δ'.

(1) ἢ πράγματα Σ. Ρ.

Κείμενον.

Ἡ κθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικός φησιν, ὡς οἱ ἀποκρισιάριοι μόνοι δύνανται τῶν μοναστηρίων ἐξιέναι, καὶ ἐν ταῖς πόλεσιν εἰσιέναι· εἰ δὲ φανῶσι διὰ δογμάτων ἢ συμβουλῆς τοὺς ἁπλουστέρους ταράσσοντες, νομίμως σωφρονίζονται. Καὶ διάτ. λή. τοῦ αὐτοῦ τίτ. ὅτι οἱ τὰ ἴδια μοναστήρια καταλιμπάνοντες οὐ λαμβάνουσιν ἅπερ αὐτοῖς προσήγαγον κινητὰ, ὁσηςδήποτε ποσότητος ὄντα, κἂν μὴ συνέστη πρᾶξις ὑπομνημάτων ἐπ' αὐτοῖς. Ἐπὶ δὲ ταῖς δωρεαῖς τῶν ἀκινήτων, δεῖ τὰ νόμιμα φυλάττεσθαι, ἐπεὶ οὐκ ἀναιρεῖται τῷ δωρησαμένῳ ἡ ἐκνίκησις. Λέγει δὲ καὶ ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν, ὅτι προνοίᾳ τοῦ ἐπισκόπου μήτε μοναχοὶ, μήτε μονάστριαι ἐν ταῖς πόλεσι περιερχέσθωσαν, ἀλλὰ διὰ τῶν ἀποκρισιαρίων τὰς ἀποκρίσεις αὐτῶν ποιείτωσαν ἐν τοῖς μοναστηρίοις μένοντες. Μεθισταμένου δὲ μοναχοῦ εἰς μοναστήριον ἕτερον, ἅπερ ἔχει πράγματα ἐν τῷ ἐξιέναι τῷ πρώτῳ μοναστηρίῳ διαφέρει. Ἀνάγνωθι καὶ τὰ παραγεγραμμένα ἐν τῷ ά. κεφ. τούτου τοῦ τίτ. καὶ ἐν τῷ λβ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

Σχόλιον.

Ἡ κθ'. διάτ. τοῦ γ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, οὐδὲ ἡ λή. διάτ. τοῦ αὐτοῦ τίτ. Ἡ δὲ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ δ'. τῶν βασιλικῶν τίτ. ά. καί φησι τὸ ξγ'. κεφ. τῆς αὐτῆς νεαρᾶς, ἤτοι τὸ ιά. κεφ. τοῦ ῥηθέντος τίτ. τοῦ δ'. βιβλίου, ὅσα συνωψίσθησαν παρὰ τοῦ πατριάρχου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ μὴ γαμεῖν μοναχοὺς, ἤ τισιν ὡς ἀδελφαῖς συνεῖναι, μήτε τὰς ἐπαγγελλομένας παρθενίαν ἑτέροις συνοικεῖν. Συνόδου Ἀγκύρας κανὼν ιθ'. Συνόδου Χαλκηδόνος κανὼν ις'. Συνόδου ς'. κανὼν μ'. μδ'. μζ'. Βασιλείου κανὼν ιθ'. κ'. ξ'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ'. κεφ. τοῦ ή. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ἐν τῷ χθ'. κεφ. τοῦ θ'. τίτ.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ μοναχῶν ποιούντων φατρίας, καὶ συνωμοσίας. Συνόδου Χαλκηδόνος κανὼν ιή. Συνόδου ς'. κανὼν λδ'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λζ'. κεφ. τοῦ θ'. τίτ. τούτου τοῦ συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ μὴ συλλούεσθαι ἀσκητὰς γυναιξί. Συνόδου Λαοδικείας κανὼν λ'. Συνόδου στ'. κανὼν οζ'.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ φυλακῆς ἱερῶν παρθένων. Συνόδου Καρθαγένης κανὼν μδ'. Συνόδου στ'. κανὼν μς'. μζ'. μή. Συνόδου Νικαίας τὸ β'. κανὼν ιή. κ'. κβ'.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ φθορᾶς ἱερῶν παρθένων. Συνόδου στ'. κανὼν δ'. Βασιλείου κανὼν ιή. κ'. ξ'. Ἀνάγνωθι τὰς παραγραφὰς τοῦ λ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ χρόνου τῆς ἡλικίας τῶν λαμβανουσῶν τὸ σχῆμα, καὶ ποία λέγεται παρθένος. Συνόδου Καρθαγένης κανὼν ρκβ'. ρκς'. Συνόδου στ'. κανὼν μ'. μά. μγ'. μέ. Βασιλείου κανὼν ιή.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ μοναχῶν γινομένων κληρικῶν, ἢ λαϊκῶν ἀξιωματικῶν, ἢ στρατευομένων. Συνόδου Νικαίας κανὼν ιβ'. Συνόδου Χαλκηδόνος κανὼν ζ'. Κυρίλλου ἐκ τῆς πρὸς τοὺς ἐν Λιβύῃ καὶ Πενταπόλει ἐπισκόπους ἐπιστολῆς κανὼν β'. Ἀνάγνωθι τὰς παραγραφὰς τοῦ λβ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῶν χρωμένων σχήματι μοναχικῷ, καὶ καταψηφιζομένων τῶν κοινῇ χρωμένων ἐσθῆτι. Συνόδου Γάγγρας κανὼν ιβ'.

Κείμενον.

Εἴρηται βιβλίῳ ά. τίτ. δ'. διατ. δ'. ὅτι οἱ μῖμοι, καὶ αἱ πόρον ἐκ τοῦ σώματος δημοσίᾳ ποιούμεναι, τῷ σχήματι τῶν ἱερῶν παρθένων μὴ κεχρήσθωσαν. Καὶ ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν φησι· Μηδεὶς λαϊκὸς, καὶ μάλιστα οἱ σκηνικοὶ, καὶ αἱ πόρναι, κεχρήσθω, ἢ μιμείσθω τὸ μοναχικὸν σχῆμα, ἐπεὶ καὶ σωματικῶς τιμωρεῖται καὶ ἐξορίζεται.

Σχόλιον.

Ἡ δ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ β'. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν

ἐστὶ νεαρὰ Ἰουστινιάνειος ρκγ'. κειμένη ἐν βιβλίῳ δ'. τῶν βασιλικῶν. Τὸ δὲ ξδ'. κεφ. τῆς αὐτῆς νεαρᾶς, ἤτοι τὸ ιγ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. φησὶν εἰς πλάτος τὰ συνοψισθέντα εἰς τὸ παρὸν ιϐ'. κεφ. προστιθέμενον διὰ τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων κολάζεσθαι τοὺς τὸ ἅγιον σχῆμα ἐμπαίζοντας.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ γυναικὸς φορούσης ἀνδρῷα (1). Συνόδου Γάγγρας κανὼν ιγ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τοῦ μὴ χρῆναι γυναῖκας ἀποκείρεσθαι δι' ἄσκησιν. Συνόδου Γάγγρας κανὼν ιζ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τοῦ προφάσει ἀσκήσεως μὴ τεκνοτροφοῦντος, ἢ μὴ πατροτροφοῦντος. Συνόδου Γάγγρας κανὼν ιέ. ις'.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Ποῖα πολιτικὰ πράγματα ἢ κηδεμονίας οἱ μοναχοὶ δύνανται μετιέναι. Συνόδου Χαλκηδόνος κανὼν γ'. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ γ'. κεφ. τοῦ ή. τίτ. τοῦ παρόντος συντάγματος.

---

(1) Κ. Τρ. καὶ Σ. Ῥ.—ἀνδρεῖα Ἑ. Ἰ. Β.

ΤΙΤΛΟΣ ΙΒ΄.

ΠΕΡΙ ΑΙΡΕΤΙΚΩΝ, καὶ ΙΟΥΔΑΙΩΝ, καὶ ΕΛΛΗΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Τί ἐστιν αἵρεσις, καὶ τί σχίσμα, καὶ τί παρασυναγωγή. Βασιλείου κανὼν ά.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Τί ἐστιν αἱρετικός. Συνόδου Κωνσταντινουπόλεως κανὼν στ΄.

Κείμενον.

Ἡ ά. διάτ. τοῦ ά. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος φησὶν ὡς ὁ μὴ δοξάζων τὴν ἁγίαν Τριάδα ἐν μιᾷ θεότητι ἰσοδύναμον, οὔτε χριστιανὸς λέγεται, ἀλλ᾽ ἄφρων ἐστὶ καὶ αἱρετικὸς ἄτιμος, καὶ τιμωρεῖται. Καὶ τίτ. έ. τοῦ αὐτοῦ βιβλίου διάτ. β΄. ὅτι αἱρετικός ἐστι, καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως. Καὶ διάτ. ιβ΄. τοῦ αὐτοῦ τίτ. ὅτι αἱρετικός ἐστιν ὁ μὴ ὢν ὀρθόδοξος. Ἡ δὲ ά. διάτ. τοῦ γ΄. τίτ. τῶν νεαρῶν αἱρετικοὺς λέγει τοὺς μὴ ὄντας κοινωνικούς.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. ά. τοῦ ά. τίτ. τοῦ ά. βιβλ. τῶν βασιλικῶν οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον συνωψίσθη. Ἡ β΄. διάτ. τοῦ έ. τίτ. τοῦ αὐτοῦ

ά. βιβλίου τοῦ κώδικός ἐστι θέμα β'. τοῦ ιή. κεφ. τοῦ ά. τίτ. τοῦ ά. βιβλ. τῶν βασιλικῶν τὰ αὐτὰ διαλαμβάνον. Ἡ ιε'. διάτ. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ ά. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν ἐτέθη εἰς κεφ. ν'. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν νεαρὰ οὖσα Ἰουστινιάνειος ρθ'. διαλαμβάνουσα, ὡς ἐν συνόψει εἰπεῖν, μηδεμίαν στρατείαν, ἢ τὴν οἱανοῦν δημοσιακὴν φροντίδα μετιέναι τοὺς αἱρετικούς· λέγει δὲ αἱρετικοὺς εἶναι πάντας τοὺς μὴ μεταλαμβάνοντας τῶν ἁγιασμάτων ἀπὸ τῶν ἱερέων κατὰ (1) τὴν ἁγίαν ἐκκλησίαν τοῦ Θεοῦ· καὶ ὅτι ταῖς αἱρετικαῖς γυναιξὶν οὐ δίδονται τὰ δοθέντα προνόμια ταῖς ὀρθοδόξοις χάριν τοῦ ἔχειν σιωπηρὰς ὑποθήκας κατὰ τῶν τῶν ἀνδρῶν (2) αὐτῶν πραγμάτων, νικᾷν δὲ καὶ τοὺς προγενεσέρους ἐνυποθήκους δανεισὰς εἰς ἱκάνωσιν τῶν προικιμαίων πραγμάτων αὐτῶν, καὶ τῶν γαμικῶν κερδῶν.

Κείμενον.

Ἐν πλάτει δὲ τὰ ,περὶ τῶν αἱρετικῶν ἀνήνεκται ἐν τῷ ε. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος, ἐν ᾧ κωλύονται ἔχειν προνόμια, ἢ διδάσκειν, ἢ ποιεῖν κληρικοὺς, ἢ λιτανεύειν δημοσίᾳ, ἢ ἐν οἴκῳ, ἐπεὶ τινὸς τοιούτου γενομένου ἡ τάξις τοῦ ἐπάρχου ρ'. λίτρας δίδωσιν, αἱ δὲ ἐπιχώριοι πεντήκοντα, καὶ ὅτι τὰ συνακτήρια αὐτῶν ἡ ὀρθόδοξος ἐκκλησία λαμβάνει· καὶ ὅτι οἱ Μανιχαῖοι, καὶ οἱ Δονατισταὶ ἐσχάτως τιμωροῦνται, καὶ δημεύονται, καὶ οὔτε διατίθενται, ἢ ὁπωσοῦν συναλλάττουσι, καὶ οὔτε ὑπὸ παίδων μὴ ὄντων ὀρθοδόξων κληρονομοῦνται, καὶ μετὰ θάνατον κατηγοροῦνται, καὶ ἀκυροῦνται αἱ διαθῆκαι αὐτῶν, καὶ ὅτι τῶν πόλεων ἐκβάλλονται, καὶ ὅτι ταῖς ἐκκλησίαις προσκυροῦνται οἱ οἶκοι ἐν οἷς οἱ αἱρετικοὶ γνώμῃ τῶν δεσποτῶν συνάγονται· καὶ ὅτι τῶν βουλευτικῶν ἢ ταξεωτικῶν λειτουργιῶν οὐκ ἀπολύονται· καὶ ὅτι οὐ ποιοῦσι

(1) Χ. Τρ. — μετὰ Ἐ. Ἰ. Β. — (2) ἀνδρώων Χ. Τρ.

μοναστήρια, οὔτε στρατεύονται. Καὶ πῶς τιμωροῦνται οἱ κατὰ τῶν ἁγίων συνόδων γράφοντες, ἢ ἔχοντες, ἢ ἀναγινώσκοντες αὐτά· καὶ ὅτι θάπτονται νομίμως· καὶ ὅτι οὐ γίνονται ἀξιωματικοὶ, ἢ συνήγοροι, ἢ ἔκδικοι, ἢ πατέρες (1) πόλεων, γίνονται δὲ κορταλῖνοι· καὶ πῶς ἀναγκάζονται τοὺς παῖδας ὀρθοδόξους ὄντας τρέφειν, καὶ γράφειν κληρονόμους, καὶ διδόναι αὐτοῖς προῖκα, καὶ πρὸ γάμου (2) δωρεάς· καὶ ὅτι τῶν γονέων ἀμφισβητούντων ἐπικρατέστερός ἐστιν ὁ θέλων τῇ ὀρθοδοξίᾳ τοὺς παῖδας προσαγαγεῖν· καὶ ὅτι οἱ ὀρθόδοξοι παῖδες πλημμελοῦντες εἰς αἱρετικοὺς γονεῖς τιμωροῦνται· καὶ ὅτι οὔτε βαπτίζουσιν οἱ αἱρετικοὶ, οὔτε φροντίζουσιν ἢ διοικοῦσι χωρία δι' ἑαυτῶν ἢ παρενθέτων, οὔτε παιδεύουσιν, οὔτε κληρονομοῦσιν, οὔτε πραγματεύονται ἐντὸς ἱερῶν περιβόλων· καὶ ὅτι ἐν δικαστηρίῳ οὐ καταμαρτυροῦσιν ὀρθοδόξου, εἰμὴ εἰς βουλευτήριον ὀρθόδοξος ἔλκοιτο· ὡς διάτ. β'. τοῦ ἡ. τίτ. τῶν νεαρῶν, ἔστι δὲ τοῦ ἀριθμοῦ τῶν ὅλων μβ'., ἐν δὲ τελευταίαις βουλήσεσι καὶ συμβολαίοις μαρτυροῦσιν. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ἡ. κεφ. τοῦ ἱ. τίτ. τοῦ παρόντος συντάγματος. Περὶ δὲ Ἰουδαίων διαλαμβάνει ὁ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος, ἐν ᾧ καὶ τὰς συναγωγὰς αὐτῶν λέγει μὴ μιτατεύεσθαι (3), μήτε αὐτοὺς ἐν τοῖς σαββάτοις, ἢ ταῖς ἑορταῖς αὐτῶν σωματικῶς λειτουργεῖν· οὔτε ἐνάγονται, οὔτε παρὰ τῶν χριστιανῶν ἐπηρεάζονται, οὔτε γαμοῦσι χριστιανὰς, καὶ ὅτι αὐτοὶ τὰ ἴδια ἀγορανομοῦσι, καὶ ὅτι ἐπὶ τῶν γάμων οὐ φυλάττουσι τὸν νόμον αὐτῶν, καὶ ὅτι ἐπὶ μόνοις χρηματικοῖς δικαστὰς ἰδίους αἱρεῖσθαι δύνανται, καὶ ὅτι τὸν στεφανητικὸν κανόνα οἱ ἔξαρχοι αὐτῶν ἰδιοκινδύ-

---

(1) Χ. Τρ.—πρεσβύτεροι Ἑ. Ἰ. Β.—(2) Χ. Τρ. — προγάμους Ἑ. Ἰ. Β. — 3) ἐν Χ. Τρ. εὕρηται, μιτατεύεσθαι ἄνευ τοῦ μή. δηλοῖ δὲ ἡ λέξις καταλύω.

νως εἰσάγουσι ταῖς λαργιτιόσι, καὶ ὅτι οὐδὲν αὐτοῖς δεῖ τολμᾷν κατὰ χριστιανῶν.

Σχόλιον.

Ὁ έ. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος ἐτέθη ἀπ' ἀρχῆς τῆς β'. διατ. εἰς τὸν ά. τίτ. τοῦ ά. βιβλ. τῶν βασιλικῶν, καί φησι τὸ ιή. κεφ. αὐτοῦ μὴ διδάσκειν τοὺς αἱρετικούς, μηδὲ χειροτονίας ποιεῖν. Τὸ ιθ'. μὴ λιτανεύειν αἱρετικούς, καὶ ἐκδικεῖσθαι τοὺς παρὰ τούτων κατεχομένους τόπους παρὰ τῶν ἐκκλησιῶν. Τὸ κ'. μὴ ἔχειν τοὺς Μανιχαίους καὶ τοὺς Δοναπιστὰς τὰ προνόμια τῶν ὀρθοδόξων, ἀλλὰ καὶ ἐσχάτως τιμωρεῖσθαι. Τὸ κά. ἐκβάλλεσθαι ἀπὸ τῶν πόλεων τοὺς αἱρετικούς, καὶ ἐκδικεῖσθαι παρὰ τῆς καθολικῆς ἐκκλησίας τὰ καταλιμπανόμενα ὁπωσδήποτε ταῖς τολμηρῶς (1) ὑπ' αὐτῶν λεγομέναις ἐκκλησίαις. Ἡ περὶ τῶν βουλευτικῶν (2) λειτουργιῶν ζ'. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά, οὐδὲ ἡ ή. διάτ. τοῦ αὐτοῦ τίτ. καὶ βιβλ. ἡ διοριζομένη μὴ γίνεσθαι παρὰ τῶν αἱρετικῶν μοναστήρια, μηδὲ στρατεύεσθαι. Τὸ κγ'. κεφ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν φησιν· Οἱ Ἀπολλιναρισταὶ μὴ ταῖς ἁγίαις τέτταρσι συνόδοις πειθόμενοι, καὶ ὅσοι κατὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ἢ λέγειν τι, ἢ διδάσκειν, ἢ συγγράμματα κεκτῆσθαι τολμῶσι, ταῖς εἰρημέναις τῇ παρούσῃ διατάξει τιμωρίαις ὑποβαλλέσθωσαν. Τὸ κδ'. κεφ. φησί· Ταῖς νενομισμέναις (3) αἱρετικοὶ παραδιδόσθωσαν ταφαῖς. Τὸ β'. θέμα τοῦ αὐτοῦ κεφ. λέγει· Μανιχαῖος ἐν ῥωμαϊκῷ τόπῳ διάγων ὀφθεὶς ἀποτεμνέσθω, καὶ ὅτι οἱ αἱρετικοὶ οὐ γίνονται ἀξιωματικοὶ, καὶ ἐφεξῆς ὅσα συνωψίσθησαν εἰς τὸ κείμενον. Τὸ κέ. κεφ. διορίζεται ταῦτα· Γονέων δὲ διαφόρου πίστεως ὄντων καὶ θρησκείας, ἐκείνου μᾶλλον ἡ γνώμη κρατείτω τοῦ τὴν ὀρθόδοξον ἐπ' αὐτοῖς ἀναιρουμένου πίστιν, κἂν εἴη πατὴρ ὁ ἀντιλέγων· μὴ ἐντεῦθεν δὲ ἀγανακτῶν τῆς ἀναγκαίας αὐτοὺς στερείτω τροφῆς, ἢ τῶν ἄλλων ἀναγκαίων δαπανημάτων· ἀλλὰ καὶ προῖκα διδοὺς, ἢ πρὸ γάμου

(1) Χ. Τρ. — τολμηραῖς Ἐ. Ἰ. Β. — (2) βουλευτηρίων Χ. Τρ. — (3) νομίμοις Χ. Τρ.

δωρεὰν ὀρθοδόξοις αὐτοὺς συνοικιζέτω προσώποις, μηδεμίαν ἑτέραν ὀργῆς κατ' αὐτῶν προβαλλόμενος πρόφασιν. Τὸ δὲ τιμωρεῖσθαι τοὺς ὀρθοδόξους παῖδας πλημμελοῦντας κατὰ αἱρετικῶν γονέων οὐκ ἐξελήφθη εἰς τὰ βασιλικὰ, καὶ χάρις τῷ ταῦτα συνθεμένῳ καὶ ὑπὲρ τούτου. Τὸ κή. κεφ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν φησι· Πάντες γενικῶς οἱ αἱρετικοὶ μήτε παρασυνάξεις, ἢ παραβαπτίσματα ποιείτωσαν, μήτε τῆς προσκυνητῆς ὅλως κοινωνίας τολμάτωσαν ἅπτεσθαι, ἢ τοῖς τῶν ὅρων προνομίοις, ἐφ' οἷς ἔχουσιν ἐργαστηρίοις, κεχρήσθωσαν, τὰς τῶν ἐναντιουμένων τοῖς νόμοις ποινὰς ὑφορώμενοι, τοῦ χορηγοῦντος τὸν οἶκον ταῖς προειρημέναις τιμωρίαις ὑποκειμένου. Μοντανισταὶ ἐξαιρέτως μηδένα τῶν καλουμένων παρ' αὐτοῖς πατριαρχῶν, ἢ κοινωνῶν (1), ἢ ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων ἐντὸς ἐχέτωσαν Κωνσταντινουπόλεως, κωλυέσθωσαν δὲ ἐντὸς πραγματεύεσθαι τῶν ὅρων αὐτῆς, καὶ τὰ ἀσελγῆ συσσίτια, ἢ τὰ ἀσεβῆ συμπόσια ποιεῖν, ἢ ἀνδράποδα ἐμπορεύεσθαι διὰ τοὺς ὑποκειμένους ἐφ' ἑκάστῳ λογισμούς. Τὸ κθ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. κατεστρώθη εἰς τὸ τέλος τοῦ ά. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι τοῦτο διοριζόμενον μὴ μαρτυρεῖν κατὰ ὀρθοδόξων αἱρετικούς. Ἡ β'. διάτ. τοῦ ή. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος μβ'. τοῦτο δὲ τὸ κεφ. αὐτῆς οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ὁ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς κεφ. λβ'. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν, καί εἰσι τὰ συνοψισθέντα παρὰ τοῦ πατριάρχου τοῦ αὐτοῦ τίτλου καὶ βιβλίου κεφ. λβ'. λγ'. λδ'. λέ. λς'. λζ'. λή. λθ'. μ'. μά. μβ'. μγ'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ βιβλίων αἱρετικῶν. Ἀποστόλων κανὼν ξ'. Συνόδου στ'. κανὼν ξή. Συνόδου Νικαίας τὸ β'. κανὼν θ'.

(1) κοινωνικῶν Χ. Τρ.

Κείμενον.

Ἡ γ'. διάτ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός φησι· Τὰ κατὰ χριστιανῶν Πορφυρίου καὶ ἄλλων συγγράματα καιέσθωσαν, καὶ τὰ Νεστορίου, καὶ ὅσα μὴ συμφωνεῖ ταῖς ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ συνόδοις, καὶ Κυρίλλῳ τῷ Ἀλεξανδρείας, ὧν οὐκ ἔξεστι παρεξιέναι τὴν πίστιν. Οἱ δὲ τὰ λεχθέντα βιβλία ἔχοντες καὶ ἀναγινώσκοντες ἐσχάτως τιμωροῦνται. Τίτ. δ'. διάτ. ί. Οἱ μαθηματικοὶ μὴ καίοντες ἐπὶ τῶν ἐπισκόπων τὰς βίβλους αὐτῶν, καὶ τῇ ὀρθοδοξίᾳ προσιόντες, πάσης ἀπωθοῦνται πόλεως· εὑρισκόμενοι δὲ ἐν ταῖς πόλεσι δεπορτατεύονται. Τίτ. έ. διάτ. στ'. Τὰ γραφέντα Νεστορίῳ κατὰ τῆς ἐν Ἐφέσῳ συνόδου οὐκ ἔξεστιν ἔχειν, ἢ ἀναγινώσκειν, ἢ μεταγράφειν, ἀλλὰ καίονται· καὶ ἐν τῷ ζητεῖν περὶ πίστεως, οὐ δεῖ αὐτῶν μεμνῆσθαι, οὔτε δὲ αὐτὰ ἐν οἱῳδήποτε ἰδίῳ τόπῳ δέχεσθαι· ὁ δὲ παραβαίνων τὸν νόμον δημεύεται. Οὐ λέγονται δὲ οἱ Νεστοριανοὶ χριστιανοί, ἀλλὰ Σιμωνιανοί, ὥσπερ οἱ Ἀρειανοί, Πορφυριανοί. Διάτ. ή. Οὐδενὶ ἔξεστι κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου γράφειν, ἢ ἀναγινώσκειν, ἢ ὑπαγορεύειν, ἢ ἔχειν συγγράμματα, ἐπεὶ διηνεκῶς δεπορτατεύεται· καὶ ὁ προσελθὼν ἐπὶ τῷ μαθεῖν, δέκα λίτρας δίδωσι τῷ φίσκῳ· καὶ ὁ διδάσκων τὰ κεκωλυμένα ἐσχάτως τιμωρεῖται. Πάντα δὲ τὰ συγγράμματα Εὐτυχοῦς καὶ Ἀπολλιναρίου καιέσθωσαν. Εἰ δὲ ταῦτα παρίδωσιν οἱ ἄρχοντες, ἢ αἱ τάξεις (1) αὐτῶν, ἢ οἱ ἔκδικοι, ἀπὸ δέκα λιτρῶν τῷ φίσκῳ προστιμῶνται. Διάτ. ις'. Ὁ ἔχων βιβλία μανιχαϊκὰ, καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ τῷ καυθῆναι, τιμωρεῖται. Καὶ ἡ έ. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν κελεύει τοὺς ἔχοντας τὰ Σεβήρου συγγράμματα καὶ μὴ καίοντας αὐτὰ, χειροτονεῖσθαι. Λέγει δὲ καὶ βιβλίον ι'.

(1) Χ, Τρ. καὶ Σ. Ρ. — ταξεῶται Ἐ. Ἰ. Β.

τίτ. ιϐ'. διάτ. δ'. ὅτι οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων τὰ ἐν τῇ κληρονομίᾳ εὑρεθέντα μαγικὰ βιβλία, ἀλλὰ δοκιμασίᾳ τοῦ δικαστοῦ φθείρονται. Ἡ δὲ έ. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν ἐπιτρέπει τοῖς Ἰουδαίοις ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ ἑλληνιστὶ καὶ ταῖς ἄλλαις διαλέκτοις πρὸς τοὺς τόπους τὰς γραφὰς ἀναγινώσκειν, κατὰ τὴν τῶν ἑβδομήκοντα, καὶ τὴν Ἀκύλα παράδοσιν· ὁ δὲ τὴν τοιαύτην κωλύων ἀνάγνωσιν δημεύεται καὶ ἐξορίζεται.

Σχόλιον.

Ἡ γ'. διάτ. τοῦ ά. τίτ. τοῦ ά. βιϐλ. τοῦ κώδικός ἐστι κεφ. γ'. τοῦ ά. τίτ. τοῦ ά. βιϐλ. τῶν βασιλικῶν, καὶ διδάσκει ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν. Ἡ ί. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιϐλίου τοῦ κώδικός ἐστι κεφ. ιζ'. τοῦ ά. τίτ. τοῦ ά. βιϐλίου τῶν βασιλικῶν, καὶ ἔχει οὕτως, ὡς ἐγράφη. Ἡ ς'. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιϐλ. τοῦ κώδικός ἐστι κεφ. κϐ'. τοῦ ά. τίτ. τοῦ ά. βιϐλ. τῶν βασιλικῶν ἔχον ὁμοίως. Ἡ ή. διάτ. ἐστὶ κεφ. κγ'. τοῦ αὐτοῦ βιϐλ. καὶ τίτ. τῶν βασιλικῶν, καὶ κατεστρώθη εἰς τὸ ϐ'. κεφ. ἀνάγνωθι οὖν τοῦτο, καὶ τὰ ἐπέκεινα αὐτοῦ γεγραμμένα παράτρεχε ὡς μὴ ἐνεργοῦντα, ἀλλὰ σχολάσαντα ἐκ τοῦ μὴ τεθῆναι εἰς τὰ βασιλικά. Ἡ ις'. διάτ. ἐστὶ θέμα τελευταῖον τοῦ κζ'. κεφ. τοῦ αὐτοῦ βιϐλίου καὶ τίτ. καί φησι· Πρὸς τούτοις πάντα τὰ Μανιχαίων καιέσθωσαν βιϐλία, καὶ μηδεὶς αὐτὰ τὴν οἱανδήποτε προϐαλλόμενος πρόφασιν ἐχέτω, ἁρμοδίαν καὶ αὐτὸς ποινὴν εὐλαϐούμενος. Ἡ έ. διάτ. τοῦ ά. τίτ. τῶν νεαρῶν οὐ κεῖται εἰς τὰ βασιλικά. Ὁ ϐ'. τίτ. τοῦ ί. βιϐλίου τῶν διατ. κεῖται εἰς τίτ. γ'. τοῦ μϐ'. βιϐλίου τῶν βασιλικῶν· πλὴν τὸ πρὸ τῆς ἀνακαθάρσεως κείμενον, διάταξις δ'. τοῦ τοιούτου τίτ. φησὶν, ὅτι οὐ διαιροῦνται τὰ μαγικὰ βιϐλία, καθὼς καὶ συνωψίσθη. Τὸ ϐ'. θέμα τοῦ κδ'. κεφ. τοῦ γ'. τίτ. τοῦ μϐ'. βιϐλίου κατεστρώθη εἰς τὸ κέ. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος, ὃ καὶ ἀνάγνωθι. Ἡ έ. διάτ. τοῦ γ'. τίτ. τῶν νεαρῶν ἐστι νεαρὰ Ἰουστινιάνειος ρμς'. κειμένη ἐν

κεφ. νέ. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν, ὃ καὶ ἀνάγνωθι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ καθαιρέσεως ξοάνων. Συνόδου Καρθαγένης κανὼν νή. πδ'.

Κείμενον.

Ἡ α'. διάτ. τοῦ ια'. τίτ. τοῦ α'. βιβλίου τοῦ κώδικος κελεύει τὰ ἱερὰ κλείεσθαι, ἥτις οὐκ ἐτέθη εἰς τὰ βασιλικά.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ Νεστορίου, Μουσαίου, Εὐτυχιανοῦ, Πορφυρίου, Μαξίμου, καὶ Κελεστίνου, καὶ τῶν ὑπ' αὐτῶν καταστάντων αἱρετικῶν, ἢ ὀρθοδόξων ἐκβληθέντων. Συνόδου Κωνσταντινουπόλεως κανὼν δ'. Συνόδου Ἐφέσου κανὼν α'. β'. γ'. δ'. έ. Συνόδου Σαρδικῆς κανὼν κ'.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Περὶ τοῦ μὴ ὀφείλειν ἀναφορὰν γίνεσθαι παρόντος αἱρετικοῦ. Τιμοθέου κανὼν θ'.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ κληρικῶν αἱρετικῶν τῇ ὀρθοδόξῳ προσιόντων ἐκκλησίᾳ. Συνόδου Καρθαγένης κανὼν νζ'. ξή. Βασιλείου κανὼν α'. Θεοφίλου ἐκ τοῦ ὑπομνηστικοῦ κανὼν α'.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἐπισκόπων ἢ κληρικῶν συγκοινωνούντων, ἢ συνευχομένων αἱρετικοῖς, ἢ ἐπιτρεπόντων αὐτοῖς ἐνεργεῖν, ἢ δεχομένων βάπτισμα αὐτῶν ἢ θυσίαν. Ἀποστόλων κανὼν ι'. μέ. μς'. Συνόδου Ἀντιοχείας κανὼν β'. Συνόδου Λαοδικείας κανὼν λγ'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιέ. κεφ. τοῦ γ'. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἐπισκόπων ἢ κληρικῶν λαμβανόντων εὐλογίας ἐξ αἱρετικῶν, ἢ Ἰουδαίων, ἢ εὐχομένων ἐν ἐκκλησίαις, ἢ ἐν μοναστηρίοις αἱρετικῶν ἢ ἐθνικῶν, ἢ σαββατιζόντων, ἢ συνεορταζόντων τοῖς Ἰουδαίοις, ἢ προσφερόντων συναγωγαῖς ἢ ἱεροῖς ἐθνῶν, καὶ περὶ Ἀγγελιτῶν. Ἀποστόλων κανὼν ξέ. ὁ. Συνόδου Λαοδικείας κανὼν θ'. χθ'. λβ'. λέ. λζ'. λή. λθ'. μβ'. Συνόδου στ'. κανὼν ια'.

Κείμενον.

Ἡ α'. διάτ. τοῦ θ'. τίτ. τοῦ α'. βιβλ. τοῦ κώδικός φησιν ὅτι τὸ τῇ ὁμάδι τῶν Ἰουδαίων ληγατευόμενον οὐκ ἀπαιτεῖται. Λέγει δὲ καὶ βιβλ. λδ'. τίτ. έ. διάτ. κ'. (1), ὅτι τὸ ληγατευόμενον θεμιτῷ σωματείῳ, ἢ συστήματι ἔῤῥωται. Τὸ ἐναντίον δὲ ἐπὶ ἀθεμίτου, πλὴν εἰ μὴ τοῖς ἐν τῷ αὐτῷ καθ' ἕκαστον ληγατευθῇ, τότε γὰρ ἔῤῥωται· πολλὰ δὲ τοιαῦτα θέματα ἔχει ὁ μή. τίτ. τοῦ στ'. βιβλίου τοῦ κώδικος. Ἡ δὲ θ'. διάτ. τοῦ ια'. τίτ. τοῦ α'. βιβλίου φησὶν, ὅτι ἐάν τι δωρηθῇ ἢ καταλειφθῇ τόποις ἢ προσώποις ἐπὶ συστάσει τῆς τῶν Ἑλλήνων πλάνης, ἡ πόλις αὐτὸ λαμβάνει ἐν ᾗ τὰ πρόσωπα οἰκεῖ, ἢ ὑφ' ἣν οἱ τόποι

---

(1) ή. Ἑ. Ἰ. Β.—διορθοῖ δὲ κ'. Β. ἐν περισελιδίῳ.

διάκεινται καὶ δαπανῶνται καθ' ὁμοιότητα τῶν πολιτικῶν προσόδων.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Τὸ ή. διάτ. τοῦ έ. τίτ. τοῦ λδ'. βιβλ. τῶν διατάξεών ἐστι κεφ. κ'. τοῦ ιή. τίτ. τοῦ μδ'. βιβλ. λέγον ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν. Ὁ μή. τίτ. τοῦ ς'. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς κεφ. λδ'. τοῦ αὐτοῦ ιή. τίτ. τοῦ μδ'. βιβλίου, καὶ ζήτει τοῦτο, καὶ τὰ μετ' αὐτὸ κεφ. Ἡ θ'. διάτ. τοῦ ιά. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. ιδ'. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν τὰ αὐτὰ παρακελευόμενον.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ ἐπισκόπου ἐν εἰδήσει λέγοντος κοινωνικὸν τὸν αἱρετικόν. Συνόδου Καρθαγένης κανὼν ρκδ'.

ΚΕΦΑΛΑΙΟΝ. ΙΑ'.

Περὶ τοῦ μὴ ἀπιέναι πρὸς τοὺς τῶν αἱρετικῶν ψευδομάρτυρας. Συνόδου Λαοδικείας κανὼν λδ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τοῦ μὴ εἰσιέναι τοὺς αἱρετικοὺς εἰς τὴν ἐκκλησίαν. Συνόδου Λαοδικείας κανὼν στ'.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ γάμων αἱρετικῶν πρὸς ὀρθοδόξους. Συνόδου Λαοδικείας κανὼν ί. λά. Συνόδου Χαλκηδόνος κανὼν ιδ'. Συνόδου Καρθαγένης κανὼν κά. Συνόδου στ'. κανὼν οβ'.

Κείμενον.

Ὁ πολιτικὸς νόμος, εἰ καὶ τὰ μάλιστα τὸν γάμον ὁριζόμενος, φησὶ βιβλίῳ κγ'. τίτ. β'. διατ. ά. ὅτι γάμος ἐςὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις πάσης τῆς ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία, καὶ κατὰ τοῦτον τὸν ὅρον ἔδει τοὺς γάμῳ συναπτομένους ὁμοθρήσκους εἶναι, ὅμως οἶδε καὶ δέχεται μεταξὺ ὀρθοδόξου καὶ αἱρετικοῦ γάμον· φησὶ γὰρ βιβλ. ά. τοῦ κώδικος τίτ. έ. διατ. ιβ'. ὅτι ἀμφισβητούντων τῶν γονέων, ἐπικρατέστερός ἐστιν ὁ θέλων τῇ ὀρθοδόξῳ πίστει τοὺς παῖδας προσαγαγεῖν· καὶ διατ. ιή. τοῦ αὐτοῦ τίτ. ὅτι ἐὰν θάτερος τῶν συνοικούντων ὀρθόδοξος εἴη, καὶ ὁ ἄλλος αἱρετικὸς, δεῖ γίνεσθαι τοὺς παῖδας αὐτῶν ὀρθοδόξους· καὶ βιβλίον έ. τίτ. ά. διάτ. έ. Ἐὰν ἡ μνηστὴ παραιτῆται τὸν γάμον, διὰ τὸ τῆς πίστεως διάφορον, εἰ μὲν προήδει τὴν αἰτίαν ἡ γυνὴ *ἢ* (1) οἱ γονεῖς αὐτῆς, ὑπόκεινται· εἰ δὲ ἠγνόουν, εἰ καὶ μετὰ τὸ λαβεῖν τοὺς ἀῤῥαβῶνας ἡ αἰτία συνέβη, τὸ ἁπλοῦν ἀναδίδοται. Τὸ αὐτό φησι καὶ ἐπὶ μνηστῆρος. Ἡ δὲ στ'. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου *τοῦ κώδικός*(2) φησιν, ὅτι χριστιανὸς λαμβάνων Ἰουδαίαν γαμετὴν, ἢ χριστιανὴν Ἰουδαῖος, ἐπὶ μοιχείᾳ κατηγορεῖται.

Σχόλιον.

Ὁ β'. τίτ. τοῦ κγ'. βιβλίου τῶν διατ. ἐτέθη εἰς τίτ. δ'. τοῦ τοῦ κή. βιβλίου τῶν βασιλικῶν, καί φησι τὸ ά. διάτ. περὶ γάμου ὁμοίως. Ἡ ιβ'. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος, ἤτοι τὸ κέ. κεφ. τοῦ ά. τίτ. τοῦ ά. βιβλ. τῶν βασιλικῶν κατεστρώθη εἰς τὰ μέσα τοῦ σχολίου τοῦ β'. κεφ. τοῦ παρόντος τίτ. Ἀνάγνωθι καὶ τὸν οβ'. κανόνα τῆς ἐν τῷ Τρούλλῳ ς'. συνόδου, καὶ μάθῃς ὅτι πιστὸς μετὰ ἀπίστου γυναι-

---

(1) Χ. Τρ. καὶ Σ. Ῥ. — ὁ, ἢ οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. ἀλλ' ὑπάρχει ἐν τῇ διατ. 5 τοῦ Κώδ. 5. 1. — (2) Χ. Τρ.

κὸς οὐ συνάπτεται νόμῳ γάμου, κἄν τινες πλανηθέντες ἐκ τοῦ τέλους τοῦ αὐτοῦ κανόνος περὶ ἀπίστων πιστευσάντων μετὰ τὸν γάμον διδάσκοντος (1) ἕτερόν τι τολμηρῶς εἶπον. Ἐγὼ δὲ εἰδὼς τοὺς Ἴβηρας ὀρθοδόξους, καὶ τὰ ἡμέτερα πάντα δεξαμένους, καὶ ὁρῶν αὐτοὺς τοῖς Ἀγαρηνοῖς ἐγγαμίζοντας τὰς οἰκείας θυγατέρας, θαυμάζω καὶ ἀπορῶ πῶς παρὰ τῶν ἀρχιερέων αὐτῶν εἰδότων καὶ ἀναγινωσκόντων τὰ τῶν θείων κανόνων θεσπίσματα τὰ τοιαῦτα οὐ κωλύονται. Εὔχομαι οὖν καὶ τοῦτο διορθωθῆναι δι' εὐχῆς καὶ ἀντιλήψεως τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος. Ἡ ιή. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ έ. διάτ. τοῦ ά. τίτ. τοῦ έ. βιβλ. τοῦ κώδικός ἐστι κεφ. ϛ'. τοῦ ϛ'. τίτ. τοῦ κή. βιβλ. τῶν βασιλικῶν· καὶ πρόσχες ὅτι τὸ ῥητὸν τὸ λέγον, διὰ τὸ τῆς θρησκείας διάφορον, οὐ προσετέθη εἰς τὰ βασιλικά· φησὶ γὰρ τὸ τοιοῦτον ϐ'. κεφ. ταῦτα· Ἐὰν γυνὴ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν ἀῤῥαϐῶνας δεξαμένη παραιτήσηται τὸν γάμον, διπλοῦς ἀντιδιδότω (2) ἀῤῥαϐῶνας· εἰ δὲ καὶ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε, καὶ ἀῤῥαϐῶνας ἔλαϐε, πάλιν τὸ διπλάσιον ἀναδιδότω· ἐὰν δὲ καὶ ἀφῆλίξ ἐστι, καὶ αὐτὴ συγγνώμην ἡλικίας οὐκ ᾔτησεν, αὐτὸ (3) τὸ ἁπλοῦν, ὅπερ ἔλαϐεν, ἀποκαταστήσει· εἰ δὲ καὶ πατὴρ κόρης, ἢ μήτηρ ἀῤῥαϐῶνας ἔλαϐον ὑπὲρ θυγατρὸς, ἢ πάππος ὑπὲρ ἐγγόνης, τελείας ὄντες ἡλικίας, καὶ αὐτοὶ εἰς τὸ διπλάσιον κατεχέσθωσαν, εἴ περ δυνάμενον προϐῆναι τὸν γάμον παραιτοῦνται ποιῆσαι· εἰ δὲ καὶ ἀνυπόστατος μέλλει ὁ γάμος εἶναι, αὐτοὶ οἱ ἀῤῥαϐῶνες ἀναδιδόσθωσαν ἁπλοῖ· εἰ δὲ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι' εὔλογον δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν κἂν πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοῖς ἐγκαλείσθωσαν διὰ τί τὸν τοιοῦτον ἐμνηστεύσαντο· εἰ δὲ ἠγνόουν, ἢ πολλάκις μετὰ τὴν μνηστείαν ἡ αἰτία συνέϐη, τότε ἁπλοῦν ἀποδιδόσθω. Τὰ δὲ αὐτὰ καὶ ἐπὶ τοῦ μνησῆρος λέγομεν τοῦ τὴν μνησείαν παραιτησαμένου. Τὸ δὲ τετραπλασιάζεσθαι τοὺς ἀῤῥαϐῶνας ὅτε ἡ μνηστὴ παραιτεῖ-

(1) Χ. Τρ. — διδάσκονται Ἑ. Ἰ. Β. — (2) ἀναδίδοται Χ. Τρ. — (3) Χ. Τρ. — τὸ ἁπλοῦν αὐτῷ Ἑ. Ἰ. Β.

ται τὸν γάμον, νῦν οὐ κρατεῖ, εἰ μὴ ἄρα ἰδικῶς αὐτὸ τοῦτο συμφωνηθῇ. Πᾶσα δὲ ἀσφάλεια παρὰ τὴν διάταξιν ταύτην γινομένη ἀνυπόστατος ἔστω. Ἡ δὲ ς'. διάτ. τοῦ θ'. τίτ. τοῦ ά. βιβλίου τοῦ κώδικός ἐστι κεφ. λγ'. τοῦ ά. τίτ. τοῦ ά. βιβλίου τῶν βασιλικῶν, καί φησι τὰ αὐτά.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῶν ἐξ αἱρετικῶν εἰς ὀρθοδοξίαν ἐπιστρεφόντων, καὶ εἰ δυνατὸν τούτους κληροῦσθαι, καὶ τίνες αὐτῶν βαπτίζονται, καὶ τίνες μόνον χρίονται, καὶ ὅτι πράως δεῖ τοῖς αἱρετικοῖς κεχρῆσθαι διὰ τὸ ἐπιστρέψαι αὐτούς. Συνόδου Νικαίας κανὼν ή. ιθ'. Συνόδου Λαοδικείας κανὼν ζ'. ή. Συνόδου Κωνσταντινουπόλεως κανὼν ζ'. Συνόδου Καρθαγένης κανὼν μζ'. νζ'. ξς'. Συνόδου στ'. κανὼν ιέ. Βασιλείου κανὼν ά. μζ'. Θεοφίλου ἐκ τῆς πρὸς Ἀφύγγιον ἐπίσκοπον ἐπιστολῆς.

Ἡ κατὰ Κυπριανὸν σύνοδος πάντα αἱρετικὸν ἐρχόμενον εἰς ὀρθοδοξίαν ὁρίζει βαπτίζεσθαι, λέγουσα τὸ τῶν αἱρετικῶν μὴ εἶναι βάπτισμα.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τοῦ μήτε ἐπισκόπους, μήτε κληρικοὺς δωρεῖσθαι, ἢ ἐν διαθήκῃ (1) διδόναι τι αἱρετικοῖς, κἂν ὦσιν αὐτῶν συγγενεῖς. Συνόδου Καρθαγένης κανὼν κβ'. πά. Ἀνάγνωθι τὰ προγεγραμμένα ἐν τῷ ή. κεφ. τοῦ ί. τίτ. τοῦ παρόντος συντάγματος.

(1) Σ. Ῥ. — ἢ ἐνδιαθήκως Χ. Τρ. — ἢ ἐν διαθέσει Ἑ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Περὶ αἱρετικῶν μετανοούντων. Βασιλείου κανὼν έ. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λέ. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Πῶς ἐκδικοῦσιν οἱ ἐπίσκοποι τοὺς ἁρμόζοντας αὐτοῖς τόπους, παρὰ αἱρετικῶν κατεχομένους. Συνόδου Καρθαγένης κανὼν ρκά. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ί. κεφ. τοῦ ή. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῶν πειρωμένων ἀθετεῖν τὰ ἐν Ἐφέσῳ πραχθέντα. Συνόδου Ἐφέσου κανὼν στ'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ γ'. κεφ. τοῦ παρόντος τίτ.

ΤΙΤΛΟΣ ΙΓ'.

ΠΕΡΙ ΛΑΙΚΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περι τοῦ ἀποκινεῖσθαι τὸν λαϊκὸν τῆς ἁγίας κοινωνίας ἐπὶ τρεῖς κυριακὰς ἐν πόλει διάγοντα, καὶ μὴ συνελθόντα τῇ ἐκκλησίᾳ. Συνόδου Σαρδικῆς κανὼν ιά. Συνόδου στ'. κανὼν π'.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ λαϊκῶν δευτερογαμούντων, ἢ πολυγαμούντων, καὶ κεκωλυμένων γάμων, καὶ μίξεως. Ἀποστόλων κανὼν ιθ'. μή. Συνόδου Ἀγκύρας κανὼν ις'. ιζ'. Συνόδου Νεοκαισαρείας κανὼν β'. γ'. δ'. ζ'. Συνόδου Λαοδικείας κανὼν ά. ί. λά. Συνόδου Χαλκηδόνος κανὼν ις'. Συνόδου στ'. κανὼν νγ'. νδ'. οβ'. ιή. Βασιλείου κανὼν δ'. ιή. κγ'. κδ'. μά. ν'. νγ'. ξζ'. ξή. οέ. ος'. οή. οθ'. π'. Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Διόδωρον ἐπιστολῆς. Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ἀγάθωνα ἐπίσκοπον ἐπιστολῆς.

Κείμενον.

Ὁ πολιτικὸς νόμος οὐ κολάζει τὴν δευτερογαμίαν ἢ πολυγαμίαν, ἔκπτωσιν (1) δὲ κερδῶν ἐπάγει τοῖς γονεῦσι δευτερογαμοῦσιν, ὑπόντων αὐτοῖς παίδων ἐκ τοῦ προ-

(1) Χ. Τρ. Ἐ. — ἔπωσιν Ἰ. Β.

τέρου συνοικεσίου, περὶ ὧν ἐν πλάτει διαλαμβάνει ὁ θ'. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικος, καὶ ἡ περὶ γάμων νεαρά· ἡ δὲ γυνὴ πρὸς τούτοις ἀναγκάζεται μεῖναι τὸν πένθιμον ἐνιαυτὸν διὰ τὴν σύγχυσιν τῆς γονῆς, ὅπερ ἐπὶ τοῦ ἀνδρὸς οὐκ ἔστι. Γαμοῦσα τοίνυν πρὸ συμπληρώσεως ἐνιαυτοῦ μετὰ θάνατον τοῦ ἀνδρὸς ἀτιμοῦται, καὶ οὐ δύναται πλέον τοῦ τρίτου τῆς οὐσίας αὐτῆς διδόναι τῷ δευτέρῳ ἀνδρί, ἢ ἐν διαθήκῃ καταλιπεῖν· καὶ αὐτὴ δὲ οὐδὲν ἕξει ἀπὸ κληρονομίας, ἢ ληγάτου, ἢ μόρτις καῦσα δωρεᾶς· ἀλλὰ ταῦτα λαμβάνουσιν οἱ κληρονόμοι τοῦ καταλιπόντος· καὶ εἴ τι κατέλιπεν αὐτῇ ὁ πρῶτος ἀνὴρ, λαμβάνουσι κατὰ βαθμὸν τὰ δέκα πρόσωπα, ἀνιόντες καὶ κατιόντες, καὶ ἐκ πλαγίου μέχρι β'. βαθμοῦ. Ἐξ ἀδιαθέτου δὲ κληρονομεῖ τῶν συγγενῶν αὐτῆς μέχρι τρίτου βαθμοῦ μόνου, καὶ πάσης ἀξίας στερεῖται, καὶ τῶν ἀπὸ τοῦ πρώτου ἀνδρὸς εἰς αὐτὴν ἐλθόντων προφάσει μνήστρων, ἢ κατὰ βούλησιν τοῦ τελευτήσαντος· μηδενὸς δὲ τῶν εἰρημένων δέκα προσώπων εὑρισκομένου χώρα τῷ φίσκῳ· οὔτε τῆς πρὸ γάμου δωρεᾶς ἀπολαύει· εἰ δὲ καὶ κληρονόμος ἐγράφη, εἰ καὶ μερικὴ, τὸ μέρος αὐτῆς παρὰ τοῖς συγκληρονόμοις μένει· εἰ δὲ μόνη ἐγράφη, εἰς τοὺς ἐξ ἀδιαθέτου ὁ κλῆρος ἔρχεται. Ἡ δὲ ἀτιμία λύεται, δεήσεως παρ' αὐτῆς τῷ βασιλεῖ προσαγομένης, αὐτοῦ φιλοτιμουμένου τοῦτο. Παίδων δ' αὐτῇ ἐκ τοῦ προτέρου συνοικεσίου ὑπόντων, οὐκ ἄλλως τῆς τοιαύτης τεύξεται φιλοτιμίας, καὶ τῶν ἄλλων ποινῶν καὶ τῆς ἀτιμίας ἀπαλλαγήσεται, εἰ μὴ τῆς οὔσης αὐτῇ οὐσίας ἐν τῷ δευτερογαμεῖν τοῖς παισὶ δωρήσεται τὸ ἥμισυ κατὰ χρῆσιν καὶ δεσποτείαν, ὡς βιβλίον έ. τοῦ κώδικος τίτ. θ'. διάτ. ά. καὶ β'. καὶ ἐν τῇ περὶ γάμων νεαρᾷ. Ἔστι δ' ὅτε ἀκινδύνως καὶ ἀζημίως ἐντὸς τοῦ πενθίμου χρόνου γαμεῖ, τοὐτέστιν ἀπὸ κελεύσεως βασιλικῆς· καὶ ὅτε ἐν τῷ πενθίμῳ

χρόνῳ τέκῃ, ὡς βιβλίον γ'. τῶν διατάξεων τίτ. β'. διάτ. ί. ιά. Περὶ δὲ ἀθεμίτων καὶ κεκωλυμένων γάμων διαλαμβάνει ὁ έ. καὶ ὁ στ'. καὶ ὁ ζ'. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικος, καὶ βιβλίον κγ'. τίτ. β'. διάτ. λή. νά. νέ. ξζ'.

Σχόλιον.

Ὁ θ'. τίτ. τοῦ έ. βιβλ. τοῦ κώδικος οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ἡ δὲ περὶ γάμων νεαρά ἐστι τοῦ βασιλέως Ἰουστινιανοῦ νεαρὰ κβ'. κειμένη ἐν βιβλίῳ τῶν βασιλικῶν κή. τίτ. ιδ'. κεφ. ά. παρακελευομένη ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν, καὶ ἀνάγνωθι τὸν ὅλον τοιοῦτον ιδ'. τίτ. τοῦ κή. βιβλίου ἀναγκαιότατον ὄντα, καὶ πολλὰ διδάσκοντα χρησιμώτατα χάριν δευτερογαμούντων ἀνδρῶν, καὶ γυναικῶν. Τὸ ί. καὶ ιά. διάτ. τοῦ β'. τίτ. τοῦ γ'. βιβλίου τῶν διατάξεών ἐστι τοῦ κά. βιβλίου τῶν βασιλικῶν τίτ. β'. κεφ. ί. οὕτω λέγον· Κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν· καὶ κεφ. ιά. θέμα β'. περὶ τὸ τέλος οὕτως ἔχον· Ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ παραυτίκα δύναται γαμεῖν. Ὁ έ. τίτ. τοῦ έ. βιβλ. τοῦ κώδικός ἐστι βιβλίον κή. τῶν βασιλικῶν τίτ. έ. κεφ. κγ'. οὕτως ἔχον· Οὐδένα ὅστις ὑπὸ τὴν πολιτείαν ἐστὶ τοῦ ῥωμαϊκοῦ ὀνόματος δύο γαμετὰς δύνασθαι ἔχειν φανερόν ἐστι· ὁπότε καὶ ἐν τῷ διατ. τοῦ πραίτωρος οἱ τοιοῦτοι ἄνθρωποι ἀτιμῶνται, ὅπερ πρᾶγμα ὁ ἁρμόδιος δικαστὴς ἀτιμώρητον εἶναι οὐκ ἀνέξεται. Ὁ ς'. τίτ. τοῦ αὐτοῦ έ. βιβλίου τοῦ κώδικός ἐστι τοῦ κή. βιβλίου τῶν βασιλικῶν τίτ. δ'. κεφ. μά. καί φησι τὸ μδ'. κεφ. τοῦ αὐτοῦ τίτ. διάτ. ὂν ς'. ταῦτα· Ἐὰν ἡ ἐπιτροπευθεῖσα παρά τινος καὶ λόγους λάβῃ τῆς διοικήσεως, καὶ ὑπερβῇ τὸν κέ. ἐνιαυτὸν, καὶ παραδράμῃ ὁ ὡρισμένος ἐνιαυτὸς, δύναται αὐτὴν ὁ τοῦ ἐπιτροπεύσαντος υἱὸς ἀγαγέσθαι. Εἰ δὲ καὶ ὁ πατὴρ τῆς κόρης τελευτῶν τοῦτο ᾔτησεν ὥστε συναφθῆναι τὴν κόρην τῷ τοῦ ἐπιτρόπου παιδὶ, καὶ οὕτως ὁ γάμος ἔῤῥωται. Ὁ ζ'. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικος κεῖται εἰς βιβλίον κή. τῶν βασιλικῶν τίτ. έ. κεφ. κζ'. καί φησι τὸ τοιοῦτον κεφ. ταῦτα· Ἐάν τις οἱανδήποτε πράττων ἀρχὴν

πειραθείη (1) γῆμαι ἄκουσαν κόρην, ἢ ἀκόντων τῶν γονέων τὴν οἱανδήποτε, δέκα λιτρῶν χρυσοῦ πρόστιμον ὑπὲρ αὐτῆς τῆς ἐγχειρίσεως διδότω· καὶ ὁτεδήποτε παυόμενος τῆς ἀρχῆς μὴ ἐπιχειρείτω τοῖς τῆς ἀρχῆς προνομίοις· εἰ δὲ ἐπιχειρήσει χρήσασθαι, ἐπὶ διετίαν ἐκβαλλέσθω τῆς πόλεως ἐκείνης, ἐν ᾗ τοῖς προνομίοις χρήσασθαι ἠβουλήθη. Ἔξεστι δὲ καὶ τῇ κόρῃ, καὶ τῷ ταύτης πατρὶ, διαμαρτύρασθαι περὶ τούτου, ὅτι ἐβουλήθη ποιήσασθαι τὸν γάμον ὁ ἄρχων· καὶ τῆς διαμαρτυρίας γενομένης, ἔξωθεν ἔσονται τῆς τοῦ ἄρχοντος δικαιοδοσίας ἐπί τε ἐγκλήμασι καὶ χρήμασι· καὶ εἰ μὲν ἄρχων ἐπαρχίας *ἐστὶν, ὑπὸ τὸν ἄρχοντα στρατιωτικὸν γινέσθωσαν· εἰ δὲ* (2) ἄρχων στρατιωτικός ἐσι, γινέσθωσαν ὑπὸ τὸν ἄρχοντα· εἰ δὲ ἑκάτεροι *ὕποπτοί εἰσιν* (3) ἔστωσαν ὑπὸ τὸν ἔπαρχον τῶν πραιτωρίων. Τὸ λή. διάτ. τὸ νά. καὶ νέ. καὶ τὸ ξζ'. τοῦ β'. τίτ. τοῦ κγ'. βιβλ. τῶν διατάξεών εἰσι διάφορα κεφάλαια τοῦ δ'. καὶ έ. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν· ἐτέθη γὰρ ὁ β'. τίτ. τοῦ κγ'. βιβλίου τῶν διατάξεων εἰς κεφ. ιθ'. τοῦ δ'. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν, καί φησι τὸ κβ'. κεφ. διάτ. ὃν λή. Ὁ ἐν ἐπαρχίᾳ χειρίζων ὀφφίκιον οὐ δύναται γαμεῖν τὴν ἐν αὐτῇ γεννηθεῖσαν, ἢ τὴν οἴκησιν ἔχουσαν ἐκεῖ, μνηστεύεσθαι δὲ οὐ κωλύεται· καὶ ἐὰν ἡ γυνὴ μετὰ τὴν ὑπόθεσιν τοῦ ὀφφικίου μὴ θελήσῃ γαμῆσαι, μόνους τοὺς ἀῤῥαβῶνας ἀποδίδωσι. Τὴν δὲ προμνηστευθεῖσαν δύναται λαβεῖν, καὶ οὐ γίνεται ἡ προὶξ ἐπτωμένη (4), ἤτοι ἐξητονημένη, ἀλλ' ἰσχυρά. Τὸ κέ. κεφ. ταῦτα· Ἐπὶ τῶν ἀθεμίτων γάμων οὔτε προὶξ εἶναι τὰ ἐπιδοθέντα δοκεῖ, καὶ διὰ τοῦτο πᾶν ὅπερ ἐκ τῶν ἐπιδοθέντων λόγῳ προικὸς ἔλαβεν ὁ δῆθεν ἀνὴρ, ἀφαιρεῖται παρ' αὐτοῦ, κἂν τὰ μάλιστα καρποὺς ἔτυχεν εἰληφώς. Τὸ γ'. θέμα τοῦ αὐτοῦ κέ. κεφ. ταῦτα· Ἐὰν ὁ ἐπίτροπος ἢ ὁ γενόμενος κουράτωρ υἱοθετήσηται τὸν ἄνδρα τῆς ἐπιτροπευθείσης, ἢ κουρατωρευομένης, ἢ τὸν πατέρα αὐτῆς, ἡ θέσις ἄκυρός ἐστιν· οὐ μὴν ὁ γάμος λύεται, ὥσπερ λύεται ἡνίκα τις τὸν ἴδιον γαμβρὸν υἱοθετή-

(1) Χ. Τρ. — παραθείη Ἐ. Ἰ. Β. —(2) (3) Βασιλ.—τὰ ἐν τοῖς ἀστερίσκοις οὐ κεῖνται ἐν Ἐ. Ἰ. Β. — (4) Βασιλ. — ἱσπωμένη Ε. Ἰ. Β.

σηται. Καὶ τὸ μϐ'. κεφ. διάτ. ὃν ϐ'. τοῦ ς'. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικος ταῦτα· Ἔχων τις αὐτεξούσιον παῖδα, καὶ νύμφην αὐτῷ ἀγόμενος, μετὰ τὴν τοῦ γάμου σύστασιν ἤδη παίδων τεχθέντων ἀπὸ τῆς νύμφης, ὠνομάσθη κουράτωρ τῇ ἰδίᾳ νύμφῃ. Ὁ δὲ τούτου παῖς ὁ τῆς νύμφης ἀνὴρ εὐλαϐηθεὶς μή ποτε ἀσύστατος ὁ γάμος γένηται προφάσει τῆς τοῦ πατρὸς κουρατωρείας, ἐδεήθη βασιλέως· καὶ ἀντιγράφει τὸν μὲν γάμον ἐῤῥῶσθαι, πλὴν παύσασθαι τὸν πατέρα τῆς κουρατωρείας, καὶ ἄλλου καταστα θέντος (1) λογοθετηθῆναι ὑπ' αὐτοῦ τὸν πατέρα. Ἐπεὶ δὲ διάφορα κεφ. κατεστρώσαμεν ἐν τῷ τέλει τοῦ παρόντος ϐ'. κεφ. χάριν παρανόμων καὶ ἀθεμίτων γάμων, καί τινα μὲν ἐκ τούτων φασὶ μὴ λύεσθαι τὸν ἤδη νομίμως συστάντα γάμον ἐκ τοῦ γενομένου κακοῦ μετὰ ταῦτα, τινὰ δὲ λύουσι τὸν γάμον· ἐρωτῶ περὶ τοῦ πολλάκις ἐρωτηθέντος συνοδικῶς, ἐὰν μετὰ τὸν καλῶς συστάντα γάμον συμφθαρῇ τις μετὰ τῆς οἰκείας πενθερᾶς, ἢ τινος προσώπου συγγενοῦς (2) τῇ γαμετῇ αὐτοῦ, λυθήσεται ὁ γάμος, ἢ οὔ. *Λύσις* (3)· οὐδαμῶς, ἀλλ' ἐπιτιμηθήσονται οἱ τὴν αἱμομιξίαν ποιησάμενοι· φησὶ γὰρ ὁ νόμος ἐν βιβλίῳ ϐ'. τίτ. γ'. κεφ. πέ. θέματι ί. τὰ ἐξ ἀρχῆς βέϐαια ἐκ τῶν ἐπισυμϐαινόντων οὐκ ἀκυροῦνται. Εἰ δὲ οὐκ ἔφθασε γενέσθαι τελεία ἱεροτελεστία, ἀλλὰ μόνη μνηστεία παρηκολούθησε, καὶ μετὰ ταῦτα συνεφθάρη ὁ γαμϐρὸς τῇ πενθερᾷ, ἢ ἑτέρῳ συγγενεῖ προσώπῳ τῆς μνηστῆς αὐτοῦ, ἐμποδισθήσεται ὁ γάμος διὰ τὸν κανόνα τὸν λέγοντα, θέμα περιϊστᾷν εἰς τάξιν ἐξ ἧς τὴν ἀρχὴν οὐκ ἠδύνατο συστῆναι ἄκυρόν ἐστι, καὶ διὰ τὸ μὴ παραχωρηθῆναι ἐν εἰδήσει αἱμομιξίαν. Καὶ ταῦτα μὲν ἐγράφησαν εἰς ἑρμηνείαν τῶν συνοψισθέντων παρὰ τοῦ πατριάρχου. Γίνωσκε δὲ ὅτι τὸ παρὸν ϐ'. κεφ. πολλῆς ἐξηγήσεως δέεται· πολλὰ γὰρ καὶ διάφορα νόμιμα ἐξηνέχθησαν χάριν γάμων κεκωλυμένων. Καὶ ἐπεὶ τὰ περὶ τῶν δευτερογαμούντων ἐδηλώσαμεν ἄνωθεν, μάθε καὶ τὰ περὶ τῶν πολυγαμούντων καὶ κεκωλυμένων γάμων. Ἀπὸ τοῦ παλαιοῦ νόμου τρεῖς γάμοι ἐπεγινώσκοντο· ἐπεὶ δὲ ἐπὶ τῶν ἡμερῶν τοῦ

(1) Χ. Τρ. — ἄλλον καταστα θέντα Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — συγγενικοῦ Ἑ. Ἰ. Β. — (3) Χ. Τρ.

βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου γέγονε σχίσμα εἰς τὴν ἐκκλησίαν μέσον τῶν ἀρχιερέων· οἱ πλείους γὰρ οὐ παρεχώρουν τὴν τριγαμίαν, καὶ ἔφθασεν ἡ διαίρεσις μέχρι καὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ βασιλέως κυρίου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου· ἐξηνέχθη τηνικαῦτα τόμος ὁ λεγόμενος τῆς ἑνώσεως, διαλαμβάνων πότε ὁ τρίτος γάμος παραχωρεῖται, καὶ πότε οὔ. Καὶ ἀνάγνωθι τὸν τοιοῦτον τόμον καταστρωθέντα εἰς τὴν ἑρμηνείαν τοῦ δ'. κανόνος τοῦ ἁγίου Βασιλείου. Ἐπέκεινα δὲ τόῦ γ'. γάμου μὴ εἴπῃς γίνεσθαί ποτε ἕτερον γάμον, ὅτι καὶ ὁ τρίτος γάμος παρὰ τοῖς παλαιοῖς νόμοις πολυγαμία ἐλέγετο. Περὶ δὲ κεκωλυμένων γάμων ἀνάγνωθι τὸ ά. καὶ β'. κεφάλαιον τοῦ έ. τίτ. τοῦ κή. βιβλίου· διαιροῦσι γὰρ τὴν συγγένειαν εἰς τρία, εἰς ἀνιόντας, κατιόντας, καὶ τοὺς ἐκ πλαγίου· καὶ ἀνιόντες μέν εἰσιν οἱ γονεῖς, οἱ πάπποι, καὶ ἐφεξῆς· κατιόντες οἱ παῖδες, οἱ ἔγγονοι, οἱ δισέγγονοι, καὶ ἐφεξῆς· ἐκ πλαγίου δὲ οἱ ἀδελφοί, οἱ ἀνεψιοί, οἱ θεῖοι, οἱ πρῶτοι ἐξάδελφοι, καὶ ἐφεξῆς. Εἶτα λέγουσι καὶ ἑτέραν καταχρηστικῶς συγγένειαν τὴν ἐξ ἀγχιστείας, ἤτοι συμπενθερίας. Καὶ μετὰ τὸ ποιῆσαι τὸν περὶ τούτου λόγον, καὶ διδάξαι τοὺς βαθμοὺς τῆς ἑκάστης συγγενείας, διορίζονται τῶν μὲν ἀνιόντων καὶ κατιόντων τοὺς γάμους εἰς ἀπέραντον κωλύεσθαι, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων· τῶν δὲ ἐκ πλαγίου συγγενῶν ἀπολύουσι τὴν συνάφειαν ἀπὸ τοῦ ὀγδόου βαθμοῦ· *ὡσαύτως*(1) καὶ τῶν ἐξ ἀγχιστείας τοὺς γάμους ἐμποδίζουσι μέχρις ἕκτου βαθμοῦ καὶ αὐτοῦ. Ἐπεὶ δὲ ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Ἀλεξίου γέγονεν ἀμφιβολία χάριν τοῦ ζ'. βαθμοῦ τοῦ ἐξ αἵματος, (τινὲς μὲν γὰρ ἔλεγον μὴ δύνασθαι τὸν δεύτερον ἐξάδελφον λαμβάνειν τὴν θυγατέρα τοῦ δισεξαδέλφου αὐτοῦ εἰς γυναῖκα, διὰ τὸ ἐπιτραπῆναι ὑπὸ τῶν νόμων τοὺς γάμους τῶν ἐξ αἵματος συγγενῶν ἀπ' ἀρχῆς τοῦ ή. βαθμοῦ· ἕτεροι δὲ ἀντετίθεντο τὸν ἐκ συγγενείας ς'. βαθμὸν κωλυθῆναι μόνον, καὶ ὀφείλειν τὸν ζ'. εἶναι ἀκώλυτον, ὡς μηδὲ κωλυθέντα)· διέγνω ὁ ῥηθεὶς *ἁγιώτατος* (2) πατριάρχης μετὰ τῆς τηνικαῦτα παρευρεθείσης συνόδου ταῦτα ῥητῶς· Ἐπεὶ οὖν ὁ μὲν Βασίλειος ζ'. βαθμοῦ τῇ Θεοκτίστῃ (3) καθέστηκεν,

(1) Χ. Τρ. — (2) Χ. Τρ. — (3) τῇ Θεοδότῃ Χ. Τρ.

ὁ δὲ νόμος ἐπιτρέπει τοῖς ἡ. βαθμοῦ πρὸς ἀλλήλους οὖσι τὸν γάμον· ἀπαγορεύει δὲ τοῖς τοῦ ς'. τοῖς γε μὴν ζ'. οὐδαμοῦ *οὔτε ἐπιτρέπει οὔτε ἀπαρνεῖται, καὶ διὰ τοῦτο πολλάκις ὁμοίων ἀμφισβητήσεων κινηθεισῶν* (1) ᾠκονόμηται τὸν τοιοῦτον γάμον πρὸ μὲν τοῦ προβῆναι, μὴ ἐπιτρέπεσθαι, μετὰ δὲ τὸ προβῆναι μὴ διασπᾶσθαι μὲν, ἐπιτιμίοις δὲ *τοὺς οὕτω συναφθέντας* (2) καθυποβάλλεσθαι. Ἐκράτει οὖν τὸ τοιοῦτον συνοδικὸν θέσπισμα μέχρι τῆς ἐφημερίας τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Λουκᾶ. Τηνικαῦτα δὲ, ἤτοι κατὰ τὸν Ἀπρίλιον μῆνα τῆς ιδ'. ἰνδικτιῶνος τοῦ ,ςχος'. ἔτους, ἀνενεγκόντος συνοδικῶς τοῦ ἀποιχομένου ἱερωτάτου μητροπολίτου Ἀθηνῶν καὶ ὑπερτίμου κυρίου Νικολάου τοῦ Ἁγιοθεοδωρήτου μεγάλην ἐντεῦθεν ψυχικὴν βλάβην γίνεσθαι εἴς τινας τῶν ὑπὸ τὴν ἐνορίαν αὐτοῦ κρύφα γάμους (3) ζ'. βαθμοῦ πεποιηκότας διὰ τὸν φόβον τῶν ἐπιτιμίων, διάγνωσις γέγονε συνοδικὴ ταῦτα διαλαμβάνουσα· Διὰ γοῦν ταῦτα ἡ μετριότης ἡμῶν μετὰ τῆς ἱερᾶς ἀδελφότητος τὴν γεγονυῖαν παρὰ τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Ἀλεξίου συνοδικὴν οἰκονομίαν ἐπὶ τῶν ῥητῶς ὑπὸ τοῦ πολιτικοῦ νόμου μὴ κωλυθέντων ἐπὶ τῶν ἐξ αἵματος ζ'. βαθμοῦ γάμων, μήτε καθαρῶς ἐπιτραπέντων κρατύνουσα, καὶ στηρίζουσα, καὶ οἷον μεθερμηνεύουσα, καὶ σαφηνίζουσα, ἅμα δὲ καὶ τὸ τῶν πολλῶν κακοῦργόν τε καὶ περίεργον περικόπτουσα, καὶ οἷον ἐκ ῥίζης αὐτῆς ἀναστῶσα, ἵνα μὴ καὶ ἔτι παρανομίας ἐξανατείλῃ βλαστήματα, καὶ τέκνα μωμητὰ πληθυνθῇ, καὶ υἱοὶ τῶν θείων νόμων αὐξηνθῶσιν ἀλλότριοι, τὸν ἐκ τοῦ τοιούτου βαθμοῦ γάμον οὐ μόνον ἐρωτώμενον προβαίνειν κωλύει, ἀλλὰ καὶ πρὸ ἐρωτήσεως γεγενημένον διασπᾶσθαι διακελεύεται, παντελῆ τοῦ τοιούτου γάμου ἀργίαν καταψηφιζομένη ἀπὸ τῆς σήμερον, τῶν φθασάντων γενέσθαι τοιούτων γάμων μένειν πάντων ὀφειλόντων ἀδιασπάστων. Τὸ γοῦν ἀπὸ τοῦδε οἱ τοιοῦτον γάμον συστῆσαι τολμήσοντες, οὐ μόνον τοῦ οἰκείου σκοποῦ οὐδαμῶς ἀπολαύσουσιν, ἀλλὰ καὶ

---

(1) ἅπασα ἡ φράσις αὕτη κεῖται ἐν Χ. Τρ. —οὐχὶ δὲ ἐν Ἑ. Ἰ. Β.—ἀναγινώσκεται δὲ ἡ ἔννοια αὐτῆς ἐν τῇ λατινικῇ μεταφράσει τοῦ Ἑ. — (2) Χ. Τρ.—οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. μόνον δὲ ἐν τῇ λατινικῇ αὐτῶν μεταφράσει. — (3) Χ. Τρ. — κρυφογάμους Ἑ. Ἰ. Β.

μετὰ τῆς τοῦ τοιούτου συναλλάγματος διασπάσεως, καὶ ἀφορισμῷ καθυποβληθήσονται, ὡς τοῦ παρόντος συνοδικοῦ ὁρισμοῦ καταφρονηταί, καὶ ὡς συγγενικὰ συγχέοντες αἵματα, οἵ τε τοῖς οὕτω συναλλάσσουσι συναινέσοντες, αὐστηρίας κανονικῆς πειραθήσονται, καὶ οἱ ἱερολογῆσαι τολμήσοντες καθαιρέσει ὑποβληθήσονται. Γέγονε δὲ ἐπὶ τούτοις καὶ πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἀπολυθὲν κατὰ μῆνα Μάϊον τῆς αὐτῆς ἰνδικτιῶνος καὶ διοριζόμενον ἐν μέρει ταῦτα. Τοιγάρτοι καὶ ἡ βασιλεία ἡμῶν τὴν συνοδικὴν ταύτην ἐπὶ τῷ ζητηθέντι ἀπόκρισιν ἢ τ' ἀληθὲς εἰπεῖν ὁροθέτησιν, ὡς ἑπομένως τοῖς θείοις κανόσι καὶ τοῖς πολιτικοῖς ἐκτεθεῖσαν νόμοις ἐπέκρινε, καὶ κρατεῖν εἰς τὸ ἑξῆς, καὶ ἀμετατρέπτως ἔχειν εἰς τὸ διηνεκὲς διορίζεται, τῆς αὐτῆς κοινωνοῦσα γνώμης ἐπὶ τῇ λύσει τοῦ προκειμένου ζητήματος τῷ τε ἁγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ. Καὶ τὰ μὲν περὶ τοῦ ζ'. γάμου οὕτω διευλυτώθησαν (1). Ἐπεὶ δὲ τοῦ γάμου τῶν ἀπὸ ἀγχιστείας ἔκτου βαθμοῦ συνημμένων κωλυομένου, ὡς εἴπομεν, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου ἐκείνου *πατριάρχου* (2) κυροῦ Σισινίου, ἐλάμβανον ὡς ἔοικε δύο πρῶτοι ἐξάδελφοι δύο ἀδελφὰς, ἐξετέθη τόμος παρὰ τοῦ αὐτοῦ πατριάρχου, διαλαμβάνων περὶ τὸ τέλος ταῦτα· Ἡ μετριότης ἡμῶν διωρίσατο μηκέτι τοὺς τοιούτους γάμους χώραν ἐν τοῖς Χριστιανοῖς τοῦ λοιποῦ ἔχειν, μηδὲ παρά τινος μηδέποτε καταπραχθῆναι. Εἰσηγεῖται δὲ πᾶσι κοινῶς, καὶ τῇ ἀπὸ τοῦ πνεύματος ἐξουσίᾳ πατρικῶς καὶ δεσποτικῶς διορίζεται ὥστε μηδένα τῶν ἁπάντων ἀπό γε τοῦ νῦν, κἂν τῶν ἐν δυναστείαις ᾖ τις καὶ ἐξουσίαις, κἂν πλούτῳ κομᾷ, κἂν τῶν πολλῶν καὶ τοῦ δήμου, πρὸς τοιοῦτον γάμον ἐλθεῖν. Εἰ δέ τις ἀπὸ τοῦ παρόντος, τὰ διωρισμένα (3) ταῦτα θέμενος παρ' οὐδὲν, πρὸς τοιοῦτον ἑαυτὸν ἐπιῤῥίψειε γάμον, ἢ ἐπιδῷ τέκνα, τῆς ἐκκλησίας οὗτος ἐκκήρυκτος ἔσται πάσας τὰς ἡμέρας τοῦ βίου αὐτοῦ, καὶ οὐ πρότερον δεχθήσεται εἰς μετάνοιαν πρὶν ἂν διασπάσῃ τὸν γάμον, κἂν φθάσῃ παῖδας ἀποτεκεῖν. Ὁ δὲ τῷ τοιούτῳ *γάμῳ* (4) εὐχὴν ἐπιδοὺς

(1) Χ. Τρ. — διευλυτητώθησαν Ἐ. Ἰ. Β. ἀντὶ τοῦ διελύθησαν. —(2) Χ. Τρ. — (3) Χ. Τρ. — διορισάμενα Ἐ. Ἰ. Β. — (4) Χ. Τρ.

ἱερεὺς καθαιρέσει τελείᾳ ὑποπεσεῖται. Τούτων οὖν οὕτως ἐχόντων, καὶ ἀμφιβολίας γενομένης περὶ τοῦ τοιούτου συναλλάγματος παρὰ τῷ βασιλικῷ θείῳ βήματι, ἀπελύθη θέσπισμα νεαρὸν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κατὰ μῆνα Ἰούνιον ἰνδικτιῶνος ἡ. ταῦτα περὶ τὸ τέλος διεξιόν. Ὡς ἂν οὖν καὶ ἀμφότερα καλῶς περιφυλαχθῶσι καὶ σεβασθῶσιν, ἥ τε μεγαλειότης τῶν βασιλικῶν τε καὶ ἀρχιερατικῶν διαταγμάτων, καὶ ἡ τῶν νόμων καὶ ἡ τῶν κανόνων ἀκρίβεια, μήτε παντελῶς δοτέον τῷ τόμῳ τούτῳ τὴν λύσιν, μήτε πάντῃ ἐπιτρεπτέον αὐτῷ καὶ αὖθις τὸ ἐνεργὸν, ἀλλὰ τὴν μέσην βαδιστέον, ὅ φασι, καὶ βασιλικὴν, καὶ ἄμφω συντηρητέον, τό τε περὶ τὸν τομογράφον ἐκεῖνον ἀρχιερέα σέβας, καὶ τοὺς ἐπιμνησθέντας τοῦ τόμου αὐτοῦ βασιλεῖς, καὶ τὸ μηδένα τοῖς νόμοις ἀπᾴδον καὶ τοῖς κανόσι προτρέψασθαι, ὅπερ ὁ τοιοῦτος τόμος εἰσήνεγκε. Χρὴ γὰρ τὸ ἀπὸ τοῦ τοιούτου τόμου εἰσενηνεγμένον συνάλλαγμα, ἤδη μὲν συντελεσθὲν καὶ πρὸ ἐρωτήσεως μὴ διασπᾶσθαι· ἐπιτιμίοις δὲ τοὺς οὕτως εἰς γάμον ἁρμοσθέντας βαρύνεσθαι, κατὰ τὴν κρίσιν καὶ δοκιμασίαν τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ (1) συντηρεῖσθαι τούτοις τὸ συνοικέσιον. Φθάσαν (2) δὲ πεσεῖν εἰς ἐρώτησιν, μὴ ἐνδίδοσθαι χωρὶς τῶν ἀνηκόντων ἐπιτιμίων καὶ ἐντολῶν, δι' ὃ σέβας ἄνωθεν εἴρηται, μηδὲ ἀδεῶς καὶ ἀνυποζόλως, καὶ ἀναιτίως τοῖς ἐρωτήσασιν ἐπιτρέπεσθαι, ἀλλὰ μετὰ ἐντολῆς, μᾶλλον δὲ καὶ ἀνάμνησιν τοῦ ῥηθέντος τόμου παρὰ τῆς ἐκκλησίας λαμβάνειν αὐτοὺς, καὶ τῶν ἐν αὐτῷ διαταττομένων (3)· καὶ εἰ μὲν τὸ θέσπισμα τιμᾷν προαιρούμενοι, καὶ τὰ ἐν αὐτῷ διειλημμένα φυλάττειν ἀπαρασάλευτα βούλοιντο, ἐπαινετέοι πάντως εἰσίν· εἰ δὲ τὸ παρ' αὐτοῦ κεκωλυμένον διαπράττεσθαι προαιροῖντο, ἐκχωρηθήσονται μὲν τοῦτο ποιεῖν, πλὴν ὅμως τοῖς προσήκουσιν ἐπιτιμίοις καθυπαγόμενοι. Ταῦτα τοῦ τόμου τοῦ *ἁγιωτάτου* (4) πατριάρχου κυρίου Σισινίου, πρὸς δὲ καὶ τοῦ βασιλικοῦ προστάγματος διοριζομένων, μὴ εἴπῃς πάντα τὰ ἐξ ἀγχιστείας ἕκτου βαθμοῦ γαμικὰ συναλλάγματα ὑπὸ τῶν τούτων ἁλίσκεσθαι· πρό-

---

(1) Χ. Τρ. — ὡς Ἑ. Ἰ. Β. — (2) φθάσαντες Χ. Τρ. — (3) Χ. Τρ. — διαπτομένων Ἑ Ἰ. Β. — (4) Χ. Τρ.

σταγμα γάρ ἐστι τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐξενεχθὲν ἐπὶ ὑπομνήσει τοῦ προέδρου ἐκείνου καὶ ἑταιριάρχου Βάρδα τοῦ Ξηροῦ κατὰ μῆνα Μάρτιον, ἰνδικτιῶνος ιέ. καταπεμφθὲν εἰς τὸν τότε ἁγιώτατον πατριάρχην κύριον Νικόλαον, καὶ τὴν ἱερὰν καὶ θείαν σύνοδον, διοριζόμενον ἀκωλύτως συνάπτεσθαι θείαν καὶ ἀνεψιὰν μετὰ θείου καὶ ἀνεψιοῦ (1), κἂν ἕκτου βαθμοῦ συγγένειαν ἐξ ἀγχιστείας ἔχωσι· καὶ ἀνάγνωθι τὸ τοιοῦτον πρόσταγμα καταστρωθὲν εἰς σημείωμα συνοδικὸν εὑρισκόμενον εἰς τὰ κωδίκια τοῦ διαληφθέντος πατριάρχου κυρίου Νικολάου. Ὅτι δὲ λόγος γέγονέ ποτε παρὰ τῷ βασιλικῷ βήματι περὶ τοῦ εἰ δύναται ὁ αὐτὸς καὶ εἰς δύο δευτέρας ἐξαδέλφας λαμβάνειν κατὰ λόγον γάμου, ὡς δῆθεν εἰς ζ'. βαθμὸν ἐξ ἀγχιστείας ἀναγομένου τοῦ συναλλάγματος, ἀπελύθη πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, μὴ γίνεσθαί ποτε τοῦτο διοριζόμενον, διὰ τὸ ἑνὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικὸς, καὶ καταντᾷν τὸ συνάλλαγμα εἰς ἕκτον βαθμὸν ἐξ ἀγχιστείας. Ἐπεὶ δὲ τὸ τοιοῦτον πρόσταγμα οὐκ ἔφθασε καταγρωθῆναι εἰς τὰ πρόσφορα σέκρετα, ἐγὼ μὲν οὐκ ἔχω τι γράψαι πλέον· ἡ δὲ ἐκκλησία κωλύει καὶ τὸν τοιοῦτον γάμον. Ἀνάγνωθι καὶ τὸν ξζ'. κανόνα τοῦ ἁγίου Βασιλείου, καὶ τὰ εἰς τὴν ἑρμηνείαν αὐτοῦ γραφέντα. Ἐπὶ τούτοις γίνωσκε ὅτι πρὸ μὲν τῆς βασιλείας τοῦ ἀοιδίμου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ ἄλλως ἐγίνοντο αἱ μνηστεῖαι· κατὰ δὲ τὸν Ἰούλιον μῆνα τῆς ζ'. ἰνδικτιῶνος τοῦ ,σφιβ'. ἔτους ἀπελύθη νεαρὰ νομοθεσία τοῦ αὐτοῦ βασιλέως οὕτως ἔχουσα· Ἡ μὲν παλαιὰ καὶ πρεσβυτέρα νομοθεσία πόῤῥω τὰ μνηστείας καὶ γάμου ὁρίσματα ἔθετο, καὶ μᾶλλον τούτων τὸ μέσον (2), ἥ περ τὰ Μυσῶν καὶ Φρυγῶν (3) ἡ παροιμία ἐγνώρισεν. Ἡ δὲ ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυρίου Ἰωάννου τοῦ Ξιφιλίνου συνοδικὴ διασκέψει συντελεσθεῖσα σημείωσις, ᾗ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κύριος Νικηφόρος ὁ Βοτανειάτης διὰ χρυσοβούλλου γραφῆς τὸ κῦρος εὑρίσκεται χαρισάμενος, τὰ διεστῶτα χωρὶς ἀλλήλων εἰς ἓν συνάπτουσα

(1) Χ. Τρ. — θεῖον καὶ ἀνεψιὸν θείᾳ καὶ ἀνεψιᾷ Ἑ. Ἰ. Β. — (2) Λ. — τὸ μέρος Χ. Τρ. Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — τὰ Φρυγῶν καὶ Μυσῶν Β.

φαίνεται· κἀντεῦθεν ὅπερ ἐπὶ τῶν γάμων ὁ συνοδικὸς ἐθέσπισε τόμος, τοῦτο ἐπὶ τῆς μνηστείας διαῤῥήδην αὐτὴ ἀποφαίνεται, δύο ἀδελφοῖς ἐξαδέλφας δύο μὴ ἐφιεῖσα μνηστεύεσθαι. Καὶ ὁ μὲν πολὺς ἄνθρωπος ἀνεξετάστως τῷ πράγματι ἐπιβάλλων, καὶ βάπτειν ὅλως μὴ ἐξικνούμενος εἰς τὸν νοῦν τῆς συνοδικῆς διαγνώσεως, ἀσυλλογίστως ἐπλάζετο (1) ὅ,τι ποτὲ μνηστείκ ἐστὶ, καὶ ὅπως ἔχει μᾶλλον τὸ ἀσφαλὲς διακριβοῦν (2) μὴ δυνάμενος, καί που τάχα τὸ τῆς ἰδίας ἀνεπίσκεπτον διανοίας κατὰ τῆς ἐκκλησιαστικῆς ἐπεγράφετο ἀκριβείας. Ἡ δὲ τῆς ἡμετέρας βασιλείας εὐσέβεια ἐπιστατικώτερον ἐπιβαλοῦσα τῇ διασκέψει, καὶ τῇ ἐναντιοφανείᾳ καλῶς διαιτήσασα ἀρίστην τὴν συμφωνίαν διὰ τῆς παρούσης νομοθεσίας ἐξεύρηκεν. Ἐπειδὴ γὰρ ὁ παλαιὸς νόμος τὴν μνηστείαν ἐν μόνῃ τῇ τῶν συναλλαττόντων ὁρίζει βουλήσει, καὶ πλέον οὐδὲν συναινέσεως, καὶ συμβολαίου, καὶ μνήστρων περιεργάζεται· ἡμῖν δὲ χάριτι Θεοῦ πρὸς κοσμιωτέραν πολλῷ καὶ ἱερωτέραν ἐπίδοσιν τὰ τοῦ βίου περιελήλυθασι πράγματα, κἀντεῦθεν οὐχ ὁ γάμος μόνον ἀλλὰ καὶ αὐτὴ ἡ μνηστεία ἱερὰν εὐλογίαν ἐπιτελουμένην ἔχει παρ' ἑαυτῇ, καὶ ὁ καιρὸς ὡρισμένος διὰ νεαρωτέρου θεσπίσματος τοῦ φιλοσοφωτάτου βασιλέως κυρίου Λέοντος, ἐπὶ τῇ πρώτῃ τῶν ξυμβάντων(3) συναρμογῇ ἐξετέθη· ἤγουν ἐπὶ μὲν ἀῤῥένων, ὁ πεντεκαιδέκατος τῆς ἡλικίας ἐνιαυτὸς, ἐπὶ δὲ θηλειῶν ὁ τριςκαιδέκατος, ὃν δήπου χρόνον καὶ πρὸς γαμικὴν συναυλίαν τελείαν ἀποχρώντως ἔχειν ὁ παλαιὸς νόμος ἐπέσκηψε· δεῖν ἔγνω διὰ τοῦ παρόντος θεσπίσματος τὸ ἡμέτερον κράτος ἀσφαλῶς ἀποφήνασθαι ἐκείνας εἶναι κυρίως μνηστείας καὶ *ἀτεχνῶς*(4) ἰσοδυναμούσας τῷ γάμῳ κατὰ τὴν τῆς συνοδικῆς ἀκριβείας διάσκεψιν, ὅσαι καὶ τὸν χρόνον, ὃν ἡ βασιλέως κυρίου Λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔσχον καθ' ἑαυτὰς, καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν, καὶ ἐπ' ἐκείνων τὴν τοῦ συνοδικοῦ τόμου κρατεῖν ὀφείλειν παρατήρησιν. Εἰ γὰρ καὶ θάτερον ἴσως τῶν συμβαλλόντων μερῶν θανάτῳ ἢ περιστάσει τύχης

(1) Χ. Τρ. — ἐπελάζετο Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — ἀκριβοῦν Ἑ. Ἰ. Β. — (3) συμβαλλόντων Λ. — (4) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β.

ἑτέρᾳ ἢ γνώμης μεταβολῇ ἀποδιαστῆναι συμβαίη, καὶ πρὸς ἑτέραν (1) βίου συγκλήρωσιν μετατάξασθαι, οὐκ ὀλίγον ἐνταῦθα τὸ ἄτοπον ἐπισύρεται, τὰς προεισοδίους τῶν γάμων εὐχὰς ἐπὶ μνηστείᾳ συντελεσθείσας, ὥς τι τῶν εἰκαίων καὶ συμπεφορημένων (2) λογίσασθαι, καὶ ἀδιαφόρως (3) ἐκλαβέσθαι τόδε τὸ πρᾶγμα, ὥσπερ ἂν εἰ μὴ Θεὸς μέσον (4) τῶν συναπτομένων προσώπων διὰ τῆς μνηστείας εἰσήγετο. Τούτῳ γὰρ καὶ ὁ προμνημονευθεὶς ἀοίδιμος βασιλεὺς εὐεπιβόλως ἀκολουθήσας τὸν τῆς ἁγίας καὶ καθολικῆς ς'. συνόδου κανόνα, ὃς τὴν μνησευσαμένην, ἔτι τοῦ μνηστῆρος ἐν ἀνθρώποις ὄντος, πρὸς γαμικὴν ὁμιλίαν ἑτέρῳ συνέρχεσθαι ἀπεκώλυσε, μοιχείαν τὸ πρᾶγμα διορισαμένης, σαφῶς πρὸς τὴν ἐμφαινομένην τοῦ παλαιγενοῦς ἐναντίωσιν νόμου καλῶς συνεβίβασεν· ὅτι καὶ ἡ μετὰ τὴν τοῖς μνηστῆρσι γινομένην εὐλογίαν διάσασις, τοῦτό ἐστι κατὰ τὴν ἐκείνου φωνὴν μνηστείας ἀληθὴς λύσις. Εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τοῖς πολλοῖς συνήθη ἀκολουθίαν ἤδη γεγόνασι, καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρὸς καθ' ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι, καὶ οὐδὲ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀληθεῖς, ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν, μηδὲ εἶναι, μηδὲ ὀνομάζεσθαι, μήτε μὴν τὴν συνοδικὴν σημείωσιν κατὰ τούτων ἔχειν τὸ ἐνεργὸν, ὡς ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων δι' ἐπερωτήσεως κατησφαλισμένας, τὸ ἐνεργὸν ἀποφέρεσθαι, καὶ τὴν παλαιὰν ἔχειν νομοθεσίαν ἐπὶ τούτων τὸ πάγιον. Τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ πρεσβυγενὴς φυλαχθήσεται νόμος ἀκέραιος, ὡς ἐπὶ τῶν μνηστειῶν τὸ πρώην ἐξεφωνήθη, καὶ ἡ τῆς συνόδου διάγνωσις ἀθιγὴς καθόλου καὶ ἀνεπιχείρητος συντηρηθήσεται, νοουμένη καὶ ἑρμηνευομένη κατὰ τὴν ἐνταῦθα παρατήρησιν. Ἐπεὶ δὲ οὕτω ταῦτα, καὶ μνηστεῖαι μὲν ἀληθεῖς ἐτυπώθησαν, ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας κατὰ τὸν ὡρισμένον καιρὸν συντελεσθεῖσαι γνωρίζονται· αἱ δὲ κατὰ τὴν πρεσβυτέραν νομοθεσίαν γινόμεναι,

---

(1) Χ. Τρ. — πρὸς ἑτέρου Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — συμφερομένων Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — διαφόρως Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. — μίσος Ἑ. Ἰ. Β.

ὡς ἀνθρώτων ἀρέσκειαι (1) κατησφαλισμέναι δι᾽ ἐπερωτήσεων, τὸ ἐνεργὸν ἔχειν ἀφείθησαν, καὶ μόνος ὁ παλαιγενὴς ἐπὶ τούτων ἀφείθη νόμος κρατεῖν, ὃς ὡρισμένα τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα διετάξατο, δεῖ τι προσθεῖναι καὶ νῦν τῷ παρόντι θεσπίσματι (2), τῆς χριστιανοῖς πρεπούσης εὐκοσμίας ἐχόμενον. Ἐπεὶ γὰρ οὐ (3) κατὰ τὸν ἀκριβῆ καὶ προσήκοντα λόγον τὰ τῆς παλαιᾶς τε καὶ νέας νομοθεσίας ἐπράττετο, ἀλλ᾽ ὁ μὲν πολὺς ὄχλος τῆς πρεσβυτέρας τῶν νόμων αὐθεντίας ἐχόμενος μετὰ τὸν ἑπταετῆ χρόνον τελεσιουργῶν τὰς μνηστείας ἀνυποστόλως ἐτύγχανε, καὶ ἀδεῶς ἐπὶ τὰς μνηστευομένας εἰσήρχοντο ἕκαστος, τῇ συνεχεῖ συνηθείᾳ καὶ τῷ ἐλευθέρῳ τῆς εἰς ὁμιλίαν συνόδου τὸ τοῦ ἔρωτος φλεγμαῖνον (4) προσανακαίοντες· ἡ δὲ ἱερωτέρα μερὶς τῇ νεαρωτέρᾳ τοῦ βασιλέως ἀκολουθοῦσα διαταγῇ, διαστολὴν μὲν μνηστείας καὶ γάμου ἐτίθετο, τὰς ἐπὶ τοῖς μνήστροις εἰχὰς πρῶτον καὶ οὕτω τὰς ἐπὶ τῷ γάμῳ τοῖς συναπτομένοις ἐπάδουσα, ταῦτα δὲ ἑνωμένως ἅμα καὶ κατὰ ταυτὸν ἐτελεῖτο, καὶ μνηστεία καὶ γάμος ἐνὶ διαστήματι κατεπράττετο, ἀκαριαίου τινὸς ἐν τῷ μεταξὺ συνεμπίπτοντος· διορθουμένη τοῦτο ὡς ἀβασανίστως γινόμενον ἡ ἡμετέρα εὐσέβεια θεσπίζει διὰ τοῦ παρόντος γενικοῦ διατάγματος, τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρόνον, καὶ εἰς τὸ ἑξῆς ἄχρι τοῦ ιδ΄. ἢ τοῦ ιϐ΄. τῆς ἡλικίας ἐνιαυτοῦ γινόμενα ὡς ἐν τύπῳ μνηστείας συμβόλαια, μὴ τάξιν ὅλως μνηστείας ἐννόμου καὶ ἀσφαλοῦς ἀποφέρεσθαι, ἀλλ᾽ ὃς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τε καὶ ἐνεργεῖν κατὰ τὴν φύσιν τῶν ἄλλων συναλλαγμάτων, καὶ οὕτως αὐτὰ παρὰ πᾶσι τοῖς ὑφ᾽ ἡμᾶς πολιτεύεσθαι, τοῦ παλαιοῦ νόμου, ὡς ἐπὶ τῶν μνηστειῶν ἐξεφωνήθη τὸ ἐνεργὸν εἰς τὰ κελωλυμένα ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα, ἔχειν ὀφείλοντος τὸ τέλεον, διὰ τὸ περιούσιον τῆς παρὰ χριστιανοῖς πρεπούσης ἐμπολιτεύεσθαι καταστάσεως· εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ᾽ ὅτι σκοπὸν ἔχει μνηστείας δοκεῖ τὸ πραττόμενον, καὶ θεμέλιον γάμου *ἐν-

(1) Χ. Τρ. Ἑ. — ἀρέσκει Ἰ. Β. — (2) Χ. Τρ. — θέματι Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — οὖν Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. Ἑ. — φλεγμαῖον Ἰ. Β.

τεῦθεν* (1) προκαταβάλλεσθαι ἄρχεται, πολὺ ἂν εἴη εὔλογον τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα, καὶ αὖθις ἔχειν τὸ κώλυμα καὶ μηδένα θαῤῥεῖν νεανιεύεσθαι ἀναιδῶς ὡς εἰς γυναῖκα λαμβάνειν ἀποτολμᾷν, ἣν ὁ παλαιὸς νόμος μνηστήν τινος γενομένην οὐκ ἀφῆκεν ἑτέρῳ λυομένων τῶν μνηστειῶν (2) κατὰ γάμον συνέρχεσθαι. Ἰκνουμένου μέν τοι τοῦ χρόνου ὃν εἰς μνηστείαν ἅμα καὶ γάμον ἁρμόδιον εἶναι γνωρίζομεν, ἤγουν τῆς μὲν θηλείας τὸν δωδεκαετῆ χρόνον διαδραμούσης(3), τοῦ ἄῤῥενος δὲ τὸν τεσσαρασκαιδέκατον ὑπερβαίνοντος, τηνικαῦτα τὴν μνηστείαν πρώτως μετὰ τῆς ἱερᾶς τῶν εὐχῶν ἐπῳδῆς ἐκτελεῖσθαι, καὶ τῶν συνήθων ταύτῃ παρατηρήσεων, ἤγουν τοῦ ἀῤῥαβῶνος καὶ τοῦ φιλίου (4) τοῖς μνηστῆρσι φιλήματος, καὶ οὕτω βραχέος ἢ πλείονος καιροῦ διαλείποντος, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσιν, ἀπαραιτήτως καὶ τὸν ἔννομον γάμον προβαίνειν, καὶ μὴ κατὰ ταυτὸν συμβαίνειν ἐν ἡμέρᾳ ἢ καὶ ὥρᾳ πολλάκις μιᾷ (5) πραγμάτων διῃρημένων ἐκ πλείονος ἀποτέλεσμα· οὕτω γὰρ τῆς ἀκολουθίας προβαινούσης ἐν γάμοις, ὅ τε (6) παλαιὸς νόμος φυλαχθήσεται, ὃς κεκωλυμένων προσώπων ἀπαρίθμησιν ἐποιήσατο, μὴ ἐφιεὶς ταῦτα εἰς τὴν ἀποζευχθεῖσαν μνηστὴν τοῦ ἐγγίζοντος προσώπου εἰσέρχεσθαι, καὶ τὸ νεαρὸν τοῦ φιλοσοφωτάτου διάταγμα κοσμίως ἐν ἅπασι δόξει κρατοῦν καὶ πολιτευόμενον, καὶ τὰ συμβάλλοντα πρόσωπα τῶν ἀώρων καὶ ἀπρεπῶν κωλυόμενα συνελεύσεων ἀγνεύουσαν ποιήσονται τὴν ἀναστροφὴν, ἐν εὐθέτῳ καιρῷ μεθ' ἱερᾶς ἐπικλήσεως εἰς ἄλληλα συνερχόμενα, ὁπηνίκα δέοι μνηστείαν καὶ γάμον αὐτοῖς καταρτίζεσθαι. Καὶ εἴ τις παρὰ τὰ διηγορευμένα τῇ παρούσῃ τοῦ κράτους ἡμῶν διατάξει μνηστείαν τολμήσειε διαπράξασθαι, καὶ μὴ ταύτῃ γενικῶς καὶ κατὰ πάντων ἐκφωνηθείσῃ, καὶ εἰς τὸ ἐφεξῆς ὀφειλούσῃ κρατεῖν φανείη ἑπόμενος, ἀπ' αὐτῆς τῆς ά. ἡμέρας τοῦ εἰσιέναι μέλλοντος Ἰουλίου μηνὸς τῆς ἐνεστώσης ζ'. ἐπινεμήσεως τοῦ ,σφιβ'. ἔτους, καὶ ἀῤῥαβῶνας πρὸ τοῦ νενομισμένου καιροῦ, καὶ τῆς ἱερᾶς εὐλογίας

(1) Χ. Τρ. — (2) μνήστρων Χ. Τρ. — (3) Α. — διατρεχούσης Χ. Τρ. Ἑ. Ἰ. Β. — (4) τοῦ φίλου Χ. Τρ. — (5) Χ. Τρ.— ἐν ἡμέρᾳ μιᾷ πολλάκις καὶ ὥρᾳ Ἑ. Ἰ. Β. — (6) Χ. Τρ. — ὅτε ὁ Ἑ. Ἰ. Β.

τολμήσειε διαπράξασθαι, ἢ καὶ εἰς θέαν ἀλλήλοις ἐφήσει τὰ συναλλάττοντα συνέρχεσθαι πρόσωπα, καὶ ἀδιαφορίαν ἔχειν ἐν ἑαυτοῖς, ὁ μὲν συμβολαιογράφος, ὁ τὸ ἀῤῥαβωνικὸν συμβόλαιον ἐκτιθέμενος, τῆς ἰδίας στατιῶνος μετακινηθήσεται· οἱ δὲ τὴν μνησείαν πρὸ ὥρας κατεργαζόμενοι ἀνθρωπίνῳ καὶ θείῳ ἴζωσαν ἑαυτοὺς ἐνοχοποιοῦντες μηνίματι. Ὁ μὲν γὰρ δημόσιος διὰ τοῦ σεκρέτου τῶν οἰκειακῶν τὸ τοῖς συμβολαίοις ἐγκείμενον ἐξ ἐπερωτήσεως πρόστιμον ἀφ' ἑκάστου αὐτῶν εἰσπράξεται καθ' ὁλόκληρον, διὰ τὴν τοῦ παρόντος διατάγματος περιφρόνησιν. Πιστεύομεν δὲ καὶ αὐτὸν τὸν Θεὸν κατὰ τούτων διαναςήσεσθαι, ὅτι πορνείαν κατὰ προαίρεσιν ἄντικρυς ἐπὶ μέσον τῶν νέων εἰσαγαγεῖν οὐκ ἐνάρκησαν. Εἰ μὲν γὰρ ὁ παλαιὸς νόμος κατήργηται, καὶ μνηστείαν τελείαν οὐ δύνανται διαπράξασθαι(1), τὰ δὲ τῆς νεωτέρας νομοθεσίας εἰς ἔργον ἐξαγαγεῖν οἱ συναλλάσσοντες ἀπαναίνονται, τί ἄλλο ποιοῦσιν, ἢ ἀνθρώπους οὐδὲν ἀλλήλοις κατὰ νόμους προσήκοντας ἑαυτοῖς συγχωροῦσι παρὰ τὸν νόμον συμφθείρεσθαι, ἔρωτας ἀσελγεῖς ταῖς τῶν νέων ψυχαῖς διὰ τῆς ἀνιέρου κατεργαζόμενοι συναναστροφῆς; Ὡσαύτως ἀπελύθη καὶ ἑτέρα πρόσταξις τοῦ αὐτοῦ βασιλέως χάριν τῆς αὐτῆς νομοθεσίας οὕτω δυνάμεως ἔχουσα· Ἴσμεν κατὰ τὸν Ἰούλιον μῆνα τῆς ζ'. ἰνδικτιῶνος τοῦ ,ςφιβ'. ἔτους νομοθετήσαντες περὶ γάμου τε καὶ μνηστείας ὅσα τῇ τε τοιαύτῃ νομοθεσίᾳ καὶ τῇ ἀναφορᾷ περιείληπται, καὶ τούτων οὐδὲν παρακινηθῆναι ἀνεχόμεθα, ἀλλὰ μένειν ἀπαρεγχείρητα βουλόμεθα καὶ ἀναλλοίωτα μέχρι παντὸς, καὶ τήν τε σύςασιν τῆς μνησείας καὶ τοῦ γάμου, ὥσπερ εἴρηται, γίνεσθαι, τόν τε χρόνον τηρεῖσθαι ἀκαινοτόμητον, καὶ τῶν συναρμοζομένων τὸν μὲν τῶν ιδ'. ἐτῶν εἶναι μείζονα, τὴν δὲ τῶν ιβ'. Ἐπεὶ δὲ οὐδὲν τότε διατετύπωται, εἴτε λυόμεναι προςίμων ἔσονται καταβολαῖς αἱ τοιουτοτρόπως συνιστάμεναι μνηστεῖαι, εἴτε καὶ ἀδιάλυτοι μενοῦσι τὸ παράπαν· καὶ διὰ τοῦτο καὶ περὶ τούτου αὐτὸς ἠρώτησας, θεσπίζομεν τὰς τοιαύτας μνησείας, αἳ κυρίως μνησεῖαι τυγχάνουσιν, ἀμετακινήτους μένειν καὶ ἀμεταπτώτους, καὶ τὸ ὅλον ἀλύτους,

(1) Α. — καταπράξασθαι Ἐ. Ἰ. Β. Χ. Τρ.

ἅτε (1) Θεοῦ μέσον τῶν συναπτομένων εἰσαγομένου, καὶ τὴν τοιαύτην συναρμογὴν διὰ τῆς τῶν εὐχῶν ἱεροτελεσίας κρατύνοντος, καὶ μηδέποτε ταύτας προστίμων ἀναλύεσθαι δόσεσιν, ἅτε (2) οὐδὲ τοῖς συμβολαίοις τὸ λοιπὸν ἐγγραφήσονται, ὅτι μηδὲ παρ' αὐτῶν αἱ μνηστεῖκι κρατύνονται, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ ἐπικλήσεως, αἵπερ καὶ ἄλυτοι (3) τὸ παράπαν μενοῦσι, μόναις λυόμεναι ταῖς αἰτίαις αἷς καὶ οἱ γάμοι, οἷς ἰσοδυνάμους εἶναι ταύτας νενομοθέτηται. Καὶ τὰ κεκωλυμένα δὲ συγγενικὰ (4) πρόσωπα πρὸς γάμον ἢ μνηστείαν κατὰ τὸ δόξαν ἕξει τὴν κώλυσιν, καὶ παρὰ τὰ διηγορευμένα τῇδε τῇ διατάξει ὑπ' οὐδενός τι διαπραχθήσεται, εἰ μήπω βασιλεὺς οἰκονομικῷ τινι λόγῳ τήν τε μνηστείαν καὶ τὴν ἐξ ἱερολογίας συναρμογὴν ἐντὸς τῶν ὁρισθέντων ἐτῶν ἐπιτρέψειε. Βασιλεῦσι γὰρ ἔξεστιν ὑπερτέρως ἢ κατὰ νόμους οἰκονομεῖν, ὥσπερ ὁ σοφός τε εἴρηκε βασιλεὺς, καὶ τῶν νομοθεσιῶν αἱ πρεσβύτεραι. Καὶ αὐτοὶ δὲ τὸν χρόνον συντέμνοντες οὐχὶ καὶ τὴν φυσικὴν ἐφήσουσι σύνοδον, ἕως τῶν ἁρμοζομένων ὁ μὲν τὸν ιδ'. ἐνιαυτὸν, ἡ δὲ τὸν ιβ'. ὑπερβῇ, τῶν γονέων ἐπιμελῆ τίθεσθαι φυλακὴν ὀφειλόντων τοῦ μή τι πρὸ τοῦ ῥηθέντος πραχθῆναι χρόνου· ὡς τοῦ τε διαπραξαμένου τὴν ἄωρον μίξιν, καὶ τῶν γεννητόρων αὐτοῦ τοῖς κατὰ τῶν φθορέων νόμοις ὑποκεισομένου. Καὶ ὅτε δὲ βασιλεὺς μνηστείας ἢ γάμου καινοτομοίη καιρὸν, εἰ θανάτῳ διασταῖεν οἱ ἁρμοζόμενοι πρὸ τοῦ ὁρισθέντος τῷ πράγματι χρόνου, ἕξει καὶ οὕτω τὴν κώλυσιν τὰ κωλυόμενα πρόσωπα, καὶ οὐκ ἔσται τούτοις εὐάφορμον (5) πρὸς τὸ τολμᾷν τὰ ἀτόλμητα, τὸ πρὸ τοῦ δοκοῦντος ταῖς ἡμετέραις διατάξεσι χρόνου τὴν μνηστείαν ἢ τὸν γάμον τὴν λύσιν θανάτῳ δέξασθαι. Τὸ γὰρ ἐλλεῖπον τοῦ τελείου χρόνου τῆς μνηστείας ἢ τοῦ γάμου ἡ τοῦ βασιλέως ἀναπληροῦσα οἰκονομία ἀπαράβατον τηρήσει τοῖς κεκωλυμένοις τὴν κώλυσιν, καὶ οὐδαμῶς θήσουσι συνάλλαγμα κωλυόμενον, ἀλλ' ὅσα ἐξ ἀκριβοῦς μνηστείας ἢ τελείου γάμου κωλύον-

---

(1) Χ. Τρ. — ὥστε Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — ὅτε Ἐ. Ἰ. Β. — (3) Χ. Τρ. — καὶ Β. ἐν περισελιδίῳ. — ἄμιτοι Ἐ. Ἰ. Β. — (4) Χ. Τρ. — γενικὰ Ἐ. Ἰ. Β. — (5) Χ. Τρ. — ἐνάφορμον Ἐ. Ἰ. Β.

ται συναλλάγματα, ταῦτα καὶ ὑπὸ τῶν ἐντὸς τοῦ νενομισμένου χρόνου τὴν σύστασιν οἰκονομικῶς, καὶ τὴν λύσιν φυσικῶς δεξαμένων, εἰρχθήσεται.

[Σημείωσαι τὴν παροῦσαν ἑρμηνείαν τοῦ δ'. κεφ. τοῦ ιγ'. τιτ. διδάσκουσαν πολλὰ χρήσιμα χάριν γάμων κεκωλυμένων καὶ ἐκκεχωρημένων. Ἔτι σημείωσαι τὴν δύναμιν τοῦ γραφέντος συνοδικοῦ τόμου ἐν ταῖς ἡμέραις τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Ἀλεξίου, καὶ τεθέντος ἐν τῇ παρούσῃ ἑρμηνείᾳ. Γίνωσκε ὅτι κἂν ὁ τοιοῦτος τόμος, καὶ ἡ τοῦτον ἐπικυροῦσα βασιλικὴ πρόσταξις μετ' ἐμβριθείας κωλύῃ τὸν ἐξ αἵματος ζ'. βαθμοῦ γάμον· ἀλλὰ κατὰ τὴν δ'. ἰνδικτιῶνα τοῦ ,ςχϟδ'. ἔτους πρόσταξις γέγονε τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυρίου Ἰσαακίου τοῦ Ἀγγέλου, πατριαρχεύοντος τοῦ Καματηροῦ κυρίου Βασιλείου, διοριζομένη μὴ προκριματίζεσθαι ἐκ τῶν ῥηθεισῶν πράξεων τὸν μετὰ τὴν ποίησιν αὐτῶν συστάντα γάμον μέσον τῶν πανευτυχεστάτων Καισάρων ἤγουν τοῦ Καντακουζηνοῦ κυρίου Ἰωάννου, καὶ τῆς αὐταδέλφης τοῦ βασιλέως τῆς κυρίας Εἰρήνης καὶ εἰς ζ'. βαθμὸν ἐξ αἵματος ἀναγόμενον, ἀλλ' ὅσον τὸ εἰς αὐτοὺς καὶ μόνους ἀπρακτῆσαι τὰ παρὰ τῆς συνόδου καὶ τοῦ βασιλέως κυρίου Μανουὴλ διορισθέντα χάριν τοῦ τοιούτου γάμου, καὶ ἐδέχθη παρὰ τῆς συνόδου. Ἔτι σημείωσαι ὅτι τὰ ἐν τῷ βασιλικῷ προστάγματι περιεχόμενα εἰς ἀναίρεσιν δῆθεν τοῦ τόμου τοῦ Σισινίου οὐκ ἐνηργήθησαν τέως ἐπὶ τῶν ἡμετέρων ἡμερῶν· εὔχομαι οὖν μηδὲ ἐνεργηθῆναί ποτε, ὡς εἰδὼς τὴν αἰτίαν δι' ἣν διωρίσθησαν θελληματικὴν οὖσαν, καὶ διὰ τοῦτο μηδὲ τελεσφορήσασαν ἀγαθόν τι.]

[Ἔτι σημείωσαι ἀπὸ τῆς νεαρᾶς τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὅτι κακῶς ἐξεχωρήθη ὁ πλευρὴς κὺρ Μιχαὴλ συζυγῆναι τῇ Σπανοπουλίνᾳ (1) κυρᾷ Ἄννῃ, πρώτῃ οὔσῃ ἐξαδέλφῃ τῆς προμνηστευθείσης αὐτῷ Μαρίας τῆς τοῦ Σερβλίου. Κἂν γὰρ νόμῳ θανάτου πρὸ τοῦ γάμου διεζύγη τῆς τοιαύτης μνηστῆς, καὶ οὐδὲ συνεμίγη αὐτῇ, ἀλλ' οὐκ ὤφειλεν ἐξαδέλφην αὐτῆς πρώτην λαβεῖν· οὐδὲ γὰρ ἡ συνάφεια,

(1) Χ. Τρ. — τῇ σπανσπουλίνα Ἐ. Ἰ. Β.

ἀλλ' ἡ τῆς εὐχῆς τελετὴ ποιεῖ τὴν μνηστείαν ὡς γάμον λογίζεσθαι. Εἰ γοῦν λαϊκὸς τοιοῦτόν τι ποιεῖν κεκώλυται, πολλῷ μᾶλλον ἱερωμένος· ὁ τοιοῦτος γὰρ ἐκωλύθη διὰ σημειώματος συνοδικοῦ ἐπὶ τῆς ἐφημερίας τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κυρίου Μιχαὴλ τοῦ Ἀγχιάλου συνάπτεσθαι νομίμως γυναικὶ συγγενεῖ οὔσῃ τῇ διὰ δεσμωτικῶν μόνον ἐγγράφων κατεγγυηθείσῃ τούτῳ, καὶ μὴ φθασάσῃ λαβεῖν μνηστείας εὐχὴν μετ' αὐτοῦ, ἢ ὡς θανούσῃ, ἢ ὡς ἑτέρῳ συναφθείσῃ ἐκ μεταμέλου ἀνδρὶ, εἰ μήπω ταύτην ἑξαετῆ οὖσαν ὁ θάνατος ἠρράβωνίσατο. Ἔδοξε γὰρ τῇ συνόδῳ μετὰ ἑξαετοῦς γυναικὸς ἐπιθυμίαν φθορᾶς μὴ μεσολαβεῖν, τοῦτο δὲ ἐπὶ λαϊκῶν οὐ κρατήσει· μόνοι γὰρ οἱ τοῦ βήματος μιᾶς γυναικὸς καὶ τῆς αὐτῆς παρθένου ἄνδρες ὀφείλουσιν ὀνομάζεσθαι, καὶ αὐτοὶ τῆς αὐτῆς εἶναι καταστάσεως. Ἔτι σημείωσαι ὅτι τὰ μὲν τῇ νεαρᾷ περιεχόμενα χάριν τῆς μνηστείας δῆλά εἰσιν ἐκ τῆς τοῦ αὐτοῦ Ἀλεξίου βασιλέως β'. προστάξεως. Γίνωσκε δὲ ὅτι τῷ σεκρέτῳ τοῦ χαρτοφυλακίου σημείωμα κατέστρωται τοῦ ἁγιωτάτου ἐκείνου κυρίου Νικολάου πατριάρχου, τάδε κατὰ ῥῆμα διαλαμβάνον· Μηνὶ Ἰουλίῳ, ἡμέρᾳ τετάρτῃ, ἰνδικτιῶνος ιέ. προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Νικολάου ἐν τῷ Θωμαΐτῃ συνεδριαζόντων αὐτῷ *θεοφιλεστάτων*(1) μητροπολιτῶν τοῦ δεῖνος καὶ δεῖνος, ὁ θεοφιλέστατος μητροπολίτης Κυζίκου (2) Συμεὼν συνεδριάζων τῇ ἡμῶν μετριότητι εἶπεν, ὡς κληρικὸς τῆς κατ' αὐτὸν μητροπόλεως Ἰωάννης Διαβατηνὸς ὀνομαζόμενος ἐμνηστεύσατο γυναῖκά τινα Μαρίαν τοῦ Θεοφίλου καλουμένου, ἡλικίας οὖσαν ἑπταετοῦς· μαθὼν δὲ τὴν μνηστείαν εἶναι παράνομον διὰ τὴν τῆς μνηστῆς ἀνηβότητα, τότε μὲν ἀπέστη ταύτης, μετὰ δὲ χρόνους ὀκτὼ νομίμως ταύτην πρὸς γάμον ἠγάγετο. Καὶ ταῦτα λέγων ἤθελε τὸ ποιητέον ἐπὶ τῷ κληρικῷ (3) μαθεῖν. Ἤκουσεν οὖν ἀπὸ τῆς ἡμῶν μετριότητος, καὶ τῆς συνεδριαζούσης ἀδελφότητος, ὡς οὐκ ἐπὶ μόνου τοῦ γαμικοῦ συναλλάγματος ἀῤῥαβῶνας νενό-

(1) Χ. Τρ. — οὐχ εὕρηται, ἐν Ἐ. Ἰ. Β. ἂν καὶ ἀναγινώσκεται ὁ ὅρος λατινιστί. — (2) Χ. Τρ. — τοῦ Κυζίκου Ἐ. Ἰ. Β. — (3) Χ. Τρ. — ἐπὶ τῷ κληρωθῆναι Ἐ. Ἰ. Β.

μισται δίδοσθαι, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν συναλλαγμάτων, πλὴν οὐκ ἀναγκασμένως, ἀλλ' αὐθαιρέτως. Ὥσπερ τοίνυν ἐπὶ τῶν ἄλλων συναλλαγμάτων οὐ λέγομεν ἄκυρον εἶναι τὸ γεγονὸς, μὴ δοθέντων ἀρραβώνων, οὕτω καὶ ἐπὶ τοῦ γαμικοῦ συναλλάγματος, κἂν ἀρραβὼν ἤτοι μνηστεία οὐ προβῇ, βέβαιον ἔσται καὶ ἀδιάσπαστον. Τῆς γοῦν προβάσης μνηστείας, ὡς εἴρηται, μέσον τοῦ κληρικοῦ καὶ τῆς Μαρίας, οὔσης ἀνυποστάτου, ἐσεῖται ὁ κληρικὸς ἔχων ἀδιασείστως τὴν διὰ μόνης γαμικῆς ἱερολογίας ἁρμοσθεῖσαν αὐτῷ σύζυγον, ὡς διείληπται· πρὸ γάμου δὲ δωρεὰ (1), δι' ἣν καὶ τὴν μνηστείαν νενομοθέτηται γίνεσθαι μέσον τῶν ὁμοζύγων, ἢ τῶν μερῶν αὐτῶν οὐ τρακταϊσθήσεται, ἀλλ' ὥσπερ εἰ μηδὲ προέβη μνηστεία, μηδὲ πρὸ γάμου παρηκολούθησε δωρεὰ, βέβαιος ὁ γάμος ἔσται καὶ ἀδιάῤῥηκτος.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν ὑπονοουσῶν ἀποθανεῖν τοὺς ἄνδρας αὐτῶν *ἀπολιμπανομένους* (2), καὶ γαμουσῶν. Συνόδου στ'. κανὼν ιγ'. Βασιλείου κανὼν λά. λς'. μς'.

Κείμενον.

Ἡ περὶ ῥεπουδίου διαλεγομένη ῥιζ'. νεαρά φησιν, ὡς ἐὰν στρατιώτης, ἢ σχολάριος, ἢ φοιδεράτος, ἢ ἄλλος ἔνοπλος ἐν ἐξπεδίτῳ διάγῃ ὁσουσδήποτε ἐνιαυτοὺς, περιμενέτω αὐτὸν ἡ αὐτοῦ γαμετὴ, κἂν μὴ γράμματα ἐδέξατο παρ' αὐτοῦ. Εἰ δὲ ἀκούσει αὐτὸν τελευτῆσαι, μὴ γαμείτω, εἰ μὴ πρότερον δι' ἑαυτῆς, ἢ τῶν γονέων αὐτῆς, ἢ ἑτέρου ἀξιοπίστου τοὺς πρίορας τοῦ ἀριθμοῦ, καὶ τοὺς χαρτουλαρίους ἐν ᾧ στρατεύεται, καὶ τὸν τριβοῦνον

(1) Χ. Τρ. — δωρεᾶς Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — οὐχ εὑρηται ἐν Ἑ. Ἰ. Β. ἀλλὰ λατινιστί.

ἐρωτήσοι εἰ τῇ ἀληθείᾳ ἐτελεύτησε, κἀκεῖνοι τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐν ὑπομνήματι κατάθωνται αὐτὸν τελευτῆσαι· καὶ τὴν πρᾶξιν ἡ γυνὴ λαμβανέτω, καὶ μετὰ τὸ λαβεῖν μενέτω ἐνιαυτὸν, καὶ τότε νομίμως γαμείτω. Εἰ δὲ παρὰ ταύτην τὴν διάστιξιν γαμήσοι, καὶ αὐτὴ, καὶ ὁ λαβὼν αὐτὴν ὡς μοιχοὶ τιμωροῦνται. *Εἰ δὲ οἱ καταθέμενοι δειχθῶσι ψευσάμενοι, ἀποστρατεύονται*(1), καὶ δέκα λιτρῶν ποινὴν διδόασιν ᾧ εἶπον ἀποθανεῖν, καὶ ἔχει ἄδειαν, εἰ βούλοιτο, τὴν ἰδίαν ἀναλαβεῖν γαμετήν. Εἰ δὲ σχολάριος ἦν, παρὰ τῶν πρώτων τῆς σχολῆς, καὶ τοῦ ἀκτουαρίου ἡ λεχθεῖσα γινέσθω κατάθεσις· εἰ δὲ φοιδεράτος, παρὰ τοῦ ὀπτίονος αὐτοῦ.

Σχόλιον.

Ἡ περὶ διαζυγίου ριζ'. νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ ἐστι κεφ. γ'. τοῦ ζ'. τίτ. τοῦ κή. βιβλ. καί φησι περὶ τῶν γυναικῶν τῶν ὑπονοουσῶν τελευτῆσαι τοὺς ἀποδημοῦντας στρατιώτας ἄνδρας (2) αὐτῶν, ὅσα συνωψίσθησαν εἰς τὸ κείμενον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν διαζευγνυμένων. Ἀποστόλων κανὼν έ. Συνόδου Γάγγρας κανὼν ιδ'. Συνόδου Καρθαγένης κανὼν ρβ'. Συνόδου στ'. κανὼν πζ'. Βασιλείου κανὼν θ'. λέ. μή. οζ'.

Κείμενον.

Περὶ διαζεύξεως γάμου ἐν πολλοῖς τόποις ὁ πολιτικὸς διαλέγεται νόμος, καὶ μάλιστα ἐν βιβλίῳ κδ'. τίτ. β'. καὶ βιβλ. έ. τοῦ κώδικος τίτ. ιζ'. καὶ ἐν τῇ περὶ γάμων νεαρᾷ. Τελειότερον δὲ ἡ ριζ'. νεαρὰ, ῥητῶς ἐκτιθε-

(1) Χ. Τρ. — οὐχ εὕρηται ὅλη ἡ φράσις ἐν Ἑ. Ἰ. Β. ἀλλ' ἐν τῇ λατινικῇ μεταφράσει. — (2) Χ. Τρ. — τοὺς ἀποδημοῦντας ἄνδρας στρατιώτας αὐτῶν Ἑ. Ἰ. Β.

μένη τὰς αἰτίας, καθ' ἃς ὁ ἀνὴρ, ἢ ἡ γυνὴ δύναται ρεπουδίου *στελλομένου, εὐλόγως λῦσαι τὸν γάμον· Εἰσὶ δὲ αἰτίαι καθ' ἃς ὁ ἀνὴρ εὐλόγως στέλλει ρεπούδιον*(1), καὶ τὴν προῖκα κερδαίνει, τὴν δεσποτείαν αὐτῆς φυλάττων τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, εἴπερ εἰσίν· ἐὰν σύνοιδέ τινας ἐπιβουλεύοντας τῇ βασιλείᾳ, καὶ τῷ ἰδίῳ μὴ φανερώσῃ ἀνδρί· ἐὰν αὐτῆς περὶ μοιχείας κατηγορήσῃ, καὶ ἀποδείξῃ· ἐὰν ἐν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ τοῦτο ἑτέροις συγγινώσκουσα μὴ φανερώσῃ αὐτῷ· ἐὰν ἐξωτικοῖς ἀνδράσι συμποσιάζῃ, ἢ συλλούηται, μὴ βουλομένου τοῦ ἀνδρός· ἐὰν μὴ βουλομένου αὐτοῦ, ἔξω τοῦ οἴκου μείνῃ, μὴ παρὰ τοῖς γονεῦσιν αὐτῆς, εἰ μὴ αὐτὸς χωρὶς τῶν εἰρημένων αἰτιῶν αὐτὴν ἐξωθῇ. Ἡ δὲ γυνὴ στέλλει ρεπούδιον, καὶ τὴν πρὸ γάμου δωρεὰν κερδαίνει, τὴν δεσποτείαν φυλάττουσα τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν εἴπερ εἰσίν· ἐάν τι κατὰ τῆς βασιλείας βουλεύσῃται, ἢ τοῦτο συνειδὼς ἑτέροις μὴ φανερώσῃ τῇ βασιλείᾳ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου· ἐὰν ἐν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῆς ἐπιβουλεύσῃ, ἢ τοῦτο συνειδὼς ἑτέροις μὴ φανερώσῃ αὐτῇ, καὶ σπουδάσῃ κατὰ νόμους ἐκδικῆσαι· ἐὰν τῇ σωφροσύνῃ αὐτῆς εἰς τὸ μοιχευθῆναι σπουδάσῃ ἐπιβουλεῦσαι· ἐὰν κατηγορήσας αὐτῆς ὁ ἀνὴρ περὶ μοιχείας, μὴ ἀποδείξῃ· ἐπὶ τούτου δὲ οὐ μόνον τὴν πρὸ γάμου δωρεὰν ὁ ἀνὴρ ζημιοῦται, ἀλλὰ καὶ ἕτερον τρίτον αὐτῆς ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας, καὶ τὰς τιμωρίας ὑφίσταται, ἃς ἔμελλεν ἡ γυνὴ καταδικαζομένη ὑφίστασθαι ἐὰν ἑτέρᾳ συνοικῇ ἐν τῷ αὐτῷ οἴκῳ, ἢ τῇ αὐτῇ πόλει, καὶ παρ' αὐτῆς, ἢ δι' ἑτέρου ὑπομνησθεὶς μὴ ἀπόσχοιτο καὶ ἐπὶ τούτῳ δὲ ἕτερον τρίτον μέρος τῆς πρὸ γάμου δωρεᾶς κερδαίνει, καὶ αὐτοῦ τὴν δεσποτείαν (1) φυλάτ-

(1) Σ. Ρ.—οὐ κεῖνται ἐν Χ. Τρ. Ἑ. Ἰ. Β.—(2) Χ. Τρ.—τὴν δωριὰν Ἑ. Ἰ. Β.

τουσα τοῖς ἐκ τοῦ γάμου παισίν· ἐὰν οὖν παρὰ ταύτας τὰς αἰτίας ὁ ἀνὴρ στείλῃ ρεπούδιον, ἀπόλλει τὴν δωρεὰν, καὶ ἄλλο τρίτον μέρος αὐτῆς (1). Εἰ δὲ γυνὴ στείλῃ ἄλογον ρεπούδιον, ἀπόλλει τὴν προῖκα, καὶ πρὸς τούτοις μοναστηρίῳ ἐμβάλλεται πᾶσαν τὴν ζωὴν αὐτῆς, καὶ τὰ πράγματα αὐτῆς διαιρεῖται· καὶ οἱ μὲν παῖδες λαμβάνουσιν οὐγγίας ὀκτὼ, τὸ δὲ μοναστήριον οὐγγίας δ'. εἰ δὲ οὐκ εἰσὶ παῖδες, ἀλλὰ γονεῖς μὴ συναινέσαντες τῷ ρεπουδίῳ, αὐτοὶ μὲν λαμβάνουσιν οὐγγίας δ'. τὸ δὲ μοναστήριον ἡ. εἰ δὲ συνήνεσαν, ὅλην τὴν οὐσίαν τὸ μοναστήριον λαμβάνει. Δυνατὸν δὲ ταῦτα λέγειν καὶ ἐπὶ ἀνδρὸς ἀλόγως ρεπουδιατεύοντος ἐκ τῆς ριζ'. νεαρᾶς, λεγούσης ἴσας εἶναι τὰς ποινὰς τῶν ἀλόγων ρεπουδίων, καὶ τὸν ἄνδρα ὁμοίως ὑποκεῖσθαι τοῖς κατὰ γυναικὸς ὁρισθεῖσι.

Σχόλιον.

Ὁ β'. τίτ. τοῦ κδ'. βιβλ. τῶν διατάξεων κεῖται εἰς τὸν ιά. εἰτ. τοῦ κή. βιβλ. τῶν βασιλικῶν· καὶ ὁ ιζ'. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς κεφ. ι. τοῦ ζ'. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν· καὶ ἡ ριζ'. Ἰουστινιάνειος νεαρὰ ἐτέθη, ὡς πολλάκις εἴπομεν, εἰς βιβλίον κή. τίτ. ζ'. κεφ. ά. οὕτως ἔχουσα ἐν μέρει, ὡς συνεωψίσθη εἰς τὸ κείμενον. Ἡ δὲ περὶ γάμων κβ'. νεαρὰ ἐτέθη εἰς βιβλίον κή. τίτ. ιδ'. καὶ τίτ. δ'. Τὸ τῆς ρκζ'. νεαρᾶς κεφ. τὸ περὶ ρεπουδίου διαλεγόμενον οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ἀλλ' ἐδέχθη μᾶλλον τὸ ιγ'. κεφ. τῆς ρλδ'. νεαρᾶς, καὶ ἔστι κεφ. δ'. τοῦ ζ'. τίτ. τοῦ κή. βιβλίου, καὶ λέγει ἴσας εἶναι τὰς ποινὰς τῶν ἀλόγων ρεπουδίων καὶ ἐπ' ἀμφοτέροις τοῖς μέρεσι.

Κείμενον.

Ἀζημίως δὲ λύεται γάμος, ἐὰν ὁ ἀνὴρ ἐπὶ τριετίαν μετὰ τὴν ἀρχὴν τοῦ γάμου μὴ δυνηθῇ τῇ γαμετῇ

(1) Σ. Τρ. Σ. Ρ.—οὐσίας Ε. Ι. Β.

συγγενέσθαι, καὶ διὰ τὸ μονάσαι, καὶ ἐὰν ὁ ἀνὴρ αἰχμάλωτος γένηται, καὶ ἄδηλον ἐπὶ πενταετίαν μείνῃ, εἰ ζῇ.

Σχόλιον.

Τὸ δ'. κεφ. τῆς κϐ'. Ἰουστινιανείου νεαρᾶς ἐν τῷ ζ'. τίτ. τοῦ κή. βιβλίου κείμενόν φησι· Ταῖς δὲ εἰρημέναις αἰτίαις συνείδομεν καὶ ταῦτα ὀνομαστὶ προσθεῖναι (1), ἐξ ὧν τοὺς γάμους ἔξεστι δίχα ποινῆς διαλύειν. Καὶ αὐτίκα ἐπιφέρει καὶ τὰς αἰτίας, τὴν τῆς ἀσκήσεως δηλαδὴ, τὴν ἐπὶ τριετίᾳ ἀσύναπτον ὁμοζωΐαν, καὶ τὴν τῆς αἰχμαλωσίας. Πλὴν ἀπὸ μὲν τῶν δύο αἰτιῶν χωρὶς ποινῆς καὶ δόσεως οἱασδήτινος φησὶ λύεσθαι τὸ συνοικέσιον· ἀπὸ δὲ τοῦ μονάσαι θάτερον τῶν ὁμοζύγων φησὶ ταῦτα· Γηνικαῦτα γὰρ κελεύομεν παῤῥησίαν εἶναι καὶ ἀνδρὶ, καὶ γυναικὶ, πρὸς τὰ καλλίω μεθισταμένοις, διαλύειν τὸ συνοικέσιον, καὶ ἀναχωρεῖν μετά τινος βραχείας ὑπολελειμμένης τῷ καταλελειμμένῳ παραμυθίας. Ὅπερ γὰρ ἂν συμφωνήσαιεν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γίνεσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνὴρ, εἴτε γυνὴ καθεστήκει, διότι καὶ οὗτος τό γε ἐπὶ τῷ συνοικήσαντι δοκεῖ τελευτᾷν, ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος. Ἀλλὰ καὶ ἡ ρκγ'. Ἰουστινιάνειος νεαρὰ, ἤτοι τὸ ή. κεφ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλίου τῶν βασιλικῶν παρακελεύεται τὸν ἐν τῷ κόσμῳ περιλειφθέντα ἐκ τῶν ὁμοζύγων λαμβάνειν ἀπὸ τοῦ μέρους τοῦ ἀποκαρέντος, εἴ τι ἐκ τῆς προτελευτῆς τούτου ἀπὸ συμφώνου ἔμελλε προσαρμόσαι αὐτῷ, ὅπερ καὶ βραχεῖαν παραμυθίαν ἐκάλεσεν ἡ κϐ'. νεαρὰ, πάντως πρὸς τὴν ἐκ τῶν ἑτέρων αἰτιῶν διδομένην ποινὴν ἀποβλέψασα· τὸ γὰρ ἀπὸ συμφώνου οὐδὲ ποινὴ λογίζεται(2)· καὶ ταῦτα μὲν ἔχουσιν οὕτως. Ἐρωτῶ δὲ τῆς ριζ'. νεαρᾶς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου λεγούσης ἐξ ἀποκάρσεως τοῦ ἀνδρὸς μὴ δίδοσθαι ὑπόβολον τῇ γυναικὶ, καὶ τῆς κϐ'. νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ διοριζομένης τὰ γραφέντα ἄνωθεν, ἀπαιτηθήσεταί τι παρὰ τῆς γυναικὸς χάριν ὑποβό-

(1) Χ. Τρ. — πριφθεῖναι Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — λέγεται Ἐ. Ἰ. Β.

λου ἐκ τοῦ ἀποκαρέντος ἀνδρὸς, ἢ οὔ; *Λύσις.* Τὸ παλαιὸν οὐκ ἀπὸ συμφώνου ἐδίδοτο τὸ ὑπόβολον, ἀλλ᾽ ἀπὸ τοῦ νόμου· εἴ τι γὰρ ἡ γυνὴ ἐδίδου χάριν προικὸς, τοσοῦτον καὶ ὁ ἀνὴρ ὑποβάλλειν ποσὸν εἰς τὴν κοινὴν περιουσίαν ἠναγκάζετο, ὅθεν καὶ ὠνομάσθη· τοῦτο δὲ ἀνῃρέθη· καὶ σήμερον τοιοῦτον ὑπόβολον ὁ ἀνὴρ οὐ δίδωσιν, ἀλλ᾽ ἀπὸ συμφώνου δίδωσί τι μέρος ὅσον συμφωνήσει ἐκ προτελευτῆς τῇ γυναικί· εἰ δὲ μὴ συμφωνήσει δοῦναί τι ὑπὲρ ὑποβόλου, οὐκ ἀναγκασθήσεται δοῦναί τι. Νομίζω οὖν ὅτι ἡ μὲν νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου περὶ τοῦ ὑποβόλου φησὶ τοῦ ἐκ τοῦ παλαιοῦ νόμου ἐπιγινωσκομένου καὶ ἐξ ἀνάγκης διδομένου· ἡ δὲ νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ περὶ τοῦ κέρδους τοῦ ἐκ προτελευτῆς κατὰ τὸ σύμφωνον διδομένου. Τὸ γοῦν ἐκ προτελευτῆς ἑνὸς τῶν ὁμοζύγων συμφωνηθὲν δίδοσθαι ποσὸν πρὸς τὸν ἐναπομείναντα ἀπαιτήσει μετὰ τὴν τοῦ ἑτέρου ἀπόκαρσιν ὁ εἰς τὸν βίον περιλειφθείς, οἷον ἂν καί ἐστι, καὶ ὅπως ἂν καλῆται· καὶ συμβαίνει τοιουτοτρόπως, ἐὰν ἀποκαρῇ ἡ γυνὴ, ἀπαιτεῖν τὸν ἄνδρα τὸ ἐκ προτελευτῆς ἐκείνης συμφωνηθὲν δοθῆναι τῷ περιόντι ποσὸν, κἂν ὑπόβολον *καλῆται* (1) καταχρηστικῶς.

Κείμενον.

Τὸ δὲ κατὰ συναίνεσιν πρὸς τὸ συμφωνούμενον λύειν τὸν γάμον, εἴρητο μὲν πρώην, ἀνῃρέθη δὲ ἐκ τῆς εἰρημένης ριζ΄. νεαρᾶς, αὖθις δὲ ἀνεκαινίσθη ὑπὸ Ἰουστίνου τοῦ βασιλέως. Καὶ τὴν ἄπροικον γαμετὴν ὁ ἀνὴρ ἐκβάλλων ἀλόγως (2) δίδωσιν αὐτῇ τὸ τέταρτον (3) τῆς περιουσίας αὐτοῦ τῆς καθαρᾶς· εἰ δὲ συμβῇ πλείονας εἶναι παῖδας τῶν τριῶν, οὐ τὸ τέταρτον ἀλλὰ παιδὸς ἑνὸς ἀναλογίαν λαμβάνει· οὐ δύναται δὲ τὸ διδόμενον αὐτῇ ὑπερβαίνειν τὰς ρ΄. τοῦ χρυσίου λίτρας. Οὐχ ὑπόκειται δὲ τούτοις ἡ ἄπροικος γυνὴ, ἀλόγως τοῦ ἀνδρὸς ἀναχωροῦσα, ὡς ἡ αὐτὴ ριζ΄. νεαρά.

---

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. — (2) Χ. Τρ.—ἀναλόγως Ἑ. Ἰ. Β. — 3) Χ. Τρ. —τὸ δίμοιρον Ἑ. Ἰ. Β.

Σχόλιον.

Ἡ θ'. διάταξις τοῦ ιζ'. τίτλου τοῦ έ. βιβλίου τοῦ κώδικος διορίζεται κατὰ συναίνεσιν λύεσθαι τὸν γάμον, ἥτις οὐ κεῖται εἰς τὰ βασιλικά. Ἀλλ' οὐδὲ τὸ τῆς ριζ'.νεαρᾶς κεφ., τὸ ἀναιροῦν τὰς κατὰ συναίνεσιν λύσεις τοῦ γάμου, ἐτέθη εἰς τὰ βασιλικὰ, ἀλλ' ἀντὶ τούτων ἐτέθη τὸ ιγ'. κεφ. τῆς ρλδ'. νεαρᾶς, ὅπερ ἐστὶ κεφ. δ'. τοῦ ζ'. τίτ. τοῦ κή. βιβλίου *τῶν βασιλικῶν* (1) ἰσοδυναμοῦν τῇ ριζ'. νεαρᾷ. Ἡ νομοθεσία τοῦ βασιλέως Ἰουστίνου ἐστὶ νεαρὰ Ἰουστινιάνειος ρμ'. ἥτις οὐδὲ ὅλως ἐτέθη εἰς τὰ βασιλικά. Καὶ τὸ τὴν ἄπροικον γαμετὴν λαμβάνειν τὸ *τέταρτον* (2) τῆς ἀνδρώας περιουσίας ἐκ τοῦ ἀλόγως ἀπουδιατεῦσαι αὐτὸν, μέρος ἐστὶ τῆς ριζ'. νεαρᾶς τοῦ βασιλέως Ἰουστινιανοῦ· πλὴν οὐδὲ τοῦτο ἐτέθη εἰς τὰ βασιλικά.

Κείμενον.

Τοσοῦτον δὲ ἀκώλυτός ἐστιν ἡ τῶν γάμων διάλυσις, ὅτι εἴρηται βιβλίῳ μέ. τίτ. ά. διατ. ιθ'. ὡς ἐάν τις τῶν συνοικούντων ὁμολογήσῃ ποινὴν, ἐκ τοῦ παρ' αἰτίαν αὐτοῦ λυθῆναι τὸν γάμον, οὐκ ἔῤῥωται· ἀρκεῖ γὰρ ἡ τῷ νόμῳ ἐπὶ τῶν τοιούτων ὡρισμένη ποινὴ, εἰ μὴ ἄρα καὶ ἡ ἐπερώτησις τοσαύτην περιέχει. Καὶ διάτ. ρλδ'. τοῦ αὐτοῦ τίτ. ὅτι οὐ καλῶς ἐπερωτῶ τινα ποινὴν ἐκ τοῦ μὴ γαμηθῆναί μοι, οὔτε μὴν τὴν ἤδη γαμηθεῖσάν μοι ποινὴν ἐπερωτᾷν δύναμαι, ἐὰν λύσῃ τὸν γάμον· τὰ αὐτὰ καὶ περὶ γυναικὸς ἐπερωτώσης τὸν ἄνδρα. Καὶ βιβλ. ή. τοῦ κώδικος τίτ. λή. διάτ. β'. ὅτι ἀνισχύρως τις παντεύει μὴ ἐξεῖναι αὐτῷ λῦσαι τὸν γάμον, καὶ οὐκ ἔῤῥωται ἡ ἐπὶ τούτῳ ἐπερωτηθεῖσα ποινή.

Σχόλιον.

Τὸ ιθ'. διάτ. τοῦ ά. τίτ. τοῦ μέ. βιβλίου τῶν διατ. ἐστὶ

(1) Χ. Τρ. — (2) Χ. Τρ.—οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β.

κεφ. ιή. τοῦ ά. τίτ. τοῦ μγ'. βιβλίου τῶν βασιλικῶν, οὕτως ἔχον· Ἔστι δὲ ἀνίσχυρος ἡ ἐπερωτωμένη ποινὴ, ἐκ τοῦ παρ' αἰτίαν τινὸς τῶν συνοικούντων λυθῆναι τὸν γάμον, ἵνα μὴ ἰδιωτικοῖς πάκτοις ἀναιρῆται ἡ δημόσιος ποινή. Ζήτει καὶ βιβ. κθ'. τίτ. έ. κεφ. έ. καὶ τίτ. ς'. τοῦ μγ'. βιβλ. κεφ. β'. καὶ θέμα γ'. τοῦ ϛζ'. κεφ. τοῦ ά. τίτ. τοῦ μγ'. βιβλ. καὶ θέμα ά. τοῦ ρλδ'. κεφ. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. καὶ θέμα β'. τοῦ ρκά. κεφ. καὶ βιβλ. β'. τίτ. β'. κεφ. σμγ'. καὶ βιβλ. κή. τίτ. ζ'. κεφ. ζ'. ή. θ'. Τὸ ρλδ'. διάτ. τοῦ ά. τίτ. τοῦ μέ. βιβλίου τῶν διατάξεών ἐστι κεφ. ρλδ'. τοῦ ά. τίτ. τοῦ μγ'. βιβλ. τῶν βασιλικῶν, οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη. Παρεγράψετο δὲ ὁ Χοῦμνος ἔξωθεν σχόλιον ἑρμηνεῦον τάχα τὸ κεφάλαιον, καὶ διδάσκον, πότε τὰ χάριν μέλλοντος γάμου γινόμενα δεσμωτικὰ ἔγγραφα ὀφείλουσιν ἔχειν τὸ ἐνεργὸν, καὶ πότε ἀπρακτεῖν· σὺ δὲ τῷ τοιούτῳ σχολίῳ μὴ προσχῇς, ἀλλὰ σημείωσαι ἐκ τοῦ τοιούτου κεφαλαίου, ὅτι τὰ περὶ γάμων δεσμωτικὰ ἔγγραφα, εἰ μὲν παρὰ μόνων τῶν μελλόντων συναφθῆναι γεγόνασιν, εἰσὶν ἀνίσχυρα, ὅσον εἰς τὸ ποινὴν ἐκ παραβασίας τούτων ἀπαιτηθῆναι· εἰ δὲ καὶ παρ' ἑτέρων τινῶν, ἔχουσι τὸ ἰσχυρὸν, καὶ ἐκ τοῦ μὴ γενέσθαι τὸν γάμον ἐξ αἰτίας τινὸς τῶν μελλοσυζύγων ἀπαιτεῖται τὸ πρόστιμον ἐκ τοῦ ἐπερωτηθέντος παρασκευάζειν αὐτὸν ποιῆσαι τὸν γάμον. Ζήτει καὶ τὸν Παλαιὸν τοῦ ά. κεφ. τοῦ ά. τίτ. τοῦ κή. βιβλ. καὶ κεφ. ιδ'. ιέ. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. Ἡ δὲ β'. διάτ. τοῦ λή. τίτ. τοῦ ή. βιβλ. τοῦ κώδ. ἐστὶ κεφ. β'. τοῦ ς'. τίτ. τοῦ μγ'. βιβλ. οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον ἐγράφη· καὶ τὰ μὲν τοῦ πολιτικοῦ νόμου ἐν τούτοις. Γίνωσκε δὲ ὅτι πολλάκις ἐζητήθη εἰ δύναται ὁ δεσμωτικὰ τοιαῦτα περὶ γάμου θέμενος μετά τινος γυναικὸς ἔγγραφα, ἢ καὶ γαμήλια ἐπὶ μνηστείᾳ ἀσυστάτῳ, μετὰ τὸ ἀθετῆσαι τὰ δεσμωτικὰ ἔγγραφα, ἢ τὴν παράνομον μνηστείαν, λαβεῖν ἑτέραν γυναῖκα, καὶ εἰς πρεσβυτέρου τόπον ἀναχθῆναι. Σὺ γοῦν εἰπὲ, ὡς εἰ μὲν τὸ πρόσωπον τὸ κατεγγυηθὲν τῷ θέλοντι ἱερωθῆναι, μετὰ τὴν ἀθέτησιν τῶν ἐγγράφων ὑπερέβη τὸν ἕκτον χρόνον, οὐ παραχωρηθήσεται ὁ τὰ ἔγγραφα ἐκθέμενος, ἢ καὶ τὴν παράνομον μνηστείαν, ἑτέρᾳ

συναφθῆναι γυναικὶ, καὶ οὕτως ἱερωθῆναι, ὡς δίγαμος λογιζόμενος διὰ τὴν ἐπιθυμίαν, καὶ διὰ τὸ εἶναι δεκτικὴν ἔρωτος τὴν γυναῖκα. Εἰ δὲ ἧττον τῶν ἓξ χρόνων ἦν τὸ τοιοῦτον πρόσωπον, ὅτε ἡ ἀθέτησις τῶν συμφώνων ἐγένετο, ἐνδυνάμως καὶ ἑτέρᾳ γυναικὶ ὁ τοιοῦτος συζευχθήσεται, καὶ ἔκτοτε ἱερωθήσεται. Κατασκεύασον δὲ ταῦτα καὶ ἀπὸ τῆς νεαρᾶς νομοθεσίας τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ τῆς διοριζομένης, ἀλύτους εἶναι τὰς μνηστείας, ἐννόμους οὔσας, καὶ παρακελευομένης κἂν τύχῃ λυθῆναι μνηστείαν, ὡς μὴ κατὰ τοὺς νενομισμένους χρόνους γεγενημένην, μὴ ἔχειν ἐπ' ἀδείας τὰ κεκωλυμένα συγγενικὰ πρόσωπα τῶν παρανόμως μνηστευθέντων πρὸς γάμου κοινωνίαν συνάπτεσθαι· καὶ ἀνάγνωθι τὴν τοιαύτην νεαρὰν καταστρωθεῖσαν εἰς τὸ ϐ'. κεφ. τοῦ παρόντος τίτ.

[Σημείωσαι τὴν παροῦσαν ἑρμηνείαν χάριν τῶν ἐπὶ γάμου ποιήσει γινομένων ἐγγράφων παρά τινων, καὶ τὰς ἐν αὐτῇ παραπομπὰς καὶ λέγε κατὰ ταύτας ἔχειν τὸ ἐνεργὸν τὰ δεσμωτικὰ, καὶ μὴ ἔχειν.]

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ πορνείας, μοιχείας, καὶ φθορᾶς, καὶ ἀῤῥενοκοιτίας. Ἀποστόλων κανὼν ξά. Συνόδου Ἀγκύρας κανὼν κ'. Συνόδου Νεοκαισαρείας κανὼν ή. Συνόδου ς'. κανὼν πς'. πζ'. ιή. Βασιλείου κανὼν ζ'. ιή. κά. κϐ'. κέ. κς'. λ'. λδ'. λζ'. λθ'. μθ'. νή. νθ'. ξϐ'. οζ'. Γρηγορίου Νύσσης κανὼν γ'.

Κείμενον.

Περὶ φθορᾶς, καὶ μοιχείας, καὶ ἀῤῥενοκοιτίας διαλαμϐάνει ὁ νόμος, ϐιϐλίῳ θ'. τοῦ κώδικος τίτ. θ'. καὶ ϐιϐλ. μή. τίτ. έ. κεφαλικὴν τοῖς ταῦτα (1) πλημμελοῦσιν ἐπάγων τιμωρίαν· ἔνθα εἴρηται ὅτι τὸ μοιχικὸν οὐ μόνον

(1) Χ. Τρ.—τοιαῦτα Ε. Ἰ. Β.

ἐπὶ φθορᾷ νομίμου γαμετῆς κινεῖται, ἀλλὰ καὶ ἐπὶ ἀσυστάτου καὶ ἀθεμίτου γάμου, καὶ μνηστείας, καὶ παλλακισμοῦ.

Σχόλιον.

Ὁ θ'. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικος κεῖται εἰς κεφ. μζ'. τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν, καὶ ὁ έ. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. κεῖται εἰς γ'. κεφ. τοῦ λζ'. τίτ. τοῦ αὐτοῦ ξ'. βιβλ. καὶ ἀνάγνωθι διάφορα κεφ. τοῦ τοιούτου τίτ. διδάσκοντα τοιαῦτα πολλὰ, οἷα συνωψίσθησαν εἰς τὸ κείμενον. Τὸ μέν τοι κεφαλικῶς τιμωρεῖσθαι τοὺς μοιχοὺς, ἢ τοὺς ἀρρενοκοίτας, ἢ τοὺς φθορεῖς, οὐκ ἐτέθη εἰς τὰ βασιλικὰ, ἀλλὰ φησὶ τὸ ογ'. κεφ. τοῦ ῥηθέντος λζ'. τίτ. Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν· οἱ δὲ μέσοι καὶ οἱ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες, τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν. Ἡ δὲ ρλδ'. νεαρὰ τοῦ βασιλ. Ἰουστινιανοῦ, ἤτοι τὸ ιϐ'. κεφ. αὐτῆς, ὅπερ ἐτέθη εἰς τὸν ζ'. τίτ. τοῦ κή. βιβλ. φησὶ περὶ τὰς ἀρχὰς ταῦτα· Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσει δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα, ἢ καὶ τὸν μοιχὸν, καὶ εἴπερ τὸ τῆς μοιχείας ἔγκλημα φανερῶς ἀποδειχθείη τηνικαῦτα διαζυγίου πεμπομένου, κελεύομεν ἐκείνας τὰς ποινὰς τοῖς ἁμαρτάνουσιν ἐπάγεσθαι, ἃς οἱ νόμοι διατυποῦσι· κἀκείνων τὰς νομίμους ὑπομενόντων ποινὰς, οἵτινες μέσοι ἢ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβεῖ ἐγκλήματι γεγόνασιν. Ἐκ τῆς οὐσίας δὲ τοῦ μοιχοῦ, εἰ ἔχει γαμετὴν, τὴν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν αὐτῇ περισώζεσθαι, ἢ τὴν ἀπὸ τοῦ ἡμετέρου νόμου μοῖραν, εἰ προικῷα συμβόλαια μὴ παρηκολούθησαν· τὴν δὲ λοιπὴν αὐτοῦ περιουσίαν, εἰ μέν εἰσιν ἀνιόντες ἢ κατιόντες ἕως γ'. βαθμοῦ, λαμβάνειν αὐτοὺς κατὰ τὰς τάξεις καὶ τοὺς βαθμούς· εἰ δὲ μή εἰσι τοιοῦτοί τινες, τῷ δημοσίῳ προσκυροῦσθαι ταύτας κελεύομεν. Τὴν δὲ μοιχευθεῖσαν γυναῖκα ταῖς προσηκούσαις ὑποβαλλομένην ποιναῖς ἐν μοναστηρίῳ ἐμβάλλεσθαι, καὶ ἐφεξῆς ὅσα ὁ πατριάρχης συνώψισεν. Ἀνάγνωθι καὶ τὴν λϐ'. νεαρὰν τοῦ βασιλέως κυ-

ρίου Λέοντος τοῦ Σοφοῦ διοριζομένην τί ὀφείλει γίνεσθαι εἰς τοὺς μοιχοὺς, καὶ εἰς τὰς μοιχαλίδας. Περὶ ἀθεμίτων φησὶ τὸ ος'. κεφ. τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλ. ταῦτα· Οἱ αἱμομίκται (1), εἴτε γονεῖς πρὸς τέκνα, εἴτε τέκνα πρὸς γονεῖς, ἢ ἀδελφοὶ πρὸς ἀδελφὰς, ξίφει τιμωρείσθωσαν. Οἱ δὲ κατ' ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστι πατὴρ εἰς γυναῖκα υἱοῦ, ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυιὰν, ἢ πατρωὸς εἰς προγονὴν, ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ, ἢ θεῖος εἰς ἀνεψιὰν, ἢ ἀνεψιὸς εἰς θείαν, ἢ εἰς δύο ἀδελφὰς, ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἐν εἰδήσει μιγνύμενος, οἱ τοιοῦτοι τυπτόμενοι ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς αὐτοὶ συνεφθάρησαν. Ὡσαύτως καὶ τὸ οζ'. κεφ. λέγει· Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, ἢ πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ δύο ἀδελφοὶ πρὸς δύο ἀδελφὰς, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, ἢ ἀνεψιὸς εἰς γεγενημένην τοῦ θείου γυναῖκα, εἴτε θεῖος πρὸς τὴν γεγενημένην τοῦ ἀνεψιοῦ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν. Τὸ οή. κεφ. φησίν· Οἱ ταῖς μοναζούσαις, ἢ ταῖς διακονίσσαις, ἢ ταῖς ἀσκητρίαις ἐνασελγαίνοντες, ὡς τὴν νύμφην Χριστοῦ ἐκκλησίαν ἐνυβρίζοντες, ῥινοκοπείσθωσαν αὐτοί τε καὶ αἷς οὗτοι συνεφθάρησαν. Τὸ οθ'. κεφ. φησίν· Ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου μιγνύμενος, ἢ καὶ ἄλλως λαθραίως συμπλεκόμενος, ἅμα αὐτῇ ῥινοκοπείσθω, δηλονότι πρότερον αὐτῶν ἀπ' ἀλλήλων διϊσταμένων. Εἰ μέν τοι εἰς ὕπανδρον σύντεκνον διαπράττοιτο τοῦτο, ἡ μὲν ποινὴ ὡσαύτως προβαινέτω, πρὸς τούτοις δὲ καὶ τυπτέσθωσαν. Ἀνάγνωθι καὶ τὸ ς'. θέμα τοῦ ί. κεφ. τοῦ έ. τίτ. τοῦ κή. βιβλ. τῶν βασιλικῶν λέγον· Ὁ παρθένον ἢ χήραν ἁρπάσας, οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα. Ὁ μέν τοι γε ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα·

(1) Χ. Τρ. — αἱμόμικτοι Ἐ. Ἰ. Β.

ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ· ἐπειδὴ οὐδὲν ἄλλο οὕτω δύναται εἰσαγαγεῖν πατρικὴν διάθεσιν, καὶ δικαίαν γάμου κώλυσιν, ὡς ὁ τοιοῦτος δεσμὸς, δι' οὗ, Θεοῦ μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται. Ἀνάγνωθι τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. κεφ. γ'. θέμα β. καὶ γ'. καὶ κεφ. ιά. καὶ βιβλ. ζ'. τίτ. ή. κεφ. δ'. καὶ βιβλ. μέ. τίτ. β'. κεφ. ς'. θέμα γ'. καὶ κεφ. ί. θέμα β'. καὶ γ'. καὶ βιβλ. β'. τίτ. γ'. κεφ. ή. καὶ κεφ. ρλζ'.

Κείμενον.

Ἡ μέν τοι πορνεία οὐκ ἐπαινεῖται μὲν παρὰ (1) τῷ πολιτικῷ νόμῳ, οὐκ ἀπαγόρευται δέ. Ἀμέλει εἴρηται βιβλίῳ ιβ'. τίτ. έ. διατ. δ'. ὅτι τὸ διδόμενον πόρνῃ οὐκ ἀποδίδοται· ἐπειδὴ γάρ ἐστι πόρνη, οὐκ ἔστιν αἰσχρὸν τὸ λαβεῖν αὐτὴν, εἰ καὶ αἰσχρόν ἐστι τὸ εἶναι αὐτὴν πόρνην. Καὶ βιβλ. λθ'. τίτ. έ. διάτ. στ'. ὅτι καὶ δι' ἄσεμνον αἰτίαν γίνεται καλῶς δωρεὰ, οἷον εἰς πόρνην, καὶ ἔρρωται. Καὶ βιβλ. μζ'. τίτ. β'. διάτ. λθ'. ὅτι ὁ ἁρπάζων ἢ κρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν, οὔτε ὡς ἀνδραποδιστὴς, οὔτε ὡς κλέπτης ἐνέχεται· οὐ γὰρ κλοπῆς, ἀλλ' ἡδονῆς χάριν τοῦτο ἐποίησεν. Εἰ γὰρ καὶ θυρίδας τις κλάσει τῆς πόρνης, καὶ εἰσελθόντες ἕτεροι μὴ παρ' αὐτοῦ εἰσαχθέντες κλέψουσι τὰ πράγματα αὐτῆς, οὐκ ἐνέχεται ὡς κλέπτης.

Σχόλιον.

Τὸ δ'. διάτ. τοῦ έ. τίτ. τοῦ ιβ'. βιβλίου ἐστὶ θέμα β'. τοῦ έ. κεφ. τοῦ β'. τίτ. τοῦ κδ'. βιβλίου τῶν βασιλικῶν, τὰ αὐτὰ λέγον. Τὸ ς'. διάτ. τοῦ έ. τίτ. τοῦ λθ'. βιβλ. ἐστὶ κεφ. έ. τοῦ ά. τίτ. τοῦ μζ'. βιβλίου τῶν βασιλικῶν, οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον συνωψίσθη. Τὸ λθ'. διάτ. τοῦ β'. τίτ. τοῦ μζ'. βιβλίου ἐστὶ κεφ. λθ'. τοῦ ξ'. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον ὡς ἐδηλώθη· καλῶς δὲ εἶπεν, ὅτι ὁ ἁρπάζων ἀλλοτρίαν

(1) οὐχ εὕρηται ὁ, παρὰ ἐν Σ. Τρ.

δούλην πόρνην οὖσαν οὐκ ἐνέχεται ὡς ἀνδραποδιστὴς, ἤγουν οὐ μεταλλίζεται, ὡς ἐν τῷ βασιλικῷ κεῖται· ὁ γὰρ ἁρπάζων δούλην μὴ οὖσαν πόρνην μεταλλίζεται· καὶ ζήτει τὸν μή. ὅλον τίτ. τοῦ ξ'. βιβλίου.

Κείμενον.

Λέγει δὲ καὶ βιβλίον λή. τίτ. ή. ὅτι οἱ πορνογενεῖς οὐ μόνον τῆς μητρὸς, ἀλλὰ καὶ τῶν κατὰ μητέρα συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται. Ἡ δὲ ἰλλουστρία νομίμους ἔχουσα παῖδας, καὶ πορνογενεῖς, οὐδὲν δύναται παρασχεῖν τοῖς πορνογενέσιν οὔτε ζῶσα, οὔτε τελευτῶσα, ὡς βιβλίον στ'. τοῦ κώδικος τίτ. νζ'. διάτ. έ. Ὁ δὲ ἀπὸ πορνείας οὔτε λέγεται ἔχειν πατέρα, ὡς βιβλίον ά. τίτ. έ. διάτ. κγ'. Ὁ μέν τοι παλλακισμὸς νόμιμός ἐστι, κἀκείνας ἔχειν δυνάμεθα παλλακὰς ἄνευ ἐγκλήματος, πρὸς ἃς οὐ πλημμελεῖται ἀθέμιτον, οἷον τὴν παλλακὴν τοῦ ἰδίου πατρὸς, ἢ πάππου, ἢ τὴν θυγατέρα τῆς ἰδίας ἀδελφῆς, ὡς βιβλίον κέ. τίτ. ζ'. καὶ βιβλίον κγ'. τίτ. β'. διάτ. νέ. καὶ βιβλίον μή. τίτ. έ. διάτ. ιά. Παλλακεύονται δὲ αἱ ἀπελεύθεραι καὶ εὐγενεῖς ἄσημοι· ὁ γὰρ εὐγενὴ καὶ σεμνὴν παλλακευόμενος χρήζει περὶ τούτου ἐκμαρτυρίου, ἐπεὶ γαμετὴν αὐτὴν ἔχει, ἢ τοῦτο παραιτούμενος, ἀθέμιτον πρὸς αὐτὴν πλημμελεῖ, οὐ μὴν καὶ μοιχείαν, ἐπειδὴ τὸ τῆς παλλακῆς ὄνομα ἔγνωσται τοῖς νόμοις· ὅθεν εἴρηται βιβλ. στ'. τοῦ κώδικος τίτ. νζ'. διατ. έ. ὅτι ἡ ἐλευθέρα νομίμως ἐλευθέρῳ παλλακευθεῖσα τοὺς ἐκ τῆς τοιαύτης συναφείας τεχθέντας ἕξει κληρονόμους μετὰ τῶν νομίμων παίδων· καὶ ἁπλῶς εἰπεῖν, πολλὰ περὶ τῶν ἀπὸ παλλακῶν τικτομένων, ἤγουν νόθων καὶ φυσικῶν, ὁ νόμος ἐν τῷ κώδικι καὶ ταῖς νεαραῖς διαλαμβάνει, διδάσκων τίνες εἰσὶ, καὶ πῶς δύνανται γίνεσθαι τῷ πατρὶ γνήσιοι, καὶ πότε, καὶ πόσον δύνανται λαβεῖν τῶν τοῦ πατρὸς πραγμάτων.

Σχόλιον.

Ὁ ἡ. τίτ. τοῦ λή. βιβλ. τῶν διγέστων ἐτέθη εἰς κεφ. ς'. τοῦ β'. τίτ. τοῦ μέ. βιβλ. τῶν βασιλ. καί φησι τὸ ζ'. κεφ. τοῦ αὐτοῦ τίτ. Αὕτη ἡ διακατοχὴ (1) πάντας καλεῖ τοὺς συγγενεῖς, εἰ καὶ τῷ πολιτικῷ οὐ καλοῦνται· ὅθεν καὶ οἱ πορνογενεῖς ἀδελφοὶ καὶ πρὸς ἀλλήλους, καὶ πρὸς τὴν μητέρα τὴν συγγενικὴν βοήθειαν ἔχουσι, καὶ ἡ μήτηρ πρὸς αὐτούς. Τὸ αὐτὸ λέγομεν καὶ περὶ τῆς ἐλευθερωθείσης ἐγκύου δούλης. Καὶ τὸ θ'. κεφ. Ἡ τοῦ πορνογενοῦς κληρονομία οὐκ ἀνήκει τοῖς κατὰ πατέρα συγγενέσιν, οὐ γὰρ ἔχει πατέρα· τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς δίδοται ἡ συγγενικὴ βοήθεια. Καὶ ταῦτα μέν φασιν οἱ νόμοι διδάσκοντες διαφορὰν τῶν πορνικῶς συναπτομένων, καὶ λέγοντες τοὺς ἐκ πορνείας κληρονομεῖσθαι παρὰ τῶν μητρώων συγγενῶν· πατέρα δὲ ἢ πατρῴους συγγενεῖς μὴ ἐπιγινώσκειν αὐτοὺς, ἀλλὰ μόνον ἐπὶ μιᾷ οὐγγίᾳ τὸν νόθον υἱὸν κληρονομεῖν τὸν πατέρα. Οἱ δὲ περὶ γάμων νόμοι καὶ οἱ κανόνες ἐπιγινώσκουσι καὶ τὴν πορνικὴν συγγένειαν, καὶ τοὺς πορνικῶς συναπτομένους συγγενεῖς, ὡς τοὺς ἐννόμους συγγενεῖς τῇ αἱμομιξίᾳ παραπεσόντας κολάζουσι· καὶ ἀνάγνωθι τοὺς εἰς τὸ έ. κεφ. κειμένους κανόνας, καὶ τὴν ριή. νεαρὰν τοῦ βασιλέως Ἰουστινιανοῦ κειμένην ἐν τῷ τέλει τοῦ λ'. τίτ. τοῦ μέ. βιβλ. τῶν βασιλικῶν. Ἡ έ. διάτ. τοῦ νζ'. τίτ. τοῦ ς'. βιβλίου τοῦ κώδικός ἐστι κεφ. μβ'. τοῦ ά. τίτ. τοῦ μέ. βιβλίου τῶν βασιλικῶν λέγον· Εἴ τις ἔνδοξος γυνὴ υἱὸν ἀπὸ τῶν νομίμων γάμων ἔτεκε, καὶ ἄλλον πορνογενῆ ἔσχεν, ᾧ τινι πατὴρ ἄδηλός ἐστι, κατὰ ποῖον τρόπον τὰ πράγματα τὰ μητρῷα πρὸς αὐτοὺς ἔρχονται, εἴτε μόνον εἰς τοὺς νομίμους παῖδας, εἴτε καὶ εἰς τοὺς πορνογενεῖς, ἠμφιβάλλετο. Θεσπίζομεν τοίνυν, ἵνα μήτε ἐκ διαθήκης, μήτε ἐξ ἀδιαθέτου, μήτε ἀπὸ δωρεᾶς ἐν ζωῇ γενομένης, νομίμων παίδων ὑπόντων, τίποτε παντελῶς ἐκ τῶν ἐνδόξων μητέρων εἰς τοὺς πορνογενεῖς ἔλθῃ· ἐπειδὴ ἐν ταῖς γυναιξὶ ταῖς εὐγενέσι καὶ ἐνδόξοις, αἷς τισιν ἡ τῆς σωφροσύνης

(1) Χ. Τρ. Βασιλ. Β. — ἡ διαδοχὴ Ἐ.

παραφυλακὴ ἐξαίρετόν τι χρέος ἐστὶ, καὶ ὀνομάζεσθαι τοὺς πορνογενεῖς πάνυ ἄδικον, πάνυ σφοδρὸν, καὶ τῶν ἡμετέρων καιρῶν ἀνάξιον κρίνομεν, καὶ τοῦτον τὸν νόμον αὐτῇ τῇ σωφροσύνῃ, ἣν διὰ παντὸς ἐπιμελητέαν κρίνομεν, ἀξίως καθιεροῦμεν. Ἐὰν δὲ παλλακὴ ἐλευθέρας τύχης ὑπάρχουσα, υἱὸν ἢ θυγατέρα ἀπὸ θεμιτῆς συνηθείας πρὸς ἄνθρωπον ἐλεύθερον γενομένης ἔτεκε, τούτους καὶ μετὰ τῶν νομίμων παίδων εἰς τὰ μητρῷα ἐλθεῖν πράγματα, ἅτινα αὐτὴ νομίμῳ δικαίῳ καὶ ἐν ἰδίᾳ οὐσίᾳ κέκτηται, οὐδεὶς φθόνος ἐστί. Τὸ κγ'. διάτ. τοῦ έ. τίτ. τοῦ ά. βιβλ. τῶν διατ. ἐστὶ κεφ. ιθ'. τοῦ ά. τίτ. τοῦ μς'. βιβλ. λέγον· Ὁ μὲν ἐξ ἐννόμου γάμου τικτόμενος ἕπεται τῷ πατρί· ὁ δὲ πορνογέννητος, τῇ μητρί. Καὶ τὸ κδ'. κεφ. τοῦ αὐτοῦ βιβλίου καὶ τίτ. Ὁ μὴ ἀπὸ νομίμου γάμου τικτόμενος τῇ μητρὶ ἕπεται, εἰ μὴ νόμος ἰδικὸς ἕτερόν τι ὁρίζει. Ὁ ζ'. τίτλος τοῦ κέ. βιβλ. τῶν διατάξεων οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Ὁ β'. τίτ. τοῦ κγ'. βιβλ. τῶν διατάξεων ἐτέθη ἐν βιβλίῳ τῶν βασιλικῶν κή. τίτ. δ'. τὸ δὲ νέ. διάτ. τοῦ αὐτοῦ τίτ. οὐ κεῖται εἰς τὰ βασιλικά. Ὁ έ. τίτ. τοῦ μή. βιβλίου τῶν διατάξεων κεῖται ἐν βιβλίῳ τῶν βασιλικῶν ξ'. τίτ. λζ'. τὸ δὲ ιά. διάτ. οὐκ ἐξελήφθη. Φησὶ δὲ τὸ β'. θέμα τοῦ ά. κεφ. τοῦ λζ'. τίτ. τοῦ ξ'. βιβλίου· Ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παλλακευόμενος, καὶ μὴ ποιῶν ἐν ἐκμαρτυρίῳ τοῦτο κατάδηλον, ἢ γαμετὴν αὐτὴν ἔχει, ἢ τοῦτο παραιτούμενος, ἀσέλγειαν πρὸς αὐτὴν πλημμελεῖ, οὐ μὴν καὶ μοιχείαν, δηλονότι ἐν ᾧ πόρον ἐκ τοῦ ἰδίου σώματος οὐκ ἐποίησεν. Ἡ έ. διάτ. τοῦ νζ'. τίτ. τοῦ ς'. βιβλίου τοῦ κώδικος οὐκ ἐτέθη ἐξ ὁλοκλήρου εἰς τὸ κείμενον, ἄνωθεν οὖσα ἐν κεφαλαίῳ μβ'. τοῦ ά. τίτ. τοῦ μέ. βιβλ. τῶν βασιλικῶν. Τὸ β'. κεφ. τῆς ιβ'. Ἰουστινιανείου νεαρᾶς, καὶ τὸ ιγ'. κεφ. τῆς ιή. καὶ ἡ ιθ'. νεαρὰ, καὶ τὸ γ'. κεφ. τῆς οή. καὶ τὸ γ'. κεφ. τῆς πθ'. περὶ τῶν ἐκ νομίμων, καὶ τῶν ἐκ παλλακῶν, καὶ περὶ τῶν ἐκ νόθων γενομένων γνησίων παίδων διδάσκοντα, ἐτέθησαν εἰς τὸν ά. καὶ β'. τίτ. τοῦ λβ'. βιβλ. τῶν βασιλικῶν, καὶ ἀνάγνωθι τούτους.

Κείμενον.

Καὶ δούλας δὲ ἰδίας δυνάμεθα παλλακεύεσθαι. Εἴρηται γὰρ βιβλίῳ στ'. τίτ. δ'. διατ. δ'. ὅτι ἡ τῷ δεσπότῃ μέχρι τελευτῆς αὐτοῦ παλλακευθεῖσα, μὴ ἔχοντι γαμετὴν νόμιμον, ἁρπάζεται μετὰ τῶν παίδων αὐτῆς εἰς εὐγένειαν, καὶ λαμβάνει τὸ πεκούλιον, ὅπερ εἶχεν ἐν τῷ τελευτᾷν τὸν δεσπότην, πρὸς τὸ νόμιμον μέτρον· καὶ οὐκ ἔχουσι κατ' αὐτῆς πατρωνικὸν δίκαιον οἱ παῖδες, ἢ οἱ κληρονόμοι, ἢ οἱ συγγενεῖς τοῦ τελευτήσαντος. Καὶ βιβλίον ζ'. τοῦ αὐτοῦ κώδικος τίτ. ιέ. διάτ. γ'. φησὶν, ὅτι ὁ δούλην παλλακὴν μέχρι τελευτῆς ἐσχηκὼς, δύναται περιὼν ὅπερ ἐθέλει ποιεῖν ἐπ' αὐτῇ, καὶ τοῖς ὡς εἰκὸς ἐξ αὐτῆς τεχθεῖσι, καὶ ἐν τελευταίᾳ βουλήσει καταλιμπάνειν ἄλλῳ, ἢ ῥητῶς τῷ κληρονόμῳ· εἰ δὲ τελευτήσει μηδὲν εἰπὼν, ἀναρπάζονται εἰς ἐλευθερίαν καὶ οἱ ὡς εἰκὸς τεχθέντες ταύτης (1), ἐν ᾧ μὴ ἔσχεν ὁ τελευτήσας νόμιμον γαμετήν· ὁ γὰρ γεγαμημένος οὔτε ἐλευθέραν, οὔτε δούλην δύναται παλλακεύεσθαι· τὸ δὲ μοιχικὸν κινεῖται καὶ περὶ φθορᾶς παλλακῆς, ὡς βιβλίον μή. τίτ. έ. διάτ. ιά. ιγ'. Παλλακὴ δέ ἐστιν ἡ νομίμως τινὶ συζῶσα, χωρὶς γάμου· ἡ δὲ ἧττον τιμιωτέρα παράκοιτις λέγεται, ὡς βιβλίον ν'. τίτ. ις'. διάτ. ρμδ'.

Σχόλιον.

Τὸ δ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ς'. βιβλ. τοῦ κώδικός ἐστι θέμα δ'. τοῦ κή. κεφ. τοῦ ά. τίτ. τοῦ μθ'. βιβλίου οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον συνωψίσθη. Ἡ γ'. διάτ. τοῦ ιέ. τίτ. τοῦ ζ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. γ'. τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλ. λέγον οὕτως· Ἐάν τις δούλην ἔχῃ ἐν τῇ ἰδίᾳ συναφείᾳ μὴ ἔχων γαμετὴν, καὶ μείνῃ μετ' αὐτῆς μέχρι τελευτῆς, εἴτε ἔχων

(1) Χ. Τρ. — ταῦτα Ἐ. Ἰ. Β.

παῖδας ἐξ αὐτῆς, εἴτε μὴ, καὶ μηδὲν εἴπῃ περὶ αὐτῆς ἐν τῇ ἰδίᾳ διαθήκῃ, γίνεται ἐκείνη (1) ἐλευθέρα· ἀκούων δὲ ἀπὸ τοῦ παρόντος κανόνος, ὅτι γίνεται ἐκείνη ἐλευθέρα, μὴ νομίσῃς ὅτι οἱ παῖδες αὐτῆς δουλείᾳ ὑπόκεινται, ἐλευθεροῦνται γὰρ καὶ αὐτοὶ, ὡς τὸ ἀνωτέρω (2) κεφ. τοῦ μθ'. βιβλ. φησὶ, καὶ οἱ τοῦ παρόντος κεφ. παράτιτλοι. Τὸ ιϐ'. καὶ ιγ'. διάτ. τοῦ έ. τίτ. τοῦ μή. βιβλ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Τὸ ρμδ'. διάταγμα τοῦ ις'. τίτ. τοῦ ν'. βιβλ. τῶν διατάξεών ἐστι κεφ. ρμδ'. τοῦ ϐ'. τίτ. τοῦ ϐ'. βιβλ. τῶν βασιλικῶν οὕτως ἔχον· Παλλακή ἐστιν ἡ συζῶσά τινι ἐν τῷ οἴκῳ αὐτοῦ νομίμου χωρὶς γάμου· ἡ δὲ ἧττον τιμιωτέρα φίλη λέγεται.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Ἐὰν γυνὴ λαϊκοῦ μοιχευθῇ. Συνόδου Ἀγκύρας κανὼν κ'. Συνόδου Νεοκαισαρείας κανὼν ή. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λϐ'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ φθορᾶς, καὶ γάμου χήρας, καὶ τίς λέγεται χήρα. Βασιλείου κανὼν ιή. κδ'.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῶν ἐπὶ γάμῳ γυναῖκας ἁρπαζόντων, ἢ βιαζομένων, ἢ φθειρόντων παρθένους, καὶ περὶ συνιστόρων αὐτῶν. Ἀποστόλων κανὼν ξζ'. Συνόδου Ἀγκύρας κανὼν ιά. κέ. Συνόδου Χαλκηδόνος κανὼν κζ'. Συνόδου στ'. κανὼν ιϐ'. Βασιλείου κανὼν κϐ'. λ'. λγ'. λή. νγ'. Ἀνά-

(1) Χ. Τρ. — κἀκείνη Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — τὸ ἀνώτερον Ἐ. Ἰ. Β.

γνωθι τὰ παραγεγραμμένα ἐν τῷ λ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος (1) συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν παρὰ γνώμην τῶν οἰκείων γονέων ἢ δεσποτῶν γαμουσῶν. Βασιλείου κανὼν λή. μά. μβ'.

Κείμενον.

Ἡ (2) ὑπεξουσία, ἢ ὁ ὑπεξούσιος οὐ δύνανται νομίμως γαμεῖν μὴ συναινοῦντος τοῦ ἔχοντος αὐτοὺς ὑπεξουσίους, ὡς βιβλίον έ. τοῦ κώδικος τίτ. δ'. καὶ βιβλ. κγ'. τίτ. β'. εἰμὴ γεγονυῖαν τὴν θυγατέρα κέ. ἐνιαυτῶν ὑπερέθετο ζεῦξαι· τότε γὰρ ἑαυτὴν ἐλευθέρῳ ζεῦξαι δύναται, ὡς ἡ περὶ τῶν ἐπὶ κλήρῳ ἀχαριστιῶν (3) ριέ. νεαρά.

Σχόλιον.

Ὁ δὲ δ'. τίτ. τοῦ έ. βιβλ. τοῦ κώδικος ἐτέθη εἰς κεφάλαιον κζ'. τοῦ δ'. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν· οὐ κεῖται δὲ τοιοῦτον κεφάλαιον ἐν ὅλῳ τῷ τίτ. οἷον ἐντὸς ἐγράφη. Ὅτι δὲ οὐ δύναται ὑπεξούσιος, ἡ ὑπεξουσία νομίμως γαμεῖν, χωρὶς γνώμης τῶν ἐχόντων *αὐτοὺς* (4) ὑπεξουσίους, δῆλόν ἐστιν ἀπὸ κεφ. πολλῶν. Ὁ β'. τίτ. τοῦ κγ'. βιβλ. τῶν διατ. κεῖται ἐν κεφ. ά. τοῦ δ'. τίτ. τοῦ κή. βιβλ. καί φησι τὸ β' κεφ. τοῦ αὐτοῦ τίτ. Οὐ γίνεται γάμος, εἰμὴ συναινέσουσιν οἱ συναπτόμενοι, καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. Ἡ ριέ. νεαρὰ κεῖται εἰς τὸν ή. τίτ. τοῦ λέ. βιβλ. τῶν βασιλικῶν, καί φησι τὸ ιβ'. ταύτης κεφ. ταῦτα· Εἴ τινι ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ ἡ ἐγγόνῃ ἄνδρα δοῦναι, καὶ προῖκα κα-

(1) Χ. Τρ. Ἐ. — τούτου συντάγματος Ἰ. Β. — (2) Χ. Τρ. Ἐ. — ἄνευ τοῦ, ἢ Ἰ. Β. — (3) Χ. Τρ. Έ. —ἡ περὶ τῶν ἐν κλήρῳ ἀχαριστιῶν Ἰ. Β. — (4) Χ. Τρ. — οὐχ εὕρηται τὸ, αὐτοὺς ἐν Έ. Ἰ. Β.

τὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν, ἐκείνη μὴ συναινέσῃ, ἀλλ' αἰσχρὸν βίον ἐπιλέξηται· εἰδὲ καὶ μέχρι τοῦ κέ. (1) ἐνιαυτοῦ ἡλικίας ἡ θυγάτηρ γένηται, καὶ οἱ γονεῖς ὑπέρθωνται ταύτην ἀνδρὶ συνάψαι, καὶ ἴσως ἐκ τούτων συμβαίη εἰς τὸ ἑαυτῆς σῶμα ἁμαρτῆσαι, τοῦτο εἰς ἀχαριστίαν τῇ θυγατρὶ λογίζεσθαι οὐ βουλόμεθα· ἐπειδὴ οὐ τῇ ἑαυτῆς, ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα (2). Καὶ ταῦτα μὲν ἡ ἐν τοῖς βασιλικοῖς καταστρωθεῖσα νεαρά. Σὺ δὲ πρόσχες, ὅτι τὸ δύνασθαι τὴν θυγατέρα μετὰ τὸν κέ. χρόνον ἑαυτὴν ἐλευθέρῳ συζεῦξαι νόμῳ γάμου παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς οὐ προσελήφθη εἰς τὰ βασιλικά, καὶ διὰ τοῦτο οὐδὲ ἐνεργεῖ. Σημείωσαι(3) τὰ ἐν τῷ παρόντι θ'. κεφαλαίῳ γραφέντα περὶ ὑπεξουσίων θυγατέρων. Ἐπειδὴ δέ τινες εἶπον ὅτι πορνεύσασα μὲν ἡ θυγάτηρ μετὰ τὸν κέ. ἐνιαυτὸν οὐκ ἀποκληρωθήσεται κατὰ τὸ ιϐ'. κεφ. τοῦ ή. τίτ. τοῦ λέ. βιβλίου τῶν βασιλικῶν, ὅπερ καὶ κατεστρώθη ἐνταῦθα· γαμηθεῖσα δὲ ἀποκληρωθήσεται διὰ τὸ μὴ καταστρωθῆναι εἰς τὰ βασιλικὰ τὸ δύνασθαι τὴν θυγατέρα μετὰ τὸν κέ. χρόνον ἑαυτὴν συζεῦξαι ἀνδρὶ κατὰ νόμον γάμου παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς, λέγω, ὅτι ἐπεὶ ἡ αὐτὴ Ἰουστινιάνειος νεαρὰ ἡ τὰς αἰτίας ἀπαριθμουμένη, δι' ἃς δύνανται οἱ γονεῖς παῖδας ἀποκληροῦν, διορίζεται ἀποκληροῦσθαι τὸν υἱὸν παρὰ τοῦ πατρὸς μετὰ μίμων ἢ κυνηγῶν συναναστρεφόμενον, ὀφείλομεν λέγειν καὶ τὴν πόρνην καὶ τὸν γάμον ποτὲ μὲν συγγνωστέον εἶναι, ποτὲ δὲ ἀσύγγνωστον. Εἰ μὲν γὰρ ἡ θυγάτηρ κατὰ νόμον γάμου συζευχθῇ, εἴτε πρὸ τῆς τελείας ἡλικίας αὐτῆς, εἴτε μετὰ ταῦτα μετ' (4) ἀνδρὸς ἀνεπιψόγου, ὥστε μὴ τραχέως διὰ τοῦ γάμου ὑβρισθῆναι τὸν πατέρα, ὁ μὲν γάμος λυθήσεται ἐκ προσελεύσεως τοῦ πατρὸς, ὡς ἀνυπόστατος· ἡ δὲ θυγάτηρ οὐκ ἀποκληρωθήσεται, ὅπερ δὴ γενήσεται, καὶ ἐὰν ὁμοίως πορνεύσῃ· εἰ δὲ τραχεῖαν ὕβριν ἐπαγάγῃ τῷ πατρὶ, εἴτε γαμουμένη, εἴτε πορνεύουσα, (5) ἀποκληρωθήσεται. Τὸ αὐτὸ δὲ γε-

(1) Χ. Τρ. Ἑ. — κ'. Β. — (2) Χ. Τρ. Ἑ. — πλη μμελησάσῃ Β. —(3) Ἅπασα ἡ παροῦσα Σημείωσις οὐχ εὕρηται ἐν Ἑ. καὶ Ἰ. — (4) Χ. Τρ. — οὐχ εὕρηται ἡ μετὰ ἐν Β. — (5) Χ. Τρ. — πορνευούσῃ Β.

νήσεται καὶ ἐπὶ υἱοῦ. Τὰ δὲ τῆς πορνείας μετὰ διακρίσεως συζητηθήσεται· ἄλλη γάρ ἐστιν ἡ πολυχρόνιος, καὶ ἑτέρα ἡ πρόσκαιρος.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῶν πορνευουσῶν, καὶ ἀναιρουσῶν τὰ τικτόμενα, ἢ ποιουσῶν φθόρια. Συνόδου Ἀγκύρας κανὼν κά. Συνόδου στ΄. κανὼν ιά. Βασιλείου κανὼν ϛ΄. ἡ. νϐ΄.

Κείμενον.

Εἴρηται βιβλίῳ μζ΄. τίτ. ιά. διατ. δ΄. ὅτι ἡ ἐπίτηδες ἐκτρώσασα προσκαίρως ἐξορίζεται· τὸ αὐτὸ καὶ βιβλίον μή. τίτ. ή. διάτ. ή. Ἐν δὲ τῇ λθ΄. διατάξει τοῦ ιθ΄. τίτ. τοῦ μή. βιβλ. φησὶν, ὅτι ἡ ἐπὶ χρήμασιν ἐκτρώσασα κεφαλικῶς τιμωρεῖται· ἡ δὲ μετὰ διαζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα προσκαίρως ἐξορίζεται. Καὶ διάτ. λή. τοῦ αὐτοῦ τίτ. ὅτι ὁ πόμα δεδωκὼς πρὸς ἀμβλωθρίδιον, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως· ἐσχάτη δὲ τιμωρία ἐπάγεται, ἐάν τις ἀπέθανεν ἐκ τούτου· ταῦτα κἂν χωρὶς δόλου τὸ ἀμβλωθρίδιον (1) δέδωκε.

Σχόλιον.

Τὸ δ΄. διάτ. τοῦ ιά. τίτ. τοῦ μζ΄. βιβλ. τῶν διατ. ἐστὶ κεφ. δ΄. τοῦ κϐ΄. τίτ. τοῦ ξ΄. βιβλ. τῶν βασιλικῶν οὕτω λέγον ὡς εἰς τὸ κείμενον ἐγράφη. Τὸ ή. διάτ. τοῦ ή. τίτ. τοῦ μή. βιβλ. οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Τὸ λθ΄. διάτ. τοῦ θ΄. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. ἐστὶ κεφ. λθ΄. τοῦ νά. τίτ. τοῦ ξ΄. βιβλ. τῶν βασιλ. καὶ διορίζεται ὅσα ἐδηλώθησαν εἰς τὸ κείμενον. Τὸ δὲ λή. διάτ. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. ἐστὶ θέμα ς΄. τοῦ λή.

(1) Χ. Τρ. — τὸ πόμα Ἐ. Ἰ. Β.

κεφ. τοῦ νά. τίτ. τοῦ ξ'. βιβλ. *τῶν βασιλικῶν* (1) τὰ παρὰ τοῦ πατριάρχου συνοψισθέντα διεξιόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν βδελυσσομένων τὸν γάμον, καὶ κρέα, καὶ οἶνον. Ἀποστόλων κανὼν νά. Συνόδου Γάγγρας κανὼν ά. β'. δ'. θ'. Βασιλείου κανὼν κή. πέ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ λαϊκῶν ἑαυτοὺς ἀκρωτηριαζόντων. Ἀποστόλων κανὼν κβ'. κδ'. Συνόδου Νικαίας κανὼν ά. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ'. κεφ. τοῦ ά. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ λαϊκῶν ἐσθιόντων εἰδωλόθυτα, ἢ κρέα ἐν αἵματι, ἢ πνικτὰ, ἢ θηριάλωτα, ἢ θνησιμαῖα. Ἀποστόλων κανὼν ξγ'. Συνόδου Ἀγκύρας κανὼν γ'. Συνόδου Γάγγρας κανὼν β'. Συνόδου στ'. κανὼν ξζ'. Γρηγορίου τοῦ Θαυματουργοῦ ἐκ τῆς ἐπιστολῆς τῆς περὶ τῶν τὰ εἰδωλόθυτα φαγόντων κανὼν ά. Βασιλείου κανὼν πά.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ λαϊκοῦ (2) ὑβρίζοντος βασιλέα. Ἀποστόλων κανὼν πδ'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ λς'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

---

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἰ. Β. — (2) Χ. Τρ. — περὶ λαοῦ Ἑ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ ὀρθοδόξων λαμβανόντων εὐλογίας ἀπὸ αἱρετικῶν, ἢ Ἰουδαίων, ἢ συνεορταζόντων, ἢ συννηστευόντων Ἰουδαίοις· καὶ ὅτι οὐ δεῖ τῷ σαββάτῳ σχολάζειν, ἀλλὰ κατὰ τὸ δυνατὸν τῇ κυριακῇ. Καὶ περὶ τῶν εὐχομένων ἐν μοναστηρίῳ, ἢ ἐκκλησίαις αἱρετικῶν. Ἀποστόλων κανὼν ξέ. ὁ. Συνόδου Λαοδικείας κανὼν θ'. κθ'. λβ'. λδ'. λζ'. λή. λθ'. Συνόδου Καρθαγένης κανὼν ξ'. λή. λθ'. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ ιέ. κεφ. τοῦ γ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ δ'. κεφ. τοῦ ζ'. τίτ.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ'.

Περὶ λαϊκῶν πειρωμένων μὴ εἶναι τοὺς κληρικοὺς τῶν μοναστηρίων, καὶ πτωχείων, καὶ μαρτυρίων ὑπὸ τὴν ἐξουσίαν τῶν *ἐν ταῖς πόλεσιν* (1) ἐπισκόπων. Συνόδου Χαλκηδόνος κανὼν ή.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ λαϊκῶν προστιθεμένων τοῖς ἀφοριζομένοις, ἢ ἀποσχίζουσι πρεσβυτέροις, καὶ χωρὶς τῶν ἐπισκόπων αὐτῶν θυσιαστήρια πηγνυμένοις (2). Ἀποστόλων κανὼν λά. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ ἐπιόρκων, καὶ ἐν ποίοις δεῖ τοὺς ὀμνύοντας μὴ εὐορκεῖν. Βασιλείου κανὼν ί. ιζ'. κθ'. ξδ'. πδ'.

(1) Χ. Τρ.—οὐ κεῖται ἐν Ἐ. Ἰ. Β. — (2) Σ. Ῥ.—πηγνυόντων Χ. Τρ. Ἐ. Ἰ. Β.

Κείμενον.

Περὶ ἐπιόρκων εἴρηται βιβλ. ιϐ'. τίτ. ϐ'. καὶ βιϐλίῳ δ'. τοῦ κώδικος τίτ. ά. Καὶ ὁ μὲν γενικὸς λόγος βούλεται μὴ ζητεῖσθαι *περὶ*(1) ἐπιορκίας. Εἰσὶ δέ τινες ἐξαιρέσεις· εἴρηται γὰρ βιβλ. ιϐ'. τίτ. ϐ'. διατ. λά. ὅτι ἐν τοῖς ἀμφιϐόλοις εἴωθεν ὁ δικαστὴς ἐπιφέρειν ὅρκον, καὶ οὕτω ψηφίζεσθαι· ἐὰν οὖν ὁ οὕτω καταδικασθεὶς εὑρηκέναι μετὰ ταῦτα δικαιώματα λέγῃ, καὶ μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ· εἰ δὲ ὁ ἀντίδικος αὐτοῦ ἐπάγει τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις.

Σχόλιον.

Ὁ ϐ'. τίτ. τοῦ ιϐ'. ϐιϐλίου τῶν διατάξεων, διδάσκων περὶ ὅρκου ὁμοτέου, εἴτε προαιρετικοῦ, τοὐτέστιν ἐπακτοῦ, εἴτε ἀναγκαίου, εἴτε δικαστικοῦ, κεῖται ἐν τῇ ἀρχῇ τοῦ έ. τίτ. τοῦ κϐ'. ϐιϐλίου τῶν ϐασιλικῶν, καί φησι τὸ δ'. θέμα τοῦ γ'. κεφ. Καὶ γυνὴ ὀμνύουσα ἐγκυμονεῖν πέμπεται εἰς νομὴν, καὶ οὐκ ἐνάγεται μετὰ τὸν ὅρκον, ὡς κατὰ συκοφαντίαν εἰς νομὴν πεμφθεῖσα, καὶ οὐχ ὑπομένει ϐίαν ἐπὶ τῇ νομῇ. Εἰ δὲ ὁ ἀντίδικος ὀμόσει μὴ ἐγκυμονεῖν αὐτὴν, οὐ πέμπεται· πρόκριμα δὲ διὰ τῶν τοιούτων ὅρκων οὐ γίνεται τῇ ζητήσει τοῦ τοκετοῦ· ὁ γὰρ ἑτέρου ὅρκος ἄλλον οὐκ ὠφελεῖ, οὔτε ϐλάπτει. Καὶ ὁ ά. τίτ. τοῦ δ'. ϐιϐλ. τοῦ κώδικός ἐστι κεφ. μγ'. τοῦ αὐτοῦ έ. τίτ. τοῦ κϐ'. ϐιϐλίου τῶν ϐασιλικῶν καί φησιν· Ἡ δίκη ὅρκου κατὰ συναίνεσιν ἑκατέρου μέρους, ἢ τοῦ ἀντιδίκου ἐπιφέροντος, ἐπενεχθέντος καὶ παρασχεθέντος ἢ συγχωρηθέντος τμηθεῖσα, οὐδὲ τῷ προσχήματι τῆς ἐπιορκίας ἀναζητεῖσθαι δύναται, εἰ μὴ ἄρα ἰδικῶς τοῦτο νόμῳ ὑπεξαιρεῖται. Τὸ λά. διάτ. τοῦ ϐ'. τίτ. τοῦ ιϐ'. ϐιϐλ. τῶν διγέστων ἐστὶ κεφ. λά. τοῦ αὐτοῦ έ. τίτ. τοῦ κϐ'. ϐιϐλίου τῶν ϐασιλικῶν καί φησιν ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν.

---

(1) Σ. Ῥ. — ἢ περὶ οὐ κεῖται ἐν Χ. Τρ. Ἑ. Ἰ. Β.

Κείμενον.

Ἔστι δὲ εὑρεῖν βιβλίῳ δ'. τοῦ κώδικος τίτ. ά. διατ. ιγ'. καὶ ὅρκον ὁμοθέντα ἐξ ἐπαγωγῆς τοῦ ἀντιδίκου ἀναψηλαφώμενον· φησὶ γὰρ ὅτι ἐὰν ὁ ληγάτον ἀπαιτῶν, τῆς διαθήκης μὴ φαινομένης, ἐξ ἐπαγωγῆς τοῦ κληρονόμου ὀμόσῃ κεχρεωστῆσθαι, καὶ λάβῃ, μετὰ ταῦτα δὲ εὑρεθῇ μὴ κεχρεωστημένος, *ἢ κεχρεωστημένος μὲν* (1) μὴ ὀφείλων δὲ τὸ πᾶν λαβεῖν διὰ τὸν φαλκίδιον, ἀναδίδωσιν.

Σχόλιον.

Ἐμνήσθημεν *ὄπισθεν* (2) νόμου διδάσκοντος μὴ ἀναψηλαφᾶσθαι τὸν δοθέντα ὅρκον· ἔτι ἐμνήσθημεν καὶ ἑτέρου νόμου, ἤτοι τοῦ λά. διατ. τοῦ έ. τίτ. τοῦ κβ'. βιβλ. τοῦ διδάσκοντος ἀναψηλαφᾶσθαι (3) τὸν δοθέντα ὅρκον. Διορίζονται δὲ καὶ κανόνες τοῦ ἁγίου Βασιλείου διάφοροι κολάζεσθαι μεγάλως τοὺς ἐπιόρκους. Ζητητέον *γοῦν* (4) πότε ἀναψηλαφᾶται ὁ δοθεὶς ὅρκος, ὥστε καὶ χώραν ἔχειν τὰ κανονικὰ ἐπιτίμια κατὰ τῶν ἐπιορκούντων, καὶ πότε οὔ. Φαμὲν τοίνυν ὡς κυρίως ὅρκοι τέσσαρές εἰσιν, ὁ βουλουμτάριος, ἤτοι ὁ κατὰ θέλησιν τῶν μερῶν ἔξωθεν τοῦ δικαστηρίου διδόμενος· ὁ νεκεσσάριος, ὁ ἐξ ἐπαγωγῆς τοῦ ἐνάγοντος καὶ ἀποφάσεως τοῦ δικαστοῦ διδόμενος· ὁ ἰουδικάλιος, ὁ ἀπὸ κρίσεως δικαστικῆς καὶ μὴ θελόντων (5) τῶν δικαζομένων τὴν ἀμφιβολίαν τέμνων· καὶ ὁ ἰνλίτεμ, ἤτοι ὁ ἔνδικος, ὁ παριστῶν τὴν τοῦ ἐπιδίκου πράγματος ἀποτίμησιν εἰς ῥητὴν ποσότητα, ὅτε κατὰ δόλον ἢ ἀπείθειαν τοῦ ἐναγομένου τὸ τοιοῦτον πρᾶγμα μὴ δίδοται· ἔστι καὶ ὁ περὶ καλουμνίας, ἤτοι ὁ συκοφαντικός. Καὶ ὁ μὲν βουλουμτάριος οὐδέποτε ἀναψηλαφᾶται· ὁ δὲ νεκεσσάριος ἀναψηλαφᾶται ἐπὶ ἑνὸς καὶ μόνου θέματος, ἤτοι τοῦ τελευταίου κεφ. τοῦ έ. τίτ. τοῦ κβ'. βιβλίου. Κἂν γὰρ ὁ Κωβίδης καὶ ὁ Στέφανος

---

(1) Σ. Ῥ.—οὐ κεῖται ἐν Χ. Τρ. Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — ἐπεὶ δὲ ἐμνήσθημεν νόμου Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. Ἑ. — οὐκ ἀναψηλαφᾶσθαι Ἰ. Β. — (4) Χ. Τρ. — οὐχ εὕρηται ὁ γοῦν ἐν Ἑ. Ἰ. Β. — (5) πολλάκις Ἑ. Ἰ. Β.

ἑρμηνεύοντες τὸ λά. κεφ. τοῦ πέμπτου τίτ. τοῦ κϐ'. βιϐλ. φασὶ μόνον τὸν βουλουμτάριον μὴ ἀναψηλαφᾶσθαι, τὸν δὲ νεκεσσάριον καὶ τοὺς λοιποὺς ἀναψηλαφᾶσθαι· ἀλλὰ σὺ τῇ τοιαύτῃ ἑρμηνείᾳ μὴ προσχῇς πρὸς τὰ δίγεστα γεγραμμένῃ· τὸ γὰρ μγ'. κεφ. τοῦ έ. τίτ. τοῦ κϐ'. βιϐλ. διάταγμα ὂν ά. τοῦ ά. τίτ. τοῦ δ'. βιϐλ. τοῦ κώδικος, καὶ λέγον οὕτω· Δίκη ὅρκου κατὰ συναίνεσιν ἑκατέρου μέρους, ἢ τοῦ διαδίκου ἐπιφέροντος ἐπενεχθέντος, καὶ παρασχεθέντος, ἢ συγχωρηθέντος τιμηθεῖσα, οὐδὲ τῷ προσχήματι τῆς ἐπιορκίας ἀναζητεῖσθαι δύναται, εἰμὴ ἄρα ἰδικῶς τοῦτο τῷ νόμῳ ὑπεξαιρεῖται, ἀνεῖλε τὴν ἑρμηνείαν τοῦ Κωϐίδου καὶ τοῦ Στεφάνου πρὸς τὰ δίγεστα συγγραφεῖσαν. Οἱ μέντοι λοιποὶ ὅρκοι ἀναψηλαφῶνται, καινῶν εὑρισκομένων δικαιωμάτων, καθὼς τοῦτό φησι τὸ διαληφθὲν λά. κεφ. Τούτων γοῦν οὕτως ἐχόντων, μὴ εἴπῃς πάντα ὅρκον ἀναψηλαφᾶσθαι, ὥστε τοὺς ἴσως εὑρισκομένους ἐπιόρκους κολάζεσθαι διὰ κανονικῶν ἐπιτιμίων· ἀλλ' εἰπὲ κατὰ τὴν τῶν νόμων περίληψιν ἐκείνους ὡς ἐπιόρκους τιμωρεῖσθαι δι' ἐπιτιμίων, τοὺς κατακεκριμένους (1) ἀπὸ ἀναψηλαφήσεως ὅρκου. Οὕτω συμϐίϐασον τοὺς κανόνας, ὅτι καὶ ὁ ἅγιος Βασίλειος ἐπὶ μὲν τοῖς κατὰ συναίνεσιν διδομένοις ὅρκοις οὐ τρακταΐζει τὰ τῆς ἐπιορκίας, ἀλλὰ διορίζεται ἔχειν τοὺς ὁμωμοκότας τὸ θεῖον τιμωρόν· ἐπὶ δὲ τοῖς λοιποῖς ζήτησιν ποιεῖται ἐπιορκίας, καὶ ἐπιτίμια δίδωσιν. Ὑπέξελέ μοι τοὺς παρά τινων γινομένους ὅρκους διὰ μικροψυχίαν, μήτε ἐξ ἐπαγωγῆς ἀντιδίκου, μήτε ἐξ ἀνάγκης δικαστικῆς, ὡς ὅταν τις ὀμόσῃ μὴ φαγεῖν κρέα, ἢ ἐν Ἱεροσολύμοις ἀπελθεῖν, ἢ ἕτερόν τι ποιῆσαι ἀγαθὸν, καὶ μὴ ποιήσῃ τοῦτο. Ὡσαύτως καὶ ὅταν τις ἐξομόσηται τόδε τι ποιῆσαι κακὸν, καὶ ἀθετήσῃ αὐτό· τηνικαῦτα γὰρ οὐ κολασθήσεται μὲν ὡς ἐπίορκος, ἄλλως δέ πως παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου ἰατρευθήσεται. Ἡ ιγ'. διάτ. τοῦ ά. τίτ. τοῦ δ'. βιϐλ. τοῦ κώδικός ἐστι τελευταῖον κεφ. τοῦ έ. τίτ. τοῦ κϐ'. βιϐλ. τῶν βασιλικῶν, καὶ ἐδηλώθησαν τὰ περὶ τούτου εἰς τὸ προλαϐὸν σχόλιον. (2).

---

(1) κατακρινομένους X, Τρ. — (2) ὄπισθεν X, Τρ.

Κείμενον.

Ἡ δὲ περὶ τῆς καθαρότητος τῶν ὅρκων τῶν δικῶν διαλαμβάνουσα ρκδ'. νεαρὰ δίδωσιν ἄδειαν ἐντὸς δ'. μηνῶν ἀναψηλαφᾶσθαι, ἤγουν ἐλέγχεσθαι τὸ ψεῦδος τοῦ ὀμόσαντος. Εἴρηται δὲ καὶ βιβλ. ιϐ'. τίτ. ϐ'. διατ. ιγ'. ὅτι ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὀμόσας, καὶ ἐπιορκήσας τυχὸν, ὅτι οὐ χρεωστεῖ, ἢ ὅτι χρεωςεῖται, ἢ ὅτι (1) δίδωσιν εἴσω προθεσμίας, ῥοπαλίζεται. Ἐν δὲ τῷ ϐ'. βιβλίῳ τοῦ κώδικος τίτ. δ'. διατ. μά. φησὶν, ὅτι ὁ τέλειος τὴν κατὰ τοῦ Θεοῦ ἢ τοῦ βασιλέως ἑνωμότως χωρὶς ἀνάγκης γενομένην παρ' αὐτοῦ διάλυσιν παραϐαίνων, ἐν τῷ προσιέναι βασιλεῖ ἢ ἄρχουσιν, ἢ μὴ ποιεῖν τὰ δόξαντα, ἀτιμοῦται, καὶ τῆς ἀγωγῆς ἐκπίπτει, καὶ ὧν ἔμελλεν ἐκ τῆς διαλύσεως κερδαίνειν, καὶ δίδωσι τὴν ὁρισθεῖσαν ποινὴν, καὶ πάντα λαμϐάνουσιν οἱ ἐμμένοντες. Καὶ διάτ. μϐ'. ὅτι ἐὰν ἀπὸ πλαστῶν δικαιωμάτων πάκτον ἢ διάλυσις γένηται, καὶ ὅρκον ἔχῃ προσκείμενον, ἀνατρέπεται, κἂν χρηματικῶς ἐζητήθη *τὸ* (2) πλαστὸν, εἰ μὴ καὶ ἐπ' αὐτῷ γέγονε διάλυσις.

Σχόλιον.

Ἡ ρκδ'. Ἰουστινιάνειος νεαρὰ κεῖται ἐν βιβλίῳ ζ'. *τῶν βασιλικῶν* τίτ. δ'. κεφ. ς'. καταστρωθέντι εἰς τὴν ἑρμηνείαν τοῦ ιέ. κανόνος τῆς ἐν Καθαργένῃ συνόδου· καὶ ἀνάγνωθι καὶ τοῦτο περὶ ἰουδικαλίου ὅρκου διαλαμϐάνον, κἀντεῦθεν ἀναψηλαφωμένου. Τὸ ιγ'. διάτ. τοῦ ϐ'. τίτ. τοῦ ιϐ'. βιβλ. τῶν διατάξεών ἐστι θέμα τελευταῖον τοῦ ιγ'. κεφ. τοῦ έ. τίτ. τοῦ κϐ'. βιβλ. οὕτως ἔχον ὡς εἰς τὸ κείμενον ἐγράφη. Ἡ μά. διάτ. τοῦ δ'. τίτ. τοῦ ϐ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. νή. τοῦ ϐ'. τίτ. τοῦ ιά. βιβλ. λέγον ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Πλὴν καὶ τὸν τοιοῦτον ὅρκον ἰουδικάλιον εἶπε (3)· διὰ γὰρ τοῦτο καὶ ἐξ

---

(1) Σ. Ῥ. Βασιλ. — οὐ δίδωσι Χ. Τρ. Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — πλαστὸν Ἑ. Ἰ. Β. — (3) Χ. Τρ — εἶπὲ Ἑ. Ἰ. Β.

ἀθετήσεως αὐτοῦ σὺν τῇ ζημίᾳ καὶ ἀτιμίᾳ ἐπακολουθεῖ. Ἡ μβ'. διάτ. τοῦ αὐτοῦ βιβλ. καὶ τίτ. ἐστὶ κεφ. νθ'. τοῦ β'. τίτ. τοῦ ιά. βιβλ. οὕτως ἔχον ὡς ἐγράφη.

Κείμενον.

Καὶ βιβλ. δ'. τοῦ κώδικος τίτ. ά. διάτ. β'. ὅτι εἰ καὶ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως κατὰ θερμότητά τις ὀμόσας ἐπιορκήσει, οὐ βασανίζεται, οὔτε καθοσιώσει ὑπόκειται. Καὶ βιβλ. θ'. τοῦ κώδικος τίτ. ή. διάτ. β'. ὅτι ὁ διὰ παντὸς ὀργίζεσθαι τῷ οἰκείῳ δούλῳ ὀμόσας οὐχ ὑπόκειται καθοσιώσει παυσάμενος τῆς ὀργῆς. Λέγει δὲ καὶ βιβλ. β'. τίτ. ιδ'. διάτ. ζ'. ὅτι παρὰ τὰ κοινὰ νόμιμα πακτεύειν *ἢ ληγατεύειν* (1) οὐκ ἔξεστι· καὶ ἐάν τις ἐπὶ τούτοις ὀμόσῃ μὴ ἐνάγειν, οὐκ ἔῤῥωται. Ἡ δὲ περὶ τῶν σκηνικῶν νά. νεαρά φησιν, ὅτι αἱ σκηνικαὶ, κἂν ὀμόσωσιν ὡς οὐκ ἀποστήσονται τῆς πορνείας, ἀναχωροῦσι μὴ φοβούμεναι τὴν ἐκ τῆς ἐπιορκίας (2) ποινήν· καὶ κανονικῶς προστίθησιν, ὅτι ἐπὶ τοῖς αἰσχροῖς οὐ δεῖ τὸν ὅρκον φυλάττειν.

Σχόλιον.

Ἡ β'. διάτ. τοῦ ά. τίτ. τοῦ δ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. μδ'. τοῦ έ. τίτ. τοῦ κβ'. βιβλ. τῶν βασιλ. οὕτως ἔχον· Οὐδεὶς κατὰ Θεοῦ ὀμόσας κινδυνεύει· ἱκανὸς γὰρ ὁ ὅρκος ἔχει τιμωρὸν τὸ θεῖον, εἰ γέγονε κατὰ Θεοῦ. Εἰ δὲ κατὰ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις συγχωρεῖται. Ὅρα (3) οὖν ὅτι κἂν τὸ κεφ. διελάμβανε πρότερον τὸν κατὰ θερμότητα ὀμόσαντα κατὰ βασιλέως, ἤτοι εἰς ὄνομα βασιλέως, μὴ ὑποκεῖσθαι καθοσιώσει (4), ἀλλ' ὁ τὰ βασιλικὰ ἐκθέμενος τελείως συγχωρεῖσθαι τοῦτον εἶπε· τὸν δέ γε μὴ διὰ θερμότητα ἐπιορκήσαντα λέγει ῥοπαλίζεσθαι κατὰ τὸ τελευταῖον θέμα τοῦ ιγ'. κεφ. τοῦ αὐτοῦ

(1) Χ. Τρ. Σ. Ῥ.—(2)Σ. Ῥ.—τὴν ἐκ τῆς πορνείας Χ. Τρ. Ἑ. Ἰ. — (3) Χ. Τρ. — ἄρα οὖν Ἑ. Ἰ. Β. — (4) τὸ Χ. Τρ. προσθέτει, μηδὲ βαπτίζεσθαι, ἴσως ἀντὶ μηδὲ βασανίζεσθαι.

τίτ. καὶ βιβλίου οὕτως ἔχον· Ὁ ἐπὶ χρήμασι κατὰ βασιλέως ὀμόσας καὶ ἐπιορκήσας ὅτι οὐ χρεωστεῖ, ἢ χρεωστεῖται, ἢ ὅτι δίδωσιν εἴσω προθεσμίας, ῥοπαλίζεται. Τὰ δὲ περὶ τοῦ ἔχειν τὸν ἐπίορκον τιμωρὸν τὸ θεῖον γραφέντα εἰς τὸ ῥηθὲν μδ'. κεφ. ἑρμήνευσον κατὰ τὸ ὄπισθεν γραφὲν παρ' ἡμῶν μέγα σχόλιον, καὶ εἰπὲ, ὅτι ὁ τοιοῦτος ὅρκος βουλουμτάριος ἦν ἢ νεκεσσάριος· ὁ γὰρ *ἀπὸ* (1) μὴ τοιούτου ὅρκου ἐπιορκήσας μεγάλως κολάζεται· καὶ ζήτει τὸν πά. κανόνα τοῦ μεγάλου (2) Βασιλείου, καὶ τὸ τελευταῖον κεφ. τοῦ λή. τίτ. τοῦ ξ'. βιβλίου, καὶ τὸ δ'. κεφ. τοῦ λ'. τίτ. τοῦ αὐτοῦ βιβλίου, καὶ ἑρμήνευσον καθὼς εἴπομεν καὶ εἰς τὸ ῥηθὲν σχόλιον, ἄλλως καὶ ἄλλως κολάζεσθαι τοὺς διὰ θερμότητα ἐπιορκήσαντας καὶ τοὺς μὴ τοιούτους. Ἡ δ'. διάτ. τοῦ ή. τίτ. τοῦ θ'. βιβλ. τοῦ κώδικός ἐστι κεφάλ. ιέ. τοῦ λς'. τίτ. τοῦ ξ'. βιβλ. οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον ἐγράφη. Εἰπὲ οὖν καὶ περὶ τούτου ὅτι εἰ μὲν κατὰ θερμότητα ὤμοσεν οὐχ ὑπόκειται, εἰ δὲ μὴ, ὑπόκειται, ὡς ἄνωθεν εἴρηται. Τὸ ζ'. διάτ. τοῦ ιδ'. τίτ. τοῦ δ'. βιβλ. τῶν διατ. ἐστὶ θέμα ιγ'. τοῦ ά. τίτ. τοῦ ιά. βιβλ. τῶν βασιλικῶν, οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον ἐδηλώθη· εἰπὲ τοίνυν ἀπὸ τοιούτου ὅρκου μηδένα κολάζεσθαι ὡς ἐπίορκον, διὰ τὸ προφανῶς εἶναι τοῦτον παράνομον καὶ ἀνυπόστατον, καὶ ὡς μηδὲ γενόμενον λογίζεσθαι. Ἡ νά. νεαρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ ἐτέθη εἰς τίτ. λή. τοῦ ξ'. βιβλ. τῶν βασιλικῶν, κωλύουσα πᾶσαν πορνοβοσκίαν· ἐν δὲ τῷ τέλει τοῦ τίτ. ἐστὶ κεφ. οὕτως ἔχον· Ἡ ἐπὶ σκηνῆς σῦσα γυνὴ, κἂν ὀμόσῃ καὶ ἐγγύας δώσῃ μὴ ἀναχωρεῖν τῆς πορνείας, ἀκινδύνως ἀφίσται, καὶ εἰ ἀπαιτήσει τις τὰς τοιαύτας ἐγγύας, ὑπόκειται τῷ τῆς ἐπιορκίας ἐγκλήματι, καὶ προστιμοῦται ί. λιτρῶν χρυσοῦ. Σημείωσαι οὖν τὸ κεφ. διδάσκον τὴν μὲν ἐπιορκήσασαν μὴ τιμωρεῖσθαι, τὸν δὲ τιμωροῦντα αὐτὴν διὰ τὴν ἐπιορκίαν, ὡς ἐπίορκον τιμωρεῖσθαι· ὅπερ ἐστὶ καινόν. Ἔτι σημείωσαι ὅτι ἔγκλημά ἐστιν ἡ ἐπιορκία, καὶ οἶομαι τὸ δεπεκουλάτους.

---

(1) Χ. Τρ. — (2) Χ. Τρ. — τοῦ ἁγίου Ἐ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν ὀμνυόντων ὅρκους ἑλληνικούς. Συνόδου ἕκτης κανὼν ιδ'. Βασιλείου κανὼν πά.

Κείμενον.

Ἐν τῷ έ. διατάγματι τοῦ β'. τίτ. τοῦ ιβ'. βιβλίου φησίν, ὅτι καλῶς ἐπιφέρω σοι κατὰ τῆς σωτηρίας σου ὀμόσαι· πᾶς γὰρ θεμιτὸς ὅρκος ἐξ ἐπαγωγῆς ὁμοθεὶς φυλάττεται· καὶ ὅν τις *ὀμόσει* (1) κατὰ τὴν ἰδίαν θρησκείαν· ὁ δὲ κατ' ἀδοκίμου θρησκείας ὁμοθεὶς ὅρκος οὐ φυλάττεται.

Σχόλιον.

Τὸ έ. διάτ. τοῦ β'. τίτ. τοῦ ιβ'. βιβλ. τῶν διατ. ἐστὶ κεφάλαιον έ. ιά. καὶ γ'. τοῦ έ. τίτ. τοῦ κβ'. βιβλ. τῶν βασιλικῶν, τὰ αὐτὰ λέγον.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ ἀποστατῶν, καὶ θυτῶν, καὶ μάγων, καὶ ἐπαοιδῶν, καὶ ἀστρολόγων, καὶ μαθηματικῶν, καὶ μάντεων, καὶ περιάπτων. Ἀποστόλων κανὼν ξβ'. Συνόδου Νικαίας κανὼν ιά. ιβ'. Συνόδου Ἀγκύρας κανὼν γ'. δ'. έ. στ'. ή. θ'. ιβ'. κδ'. Συνόδου Λαοδικείας κανὼν λς'. Συνόδου Καρθαγένης κανὼν μέ. Συνόδου στ'. κανὼν ξά. ξέ. Πέτρου Ἀλεξανδρείας κανὼν ά. β'. γ'. δ'. έ. στ'. ζ'. ή. θ'. ί. ιά. ιβ'. ιγ'. ιδ'. Βασιλείου κανὼν ζ'. ή. μδ'. ξέ. ξς'. οβ'. ογ'. πά. πγ'. Γρηγορίου Νύσσης κανὼν ά. β'. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ κέ. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

(1) Χ. Τρ. καὶ Σ. Ρ.,— οὐχ εὕρηται τὸ, ὀμόσει ἐν Ἑ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ σκηνικῶν, καὶ μίμων, καὶ τῶν ὁμοίων μετανοούντων. Συνόδου Καρθαγένης κανὼν μέ. ξγ'. Συνόδου στ'. κανὼν νά.

Κείμενον.

Ἡ λγ'. διάτ. τοῦ δ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος, καὶ ἡ κγ'. καὶ κθ'.(1) τοῦ δ'. τίτ. τοῦ έ. βιβλ. καὶ ἡ λβ'. καὶ ἡ μς'. μεγάλας ποινὰς ἐπιφέρουσι τοῖς πορνοβοσκοῖς, καὶ τοῖς ἀναγκάζουσι δούλας ἢ ἐλευθέρας συνεῖναι μίμοις, ἢ θεάτροις προίστασθαι, καὶ διδόασιν ἄδειαν αὐταῖς ἀναχωρεῖν, καὶ μετὰ προικῴων (2) ζεύγνυσθαι καὶ ἀξιωματικοῖς εἰ δυνηθεῖεν, καὶ τῆς ἀτιμίας ἀπαλλάττεσθαι. Περὶ δὲ σκηνικῶν, καὶ θεωρείων, καὶ πορνοβοσκῶν, ἰδικός ἐστι τίτ. ὁ μά. τοῦ ιά. βιβλίου τοῦ κώδικος. Σκηνὴ δέ ἐστιν, ἔνθα τις ἵσταται, ἢ κινεῖται, σκηνικὴν ἐπιδεικνύμενος τέχνην, εἴτε ἐν δημοσίῳ, ἢ ἰδιωτικῷ τόπῳ, ἢ ἀγρῷ, ἔνθα μέν τοι οἱ ἄνθρωποι χύδην διὰ θέαν εἰσίασιν· ἄτιμοι δέ εἰσι πάντες οἱ διὰ πόρον εἰς ἀγῶνα κατιόντες, καὶ οἱ διὰ φιλοτιμίαν ἐπὶ σκηνῆς προϊόντες. Ὁ δὲ μισθώσας ἑαυτὸν εἰς παιγνικὴν τέχνην, καὶ μὴ ἐπιδειξάμενος, οὐκ ἀτιμοῦται· καὶ ὁ ἑαυτὸν μισθώσας εἰς τὸ θηριομαχῆσαι, εἰ μὴ τὸ θηρίον τυχὸν λέων ἦν, ἢ ἄλλο τι, καὶ ἥμερον γέγονεν· οὐ μὴν ὁ ἄνευ μισθοῦ θηριομαχήσας, εἰ μὴ λαβεῖν ἐν τῷ κυνηγίῳ φιλοτιμίαν ἠνέσχετο. Ὁ δὲ μισθώσας ἑαυτὸν, κἂν μὴ θηριομαχήσῃ, ἀτιμοῦται· οὐ μὴν ὁ μισθὸν λαμβάνων ἐπὶ τῷ καταπολεμῆσαι θηρίον ἔξωθεν κυνηγίου τὴν ἐπαρχίαν βλάπτον. Οὐκ ἔστι δὲ παιγνικὴ τέχνη, οὔτε ἀτιμοποιὸς ἡ τῶν ἀθλητῶν, καὶ τῶν λεγόντων ἐν τοῖς Ὀλυμπίοις τὰ ἐνθύρια (3), καὶ τῶν ἐν ξυστῷ

(1) Χ. Τρ. — ρκγ'. ρκθ'. Ἑ. Ἰ. Β. — (2) Χ. Τρ. — μετὰ πρωικῶν Ἑ. Ἰ. Β. — (3) τὰ ἐνθόρα Χ. Τρ.

ἀγωνιζομένων, καὶ τῶν ἡνιόχων, καὶ τῶν ἄλλως ὑπουργούντων ἐν τοῖς ἱεροῖς ἀγῶσι, καὶ τῶν ραινόντων ὕδωρ τοῖς ἵπποις, καὶ τῶν βραβευτῶν. Προαγωγός ἐστιν ὁ πόρον αἰσχρὸν ἀπὸ δούλων ἢ ἐλευθέρων ποιούμενος, εἴτε πρωτοτύπως τοῦτο πραγματεύεται, εἴτε προσχήματι πραγματείας ἑτέρας ἔχει τὰ τοιαῦτα πρόσωπα, ὡς κάπηλος, ἢ πανδοχεύς, ἢ βαλανεύς· καὶ ὁ γενόμενος ἐν δουλείᾳ προαγωγὸς ἀτιμοῦται μετὰ τὸ ἐλευθερωθῆναι· ταῦτα πάντα κεῖται ἐν βιβλ. γ'. τίτ. ά. διατ. ά. καὶ τίτ. β'. διατ. δ'. καὶ βιβλ. κγ'. τίτ. β'. διάτ. μή. πορνοβοσκὸς δέ ἐστι καὶ ὁ πορνευθεῖσαν τὴν ἰδίαν γαμετὴν μὴ ἀπολύσας, οὐ μὴν ὁ μόνον (1) ὑποπτεύσας, ὡς βιβλ. θ'. τοῦ κώδ. τίτ. θ'. διάτ. β'.

Σχόλιον.

Ὁ δ'. τίτ. τοῦ ά. βιβλ. τοῦ κώδικος, καὶ ὁ δ'. τίτ. τοῦ έ. βιβλ. τοῦ κώδικος ἐξελήφθησαν ἐν βιβλ. τῶν βασιλικῶν κή. τίτ. ά. αἱ δὲ διατάξεις αὗται οὐκ ἐτέθησαν εἰς τὰ βασιλικά. Ὁ μά. τίτ. τοῦ ιά. βιβλ. τοῦ κώδικός ἐστι τίτ. λζ'. τοῦ νδ'. βιβλ. τῶν βασιλικῶν, καὶ ἔχει τὸ ά. αὐτοῦ κεφ. οὕτως· Ἐπιτελείσθωσαν μὲν οἱ ἀγῶνες ἀκωλύτως τοῦ λοιποῦ· μηδεὶς δὲ ἀγωνιζέσθω ἄκων· ἐκόντας γὰρ βουλόμεθα δαπανᾶν· ἀνάγνωθι καὶ κεφ. β'. καὶ γ'. Ὁ ά. τίτ. τοῦ γ'. βιβλ. τῶν διατάξεών ἐστι βιβλ. ή. τῶν βασιλικῶν τίτ. ά. Ὁ β'. τίτ. τοῦ κγ'. βιβλ. τῶν διατ. ἐστὶ βιβλ. κά. τῶν βασιλικῶν τίτ. β'. Ὁ β'. τίτ. τοῦ κγ'. βιβλ. ἐτέθη εἰς βιβλ. κή. τῶν βασιλικῶν τίτ. έ. Τὸ δὲ μή. διάτ. αὐτοῦ οὐκ ἐτέθη εἰς τὰ βασιλικά. Φησὶ δὲ τὸ τελευταῖον θέμα τοῦ β'. κεφ. τοῦ β'. τίτ. τοῦ κά. βιβλ. Σκηνή ἐστιν, ἔνθα τις ἵσταται, καὶ ἐφεξῆς ὅσα εἰς τὸ κείμενον ἐγράφησαν χάριν τῶν σκηνικῶν. Τὸ ή. θ'. καὶ ί. θέμα τοῦ ά. κεφ. τοῦ ά. τίτ. τοῦ ή. βιβλ. τῶν βασιλικῶν φησὶ χάριν τῶν θηριομάχων ὅσα εἰς τὸ κείμενον συνωψίσθησαν. Τὸ μὴ εἶναι ἀτιμοποιὸν τὴν τύχην τῶν ἀθλητῶν ἐστι κεφ. δ'. τοῦ β'. τίτ. τοῦ κά. βιβλ. τῶν βασιλικῶν, καὶ τὸ, προαγωγός ἐστιν ὁ πόρον τοιοῦτον, καὶ τὰ ἑξῆς, εἰσὶ

(1) Σ. Ρ. — τὸ, ὁ μόνον οὐ κεῖται ἐν Ἑ. Ἱ. Β.

θέματα β'. καὶ γ'. τοῦ αὐτοῦ κεφ. οὕτω ῥητῶς ἔχοντα ὡς κατεστρώθησαν εἰς τὸ κείμενον. Ἐρωτήσει δέ τις διατί ὁ μὲν μισθώσας ἑαυτὸν εἰς παιγνικὴν τέχνην καὶ μὴ ἐπιδειξάμενος οὐκ ἀτιμοῦται, ὁ δὲ μισθώσας ἑαυτὸν εἰς τὸ θηριομαχῆσαι, κἂν μὴ θηριομαχήσῃ, ἀτιμοῦται. Ἐπὶ μὲν τῆς παιγνικῆς τέχνης τὸ ἔργον ἐπάγει τὴν ἀτιμίαν, οὐ μὴν ὁ σκοπός· καὶ τοῦτο δηλοῦται ἀπὸ τοῦ ἀτιμοῦσθαι καὶ τὸν μὴ ἐπὶ μισθῷ ἀλλὰ κατὰ φιλοτιμίαν ἐπιδειξάμενον παιγνικὴν τέχνην. Ἐπὶ δὲ τοῦ θηριομαχοῦντος οὐ τὸ ἔργον μισεῖται, ἀλλ' ὁ σκοπός· θηριομαχοῦσι γὰρ καὶ βασιλεῖς, καὶ στρατιῶται τὴν οἰκείαν γενναιότητα ἐπιδεικνύμενοι· καὶ διὰ τοῦτο ὁ μὲν διὰ μισθὸν καὶ αἰσχροκέρδειαν προδοὺς τὴν οἰκείαν ζωὴν, κἂν μὴ θηριομαχήσῃ, ἀτιμοῦται· ὁ δὲ λαβὼν χρήματα χάριν τοῦ ἐπιδείξασθαι παιγνικὴν τέχνην, εἰ μὴ ἐπιδείξηται αὐτὴν οὐκ ἀτιμοῦται. Ὁ θ'. τίτ. τοῦ θ'. βιβλίου τοῦ κώδικος ἐτέθη εἰς βιβλ. ξ'. τῶν βασιλικῶν τίτ. λζ'. κεφ. μή. ἡ δὲ β'. διάτ. παρελείφθη· κεῖται δὲ ὅμοιον ἐν βιβλ. δ'. τοῦ κώδ. τίτ. ζ'. διατάξει ε. τῶν δὲ βασιλικῶν βιβλίῳ κδ'. τίτ. β'. καὶ κεφ. ιδ'. οὕτως ἔχοντι κατὰ τὰς ἀρχάς· Ὁ εἰδὼς πορνεύεσθαι τὴν αὐτοῦ γυναῖκα, καὶ σιωπῶν, πορνοβοσκίαν ποιεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ θεωρίων καὶ παιγνίων. Συνόδου Καρθαγένης κανὼν ιέ. ξ'. ξά. Συνόδου στ'. κανὼν νά. νβ'. ξβ'. ξέ. οά. ϛ'. ρ'.

Κείμενον.

Πῶς τὰ θεώρια τελοῦνται, καὶ πῶς γίνεται ἡ δαπάνη αὐτῶν, καὶ ὅτι δύναται ὁ ἄρχων τὰ θεωρικὰ πρὸς καιρὸν ἀφορίζειν εἰς ἀνανέωσιν τειχῶν, εἴρηται βιβλ. ιά. τοῦ κώδικος τίτ. μά. μβ'. μέ. καὶ μς'. Ὁ δὲ μδ'. τίτ. ἀναιρεῖ τὴν θέαν τῶν μονοχάχων.

Σχόλιον.

Ὁ μά. τίτ. τοῦ ιά. βιβλ. τοῦ κώδικός ἐστι τίτ. λζ'. τοῦ νδ'. βιβλ. τῶν βασιλικῶν, καὶ ἐδηλώθη τὰ περὶ τούτου ὄπισθεν. Ὁ μὲν τίτ. μβ'. τοῦ αὐτοῦ βιβλ. κεῖται εἰς τίτ. λή. τοῦ ῥηθέντος νδ'. βιβλ. τῶν βασιλικῶν, πλὴν τὰ τούτου κεφ. εἰς τὰ βασιλικὰ οὐκ ἐτέθησαν. Οὐδὲ ὁ μδ'. τίτ. οὐδὲ ὁ μέ. οὐδὲ ὁ μς'. Τοῦ δὲ μά. τὰ μὲν έ. κεφ. τὰ πρῶτα ἐτέθησαν, ὡς εἴρηται, εἰς τὸν λζ'. τίτ. τοῦ νδ'. βιβλ. τὰ δὲ λοιπὰ ἐτέθησαν εἰς τὸν λή. τίτ. τοῦ ξ'. βιβλ. τῶν βασιλικῶν, περὶ πορνοβοσκῶν διδάσκοντα, καὶ παρακελευόμενα ἐλευθεροῦσθαι διὰ τοῦ κατὰ χώραν ἐπισκόπου τοὺς ἀναγκαζομένους δούλους ποιῆσαί τι αἰσχρόν· καὶ ἀνάγνωθι τὸν ὅλον τίτλον, καὶ τὴν ἐν αὐτῷ Ἰουστινιάνειον νεαρὰν κολάζουσαν μεγάλως τὸ τῆς πορνείας ἐπιτήδευμα, καὶ πάντα πορνοβοσκόν.

ΚΕΦΑΛΑΙΟΝ. ΚΓ'.

Περὶ κλεπτῶν, καὶ τυμβωρύχων, καὶ λῃστῶν, καὶ ἱεροσύλων. Βασιλείου κανὼν ξά. ξς'. Γρηγορίου Νύσσης κανὼν ζ'. ή. θ'. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ κζ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

Κείμενον.

Περὶ δὲ λῃστῶν εἴρηται βιβλ. μή. τίτ. ιθ'. διατ. κή. ὅτι οἱ τὰς ἐφόδους ποιοῦντες διὰ τὸ πραιδεῦσαι, ἐοίκασι τοῖς λῃσταῖς· καὶ ἐὰν τοῦτο ποιῶσι μετὰ σιδήρου, καὶ πολλάκις, καὶ ἐν ταῖς ὁδοῖς, εἰς κεφαλὴν κολάζονται· οἱ δὲ λοιποὶ ἐξορίζονται, ἢ δεπορτατεύονται· οἱ δὲ περιβόητοι φουρκίζονται, ἢ θηριομαχοῦσιν ἐν οἷς ἐλήστευσαν τόποις. Παράδοξον δέ φησιν ἡ β'. διάτ. τοῦ ιή. τίτ. τοῦ ζ'. βιβλ. τοῦ κώδικος, ὅτι τοῖς οὖσι τῆς φαμιλίας τῶν λῃστῶν,

καὶ ἐκ βασιλικῆς φιλοτιμίας ἢ αὐθεντίας τοῦ φίσκου γινομένοις δούλοις, ἀναιρεῖται ἡ ἐλευθερία.

Σχόλιον.

Τὸ κή. διάτ. τοῦ ιθ'. τίτ. τοῦ μή. βιβλ. τῶν διατ. ἐστὶ θέμα ί. τοῦ κή. κεφ. τοῦ νά. τίτ. τοῦ ζ'. βιβλ. τὰ αὐτὰ λέγον ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Ἡ ϐ'. διάτ. τοῦ ιή. τίτ. τοῦ ζ'. βιβλ. τοῦ κώδικός ἐστι κεφ. γ'. τοῦ θ'. τίτ. τοῦ μή. βιβλ. τῶν βασιλικῶν οὕτως ἔχον ὡς εἰς τὸ κείμενον συνωψίσθη. Περὶ δὲ τῶν ψηλαφώντων θήκας τελευτησάντων χάριν τοῦ ἀποσυλῆσαι (1) τὰ ἐν τούτοις, ἀνάγνωθι τὴν ιϛ'. νεαρὰν τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ σοφοῦ διοριζομένην τοὺς ἅπαξ μὲν εἰς τοῦτο ἁλόντας συγγνώμης τυγχάνειν, τοὺς δὲ τολμῶντας καὶ αὖθις τὸ κακὸν σωφρονίζεσθαι διὰ μαγκλαβίων καὶ κουρᾶς. Οἶομαι δὲ τὰ τῆς τοιαύτης νεαρᾶς μὴ ἔχειν χώραν εἰς τοὺς τυμβωρύχους· ἄλλο γάρ ἐστι τὸ μεταθεῖναι λείψανα τεθνεώτων, καὶ ἕτερον τὸ κλεπτικῇ διαθέσει ὑφελέσθαί τι ἐκ τῶν ἐν αὐτοῖς ὄντων, κἂν καταχρηστικῶς καὶ τοῦτο τυμβωρυχία λέγεται· καὶ ἀνάγνωθι τὸ κζ'. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος περὶ τὸ τέλος διδάσκον περὶ τῆς κυρίως τυμβωρυχίας.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ τοῦ μὴ βαλλίζειν, ἢ ὀρχεῖσθαι ἐν γάμοις. Συνόδου Λαοδικείας κανὼν νγ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ τοῦ μὴ συλλούεσθαι γυναιξὶν ἄνδρας. Συνόδου Λαοδικείας κανὼν λ'. Συνόδου στ'. κανὼν οζ'. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ λά. κεφ. τοῦ θ'. τίτ. τοῦ παρόντος συντάγματος.

(1) Χ. Τρ. — τοῦ ἐναποσυλῆσαι Ἐ. Ἰ. Β.

ΚΕΦΑΛΑΙΟΝ ΚΣΤ'.

Περὶ τοῦ χλευάζοντος τοὺς ἀσθενεῖς. Ἀποστόλων κανὼν νζ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ τοῦ μὴ εἰσιέναι γυναῖκα εἰς τὸ θυσιαστήριον, καὶ ὅτι μόνοις τοῖς ἱερατικοῖς ἔξεστι κοινωνεῖν ἐν τῷ θυσιαστηρίῳ. Συνόδου Λαοδικείας κανὼν ιθ'. μδ'. Συνόδου στ'. κανὼν ξθ'.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τοῦ μὴ ποιεῖν ἀπὸ συμβολῆς συμπόσια. Συνόδου Λαοδικείας κανὼν νέ.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ κυβευόντων, ἢ μεθυσκομένων. Ἀποστόλων κανὼν μγ'. Συνόδου στ'. κανὼν ν'.

Κείμενον.

Ἡ ά. διάτ. τοῦ μγ'. τίτ. τοῦ γ'. βιβλ. τοῦ κώδικός φησιν ὅτι ὁ ἡττηθεὶς εἰς κόττον οὐκ ἀπαιτεῖται, καὶ καταβαλὼν ἀναλαμβάνει μετὰ διαδόχων ἀπὸ τοῦ νικήσαντος καὶ τῶν κληρονόμων αὐτοῦ διηνεκῶς, καὶ πέραν τριακονταετίας· εἰ δὲ μὴ θέλουσιν ἀναλαβεῖν, ὁ θέλων, καὶ μάλιστα ὁ τῆς πόλεως, ἐν ᾗ τοῦτο γέγονε, πατὴρ ἢ ἔκδικος ἀπαιτεῖ, καὶ δαπανᾷ εἰς ἔργα τῆς πόλεως. Καὶ ἡ γενομένη ἐπὶ κόττῳ ἀσφάλεια ἄκυρός ἐστι, καὶ ἀποδίδοται. Εἰ δὲ καί τις ἐν σχήματι κόττου ἡττηθῇ θερμίοις ἢ ἑτέρᾳ ὕλῃ, οὐκ

ἀπαιτεῖται, τῶν ἐπισκόπων ἄδειαν ἐχόντων ταῦτα ζητεῖν, βοηθούντων αὐτοῖς τῶν ἀρχόντων, καὶ πατέρων, καὶ ἐκδίκων. Μόνον δὲ παίζειν ἔξεστι μονόβολον *καὶ κοντομονόβολον* (1), καὶ κυντανὸν κόντακα χωρὶς τῆς πόρπης, καὶ περιχυτὴν, καὶ ἱππικὴν (2) ἄνευ τέχνης καὶ ἐπινοίας. Καὶ οἱ μὲν σφόδρα πλούσιοι νομίσματος ἑνὸς ἑκάστην σύνθεσιν παίζουσιν· οἱ δὲ λοιποὶ, πάνυ ἥττονος· τὸ δὲ πλέον ἀπαίτησιν οὐκ ἔχει, καὶ διδόμενον ἀποδίδοται. Προνοοῦσι τούτων οἱ ἄρχοντες, δέκα λιτρῶν ποινῆς ἐπικειμένης τοῖς παραβαίνουσιν, ἢ συγχωροῦσι παραβαίνεσθαι. Ἡ δὲ β'. διάτ. τοῦ αὐτοῦ τίτ. φησὶν, ὅτι οὔτε τοῖς καλουμένοις ξυλίνοις ἱππικοῖς, οὔτε ἄλλῃ κυβείᾳ παίζειν ἔξεστι, πλὴν τῶν ἐπιτραπέντων ἐν τῇ προλαβούσῃ διατάξει· καὶ οἱ τύποι, καθ' οὓς ἐν τοῖς τοιούτοις ἱππικοῖς παίζουσι, δημόσιοι γίνονται, καὶ τὰ διδόμενα ἀποδίδονται· ἢ μὴ βουλομένων ἀναλαβεῖν τῶν δεδωκότων, ἀπαιτοῦνται διὰ τοῦ ἐπάρχου καὶ τῶν ἀρχόντων τῶν ἐπαρχιῶν, καὶ προσκυροῦνται τοῖς ἔργοις τῶν πόλεων.

Σχόλιον.

Ἡ ά. διάτ. τοῦ μγ'. τίτ. τοῦ κώδικός ἐστι κεφ. έ. τοῦ ή. τίτ. τοῦ ξ'. βιβλ. τῶν βασιλικῶν οὕτω λέγον· Ἡ διάταξις κωλύει τὰ παίγνια, καὶ πέντε ὑπεξαιρουμένων, ὁρίζει καί τινα ἐπιτίμια κατὰ τῶν κυβευόντων, ἐπιτρέπουσα τῷ ἐπάρχῳ τῆς πόλεως, καὶ τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν, καὶ τοῖς ἐπισκόποις, ζητεῖν καὶ κωλύειν, καὶ πάντα τὰ ἐν αὐτοῖς γινόμενα συναλλάγματα ἀποτρέπειν. Δίδωσι δὲ ἀγωγὰς ἐκ τῶν ἐπιτετραμμένων *πέντε* (3) παιγνίων, καὶ ἀπαίτησιν τῶν ἐντεῦθεν χρεωστηθέντων (4), δέκα λιτρῶν ἐπιτίμιον ὁρίζουσα κατὰ τῶν συγχωρούντων παραβῆναι

---

(1) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. ἀλλ' ἐν τῇ λατινικῇ μεταφράσει· ἐν δὲ τῇ Σ. Ῥ. ἀναγινώσκεται, μονίβολον καὶ κοντομονίβολον, καὶ κυϊντανὸν, καὶ κόνδακα χωρὶς τῆς ὀρπῆς, καὶ περιχύτην, καὶ ἱππικὸν κτλ. — (2) Χ. Τρ. — ὀπτικὴν Ἑ. Ἰ. Β. — (3) Χ. Τρ. — οὐχ εὕρηται ἐν Ἑ. Ἰ. Β. — (4) Χ. Τρ. — χρεωστηθεισῶν Ἑ. Ἰ. Β.

τὴν διάταξιν. Ἡ δὲ διάτ. ϐ'. τοῦ μγ'. τίτ. τοῦ γ'. βιϐλ. τοῦ κώδικός ἐστι κεφ. ς'. τοῦ ή. τίτ. τοῦ ξ'. βιϐλίου τῶν βασιλικῶν, λέγον οὕτω ῥητῶς· Ἡ διάτ. κωλύει τὰ λεγόμενα ξυλικὰ ἱππικὰ ἀπαιτοῦσα κίνδυνον κατὰ (1) τῶν παιζόντων, καὶ δήμευσιν κατὰ τῶν οἴκων, ἐν οἷς τὰ τοιαῦτα γίνεται παίγνια. Δίδοται δὲ καὶ ἀνάδοσις τῷ ἡττηθέντι καὶ καταϐαλόντι· ἢ ἐὰν μὴ βούληται ἀναλαϐεῖν, κελεύει ταῦτα εἰς ἔργα δημόσια τῆς πόλεως *ἐκείνης* (2) δαπανᾶσθαι. Ὥστε σημείωσαι ὅτι ἐν τῷ βασιλικῷ οὐκ ἐτέθη τὸ ὑπερϐαίνειν τὴν τριακονταετίαν τὴν ἀπαίτησιν τῶν χάριν παιγνίου κωλυομένου δοθέντων. Ὡσαύτως οὐδὲ τὸ συνθηκίζειν τοὺς πλουσίους μέχρις ἑνὸς νομίσματος, καὶ ἄλλα πολλά. Καὶ ἐπεὶ ταῦτα οὕτως ἔχουσιν, ὀφείλεις εἰπεῖν ὅτι καὶ αἱ περὶ τοιούτων παιγνίων ἀγωγαὶ τῇ τριακονταετίᾳ κλείονται, καθὼς καὶ πᾶσα προσωπικὴ ἀγωγή, καὶ ἐπὶ τῶν έ. δὲ παιγνίων τῶν ἐπιτετραμμένων, ἔξεστι συνθηκίζειν καθὼς τοῖς μέρεσι δόξει, καὶ οὐ μέχρι νομίσματος ἑνὸς κατὰ τὴν παλαιὰν νομοθεσίαν. Γίνωσκε δὲ ὅτι μονόϐολον λέγεται ὁ δρόμος, κοντομονόϐολον, τὸ πήδημα, κυντανὸς κόνταξ χωρὶς τῆς πόρπης ὁ ἀκοντισμὸς ἄνευ περόνης, ἤτοι σιδήρου, ἀπὸ Κυΐντου τινὸς οὕτω κληθείς, περιχυτὴ ἡ πάλη, καὶ ἱππικὴ τὸ ἱπποδρόμιον. Περὶ δὲ τοῦ ξυλίνου ἱππικοῦ ποτε γέγονεν ἀμφιϐολία παρὰ τῷ ϐασιλικῷ ϐήματι, καί τινες μὲν εἶπον εἶναι τοῦτο τὸ συνήθως παρὰ τῶν παίδων γινόμενον παίγνιον ἔξωθεν τοῦ ἱππικοῦ, ἀντὶ ἵππων χρωμένων ἀνθρώποις εἰς διφρηλασίαν· τινὲς δὲ εἶπον τοῦτο εἶναι ξύλινόν τι κατασκεύασμα διὰ κλιμάκων λοξοειδῶν ἀνυψούμενον, ἐχουσῶν διὰ μέσου ὀπὰς διαφόρους· οἱ γὰρ συνθηκίζοντες ἐπὶ τῷ τοιούτῳ παιγνίῳ ϐώλους τέτταρας ἑτεροϐαφεῖς ἄνωθεν τῶν κλιμάκων τιθέμενοι πρὸς τὸ κάταντες ἀπολύουσι, καὶ ὁ πρῶτος ἀπὸ τῶν *ϐαλλομένων* (3) ἐξερχόμενος ϐῶλος διὰ τῶν ὀπῶν ἐκ τῆς τελευταίας ὀπῆς τὴν νικῶσαν δίδωσι τῷ ἔχοντι αὐτόν. Ἔοικεν οὖν καὶ μοὶ τοῦτο τὸ δεύτερον παίγνιον παρὰ τοῦ νόμου ἀποτρέπεσθαι καὶ κολάζεσθαι, ὡς ἔχον αἰτίαν κόττου. Περὶ δὲ τῶν κυϐευόντων κληρικῶν ἀνάγνωθι καὶ τὴν πζ'. νεαρὰν τοῦ ϐασιλέως κυρίου Λέοντος τοῦ φιλοσόφου.

---

(1) Χ. Τρ. Βασιλ. — ἀπὸ Ἐ. Ἰ. Β. — (2) Χ. Τρ. — (3) Χ. Τρ.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ δαιμονιζομένων. Ἀποστόλων κανὼν οθ'. Συνόδου ς'. κανὼν ξς'. ξζ'. Τιμοθέου κανὼν β'. γ'. ιδ'. ιέ.

Κείμενον.

Εἴρηται βιβλίῳ έ. τοῦ κώδικος τίτ. ό. διατάξει δ'. ὅτι ἐὰν γυνὴ μαίνηται αὐτεξουσία οὖσα, μόνος ὁ ἀνὴρ δύναται πέμπειν ρεπούδιον. Ἐν δὲ τῷ κβ'. διατάγματι τοῦ γ'. τίτ. τοῦ κδ'. βιβλίου φησὶν, ὅτι ἐὰν ὁ εἷς τῶν συνοικούντων μανῇ, αὐτὸς μὲν οὐ δύναται στέλλειν διαίσιον· εἰ δὲ φορητή ἐστιν ἡ μανία, εἴτε διηνεκὴς, εἴτε ἐκ διαλειμμάτων, οὐκ ὀφείλει ὁ νήφων τῷ μαινομένῳ στέλλειν διαζύγιον· εἰ δὲ στείλῃ, ὑποπίπτει τοῖς ἐπιτιμίοις τῆς ἀλόγου διαζεύξεως· εἰ δὲ ἀνύποιστός ἐστιν ἡ μανία, καὶ οὐκ ἔστιν ἐλπὶς ἀνανήψεως, ἔξεστι διὰ τὸν ἐντεῦθεν φόβον, καὶ τὴν ἐπιθυμίαν τοῦ παιδοποιῆσαι ρεπουδίῳ λύειν τὸν γάμον, μηδ' ἑτέρου ζημιουμένου· εἰ μέν τοι μὴ λύει τὸν γάμον, ἀλλὰ περιφρονεῖ αὐτὴν, ἀναγκάζεται διὰ τοῦ ἄρχοντος τρέφειν αὐτὴν, καὶ φροντίζειν τῆς ἰατρείας αὐτῆς, καὶ μηδὲν παραλείπειν τῶν ἀνδρὶ πρεπόντων, πρὸς τὸ ποσὸν τῆς προικός. Εἰ δὲ σκορπίζει τὴν προῖκα, μεσεγγυᾶται, ἐφ' ᾧ τὴν γυναῖκα καὶ τὴν φαμιλίαν αὐτῆς ἀξίαν σχεῖν ἐντεῦθεν παραμυθίαν, φυλαττομένων τῶν ἐξ ἀρχῆς συμφώνων. Ἀλλὰ ταῦτα σήμερον οὐ προβαίνει, οὔτε διὰ μανίαν εὐλόγως λύεται γάμος, τῆς περὶ ρεπουδίων ριζ'. νεαρᾶς ῥητὰς αἰτίας λεγούσης, καὶ ὑποβαλλούσης τὸν παρ' αὐτὰς στέλλοντα ρεπούδιον τῇ ἐκπτώσει τῶν γαμικῶν ἐπιδόσεων, καὶ ἄλλοις ἐπιτιμίοις.

Σχόλιον.

Διέσιόν ἐστι φθόγγος μουσικὸς οὕτω λεγόμενος παρὰ φιλο-

σόφοις καὶ χωρίζων τὴν διὰ πασῶν ἁρμονίαν, ἐξ οὗ καὶ διέχεια εἴρηται. Τῶν γοῦν ὁμοζύγων μιᾶς ἁρμονίας τόπον ἐπεχόντων (ἔσονται γὰρ, φησὶν, εἰς σάρκα μίαν) ἐὰν ἐξ εὐλόγου αἰτίας ὁπωσδήποτε διάστασις καὶ χωρισμὸς γένηται μέσον αὐτῶν, λέγομεν γίνεσθαι διέσιον, ὅπερ ἐπὶ τῶν μνηστήρων χώραν οὐκ ἔχει κυρίως ἀλλὰ διαζύγιον· μήπω γὰρ γενομένου γάμου καὶ συναφείας, κἂν δοκῶσι συναφθῆναι οἱ μνηστῆρες, ἀλλὰ τοῖς σώμασι κεχωρισμένοι εἰσὶν, ὡς τὰ ὑπὸ τὸν ζυγὸν ὄντα ζῶα· πλὴν ἤρεσε τοῖς νομοθέταις ἀδιαφόρως καὶ ἐπὶ τῶν ὁμοζύγων τὸ διαζύγιον λέγεσθαι, ὅπερ ὠνόμασται παρὰ Λατίνοις ῥεπούδιον· καὶ ἀνάγνωθι βιβλ. ϛ'. τίτ. ϛ'. κεφ. ρϐ'. Ἡ δ'. διάτ. τοῦ ὁ. τίτ. τοῦ έ. βιβλίου τοῦ κώδικός ἐστι κεφ. κά. τοῦ ί. τίτ. τοῦ λή. βιβλίου τῶν βασιλικῶν τὰ αὐτὰ λέγον, ὅσα εἰς τὸ κείμενον ἐγράφησαν. Τὸ κϐ'. διάτ. τοῦ γ'. τίτ. τοῦ κδ'. βιβλίου τῶν διατάξεών ἐστι θέμα θ'. τοῦ κϐ'. κεφ. τοῦ ή. τίτ. τοῦ κή. βιβλίου τῶν βασιλικῶν οὕτως ἔχον, ὡς εἰς τὸ κείμενον ἐγράφησαν. Πλὴν γίνωσκε ὅτι τὸ τοιοῦτον κεφ. ἀνῃρέθη ὑπὸ τῆς ριζ'. Ἰουστινιανείου νεαρᾶς τῆς κειμένης ἐν βιβλίῳ κή. τῶν βασιλικῶν τίτ. ζ'. καὶ λεγούσης τὰς αἰτίας δι' ἃς ῥεπούδιον πέμπεται, τῆς δὲ μανίας ὅλως μὴ ἐπιμνησθείσης. Ἡ μέν τοι ρ'. καὶ ρά. νεαρὰ τοῦ βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ, διορίζονται τὸν μὲν ἄνδρα χαρτερεῖν ἐπὶ τριετίᾳ, καὶ ἐντὸς ταύτης μὴ διαλύειν τὴν μετὰ τῆς μανείσης γυναικὸς αὐτοῦ συζυγίαν, τὴν δὲ γυναῖκα μὴ διαζεύγνυσθαι τοῦ μανέντος ἀνδρὸς αὐτῆς, εἰμὴ παρέλθῃ πενταετία. Ἀνάγνωθι καὶ τὴν νεαρὰν τοῦ βασιλέως κυροῦ Νικηφόρου Βοτανειάτου περὶ μανέντων ὁμοζύγων διαλεγομένην τὰ αὐτά.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ λαϊκοῦ ἀφορισθέντος, καὶ δεχθέντος ἐξ ἑτέρου παρὰ γνώμην τοῦ ἀφορίσαντος. Ἀποστόλων κανὼν ιϐ'. ιγ'. Συνόδου Ἀντιοχείας κανὼν στ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῶν ἐν κυριακῇ ἢ σαββάτῳ νηστευόντων. Ἀποστόλων κανὼν ξς'. Συνόδου Γαγγρῶν κανὼν ιή. Συνόδου ς'. κανὼν νέ. νς'.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῶν διδασκόντων τὸν οἶκον τοῦ Θεοῦ, καὶ τὰς συνάξεις εὐκαταφρονήτους. Συνόδου Γαγγρῶν κανὼν έ. χ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ λαϊκῶν πειρωμένων ἀθετεῖν τὰ τῆς ἐν Ἐφέσῳ συνόδου. Συνόδου Ἐφέσου κανὼν ς'. Ἀνάγνωθι τὰ παραγραφέντα ἐν τῷ ς'. κεφ. τοῦ ιά. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ τῶν ἀκροωμένων τῶν γραφῶν, καὶ μέχρι τέλους μὴ προσκαρτερούντων, ἢ μὴ κοινωνούντων. Ἀποστόλων κανὼν θ'. Συνόδου Ἀντιοχείας κανὼν δ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΣΤ'.

Περὶ τῶν ἰδίᾳ ἐκκλησιαζόντων. Συνόδου Γαγγρῶν κανὼν ς'. Συνόδου ς'. κανὼν λά. νθ'. Ἀνάγνωθι τὰ παραγεγραμμένα ἐν τῷ ιδ'. κεφ. τοῦ γ'. τίτ. τοῦ παρόντος συντάγματος.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Περὶ τοῦ ἐπιθυμήσαντος συγκαθευδῆσαι γυναικὶ, καὶ μὴ πράξαντος. Συνόδου Νεοκαισαρείας κανὼν δ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Περὶ μὴ νηστευόντων τὴν τεσσαρακοστὴν, καὶ τετράδα, καὶ παρασκευήν. Ἀποστόλων κανὼν ξθ'.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τῶν ἀφαιρουμένων τῆς ἐκκλησίας κηρὸν ἢ ἔλαιον. Ἀποστόλων κανὼν οβ'.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Περὶ λαϊκῶν *δι' ἀδικίαν*(1) ἀκοινωνήτων γενομένων. Θεοφίλου ἐκ τῆς πρὸς Μηνᾶν ἐπίσκοπον ἐπιστολῆς.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ τοῦ μὴ διδάσκειν λαϊκούς. Συνόδου στ'. κανὼν ξδ'.

(1) Χ. Τρ.

ΤΙΤΛΟΣ ΙΔ'.

ΠΕΡΙ ΚΟΙΝΩΝ ΠΑΝΤΩΝ ΑΝΘΡΩΠΩΝ(1).

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περι πλεονεξίας. Γρηγορίου Νύσσης κανὼν στ'.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ἀλογευομένων. Συνόδου Ἀγκύρας κανὼν ις'. ιζ'. Βασιλείου κανὼν ξγ'. Γρηγορίου Νύσσης κανὼν γ'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ φονέων, καὶ λῃστῶν. Ἀποστόλων κανὼν ξέ. Συνόδου Ἀγκύρας κανὼν κά. κβ'. κγ'. κέ. Βασιλείου κανὼν ζ'. ή. ιά. ιγ'. λγ'. μγ'. νβ'. νδ'. νέ. νς'. νζ'. Γρηγορίου Νύσσης κανὼν δ'.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ τοὺς ἐπιτίμιον ἀκοινωνησίας ἔχοντας ὀφείλειν κοινωνεῖν μέλλοντας τελευτᾷν, καὶ τί γίνεται ἐὰν

---

(1) περὶ κοινῶν πραγμάτων Χ. Τρ.

διὰ τοῦτο μεταλαβόντες μὴ ἀποθάνωσι. Συνόδου Νικαίας κανὼν ιγ'. Γρηγορίου Νύσσης κανὼν έ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ ὀνειρασθέντος, ἢ ἀπὸ κοίτης τῆς ἰδίας γαμετῆς ὄντος, καὶ θέλοντος κοινωνῆσαι· καὶ ποίας ἡμέρας δεῖ τῆς πρὸς ἀλλήλους μίξεως διὰ τοῦτο ἀπέχεσθαι. Διονυσίου ἐκ τῆς πρὸς Βασιλείδην ἐπιστολῆς κανὼν γ'. δ'. Τιμοθέου κανὼν έ. ιβ'. ιγ'.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'.

Πῶς γίνεται προσφορὰ ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος. Τιμοθέου κανὼν ιδ'.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ ἔχοντος γαμετὴν δαιμονιζομένην, καὶ διὰ τοῦτο θέλοντος ἄλλην λαβεῖν. Τιμοθέου κανὼν ιέ.

Σχόλιον.

Περὶ τοῦ παρόντος κεφαλαίου ἐγράψαμεν ἀρκούντως ἐν τῷ λ'. κεφ. τοῦ ιγ'. τίτ. τοῦ παρόντος συντάγματος, καὶ ἀνάγνωθι τὰς εἰς τὸ σχόλιον τοῦτο συνοψισθείσας νεαρὰς τοῦ βασιλέως κυροῦ Λέοντος τοῦ φιλοσόφου, καὶ κατ' ἐκείνας λέγε τὰ τῶν δαιμονώντων γίνεσθαι διαζύγια.

ΤΕΛΟΣ.

ΠΕΡΙ

ΤΩΝ ΑΓΙΩΝ ΣΥΝΟΔΩΝ.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΕΡΜΑΝΟΥ

ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΠΡΟΣ ΑΝΘΙΜΟΝ

ΤΟΝ ΘΕΟΦΙΛΕΣΤΑΤΟΝ ΔΙΑΚΟΝΟΝ ΤΗΣ ΚΑΘΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ

Λόγος διηγηματικὸς περί τε τῶν ἁγίων συνόδων καὶ τῶν κατὰ καιροὺς ἀνέκαθεν τῷ ἀποστολικῷ κηρύγματι ἀναφυεισῶν αἱρέσεων.

ά. ΣΟΦΩΝ ἀνδρῶν αἱ ἐρωτήσεις μελέτης δέονται καὶ νήψεως οὐ τῆς τυχούσης, ἵνα ἐν κυρίῳ γένωνται αὐτῶν αἱ ἐπιλύσεις· εἰ γὰρ ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται(1), τί ἄρα ἡ τούτων ἔσαι ἐπερώτησις; Τί δὲ ἄλλο ἢ πεπυκνωμένη τις καὶ ἔνθεος ἀνερεύνησις, καὶ ὄντως; ἔχουσα τὸ ἀξιάγαστον, καὶ πανταχόθεν ἀπαστράπτουσα τοῖς νοήμασι, πεποικιλμένη τε τῷ θείῳ κάλλει, καὶ τῇ ὡραιότητι τῶν γραφικῶν νοημάτων φωτίζουσα καὶ τοὺς πόῤῥωθεν; ἐγὼ μὲν ἐπὶ πολὺ ὤκνουν καὶ νῦν ἐγχειρῆσαί σου τὰ ἐπιτάγματα· τῇ δὲ ἀνενδότῳ ὀχλήσει ὑμῶν εἴξας ἐπαποκριθῆναι τούτοις ἐν κυρίῳ προάγομαι.

β'. Ἡ μὲν οὖν ἐκκλησία ἡμῶν, ὑπ' αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καταφυτευθεῖσα, καὶ τῷ θείκῷ ἄλατι τὴν δυσώδη τῆς δαιμονικῆς πλάνης ἀποθεμένη δυσσέβειαν, πεπυκασμένη τε ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθοῦσα ὁσημέραι, εἰς κάλλος ἀμήχανον ἐπεδίδου τε καὶ προέ-

(1) Παροιμ. ιζ'. 28.

κοπταν· ἄρτι δὲ ὁ πονηρὸς καὶ δόλιος δράκων ἐξ αὐτῆς ἐλασθεὶς, καὶ μὴ φέρων τὴν ἀποπλάνησιν, ἐπιφερόμενος τοὺς ἑαυτοῦ κύνας, πάλιν ἐπειρᾶτο προστρίβεσθαι αὐτῇ, καὶ τοῖς καλοῖς δόγμασιν αὐτῆς ἐπιφύεσθαι. Τῆς τε γὰρ τῶν Ἰουδαίων σκαιότητος τοῖς προφητικοῖς ἐλέγχοις κατατρωθείσης, ἔτι δὲ καὶ τῆς ἑλληνικῆς ἀπάτης ἐξελεγχθείσης, αὐτὴν ἡμῶν τὴν καλὴν ἄμιλλαν λυμήνασθαι ἑαυτῷ ἐπενόησε, καὶ τὰ τέκνα ταῦτα τὰ γνήσια τὸ γνήσιον ἀποθέμενα, καὶ τὸ νόθον εἰσδεξάμενα, κατὰ τῆς οἰκείας μητρὸς ἐξώπλιζεν.

γ'. Εὐθέως οὖν Σίμωνα τὸν μάγον κατ' αὐτῆς ἐξανέστησεν, ὅστις τῇ τοῦ μεγάλου Ἀποστόλου Πέτρου γλώσσῃ, μᾶλλον δὲ τοῦ ἐν αὐτῷ λαλοῦντος Θεοῦ, κατατιτρώσκεται, καὶ εἰς τέλειον ἀπωλείας βυθὸν ἀποπέμπεται· δοκῶν γὰρ εἶναι ὁ δείλαιος δύναμις Θεοῦ ἡ μεγάλη, καὶ Θεὸς μέγας, οὐδὲ κνωδάλων καὶ ἑρπετῶν τὴν ἰσχὺν ἔχειν ἀπελέγχεται, τελείως αὐτοῦ ἐξαφανισθέντος, ὥσπερ οὐδὲ ἦρχθαι αὐτὸν δοκεῖν τοὺς πολλοὺς τῆς ἡμετέρας πίστεως. Κήρινθός τε μετὰ ταῦτα, ἔτι δὲ καὶ οἱ λεγόμενοι Νικολαΐται, Βασιλείδης, καὶ Καρποκράτης, καὶ οἱ τούτων ὁμόφρονες ἀνεφύοντο, τὴν ἑλληνικὴν εἰκαιομυθίαν μᾶλλον εἰσδεξάμενοι, καὶ ῥυπαρίας βίωσιν μᾶλλον ὡς νομίμων τῷ βίῳ νομοθετήσαντες, καὶ καινούς τινας αἰῶνας, καὶ βυθὸν σκότους εἰσηγησάμενοι· οἵτινες αὐτίκα δὴ ὑπό τε αὐτῶν τῶν μακαρίων Ἀποστόλων, καὶ μάλιστα Ἰωάννου τοῦ τῆς βροντῆς υἱοῦ, καὶ τῶν τούτοις μαθητευθέντων τὴν καταστροφὴν ὑπομεμενήνεισαν.

δ'. Ἔτι δὲ Μανιχαῖοι καὶ Μοντανοὶ, καὶ οἱ τούτοις προσόμοιοι, ἀνέστησαν κατ' αὐτῆς, οὐ τοὺς τυχόντας αὐτῇ παρέχοντες ἀγῶνας· τοῦ μὲν Μανιχαίου πολλὴν ματαιοσύνην καὶ πλάνην καὶ ῥυπαρίαν τοῖς ἑαυτοῦ δόγμασιν ἀναμίξαντος, καὶ τέλος τὴν μὲν ἑαυτοῦ παλαιὰν νομοθεσίαν, καὶ αὐτὴν τὴν κτίσιν κακοῦ τινος καὶ οὐκ ἀγαθοῦ εἶναι λέγοντος ἐπίταγμα· ἀγαθοῦ δὲ μᾶλλον τὴν νέαν ἢ τὴν μέλλουσαν, καὶ βίαν τινὰ ὑπομένειν ἐκείνην ἐκ τούτου· ὡς καὶ δύο φύσεις νομοθετεῖν ἐν τῷ κόσμῳ, τουτέστιν ἀγαθήν τε καὶ πονηράν· καὶ μὴ ἐξ ἀγαθοῦ εἶναι τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἔργον, μήτε τὴν ἄλλην, ὡς εἴρηται,

κτίσιν ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν· καὶ πλήρεις ἀσεβείας τοὺς ἑαυτοῦ λόγους ἐμπλήσαντος, καταδύσεις τινὰς ἐναγεῖς, καὶ νυκτερινὰς τελετὰς, καὶ ἀποβλήτους μίξεις ἐπιτηδεύσαντος, τὰ τῶν Ἑλλήνων μάταια δόγματα κυρώσαντος, καὶ εἱμαρμένην εἰσάγοντος, καὶ μετενσωματώσεις νομοθετήσαντος, καὶ τὸν Χριστὸν ἐν σαρκὶ γεγονέναι μὴ βουληθέντος· κἀντεῦθεν τέλος ἐπάξιον τῆς τοιαύτης αὐτοῦ νομοθεσίας ἀπενεγκαμένου, ὑπό τινος τῶν ἐθνικῶν βασιλέων, ζῶντος ἔτι τὴν δορὰν ἀποσπασθῆναι, ὥς φασιν, οὕτω τε τῷ θανάτῳ παραδοθῆναι. Μάλιστα δὲ Κύριλλος ὁ Ἱεροσολύμων τὴν τούτου κατεγράψατο καὶ ἐστηλίτευσεν ἀσεβῆ διάνοιαν, αὐτὰ τὰ γράμματα τῆς μιαρᾶς αὐτοῦ καὶ ἀσέμνου διατάξεως κατὰ λεπτὸν προτάξας, καὶ εἶθ' οὕτω τὸν ἔλεγχον ἐπαγαγὼν τοῖς ἀθέοις αὐτοῦ καὶ παρανόμοις διδάγμασιν (1)· ὁ γὰρ ἀσεβὴς οὗτος ἐτόλμησε καὶ ἑαυτὸν Ἀπόστολον ὀνομάσαι, καὶ τέσσαρα συντάξαι βιβλία, ἃ καὶ ἐπεκάλεσε τὸ εὐαγγέλιον, τῶν θησαυρῶν βιβλίον, τῶν μυστηρίων, ἕτερον τῶν τελετῶν.

ε. Τῶν δὲ Μοντανῶν διάφορος εἶναι λέγεται δόξα, καὶ οὐ μονομερὴς ἀλλὰ πολύτροπος· τὸ δὲ τέλειον αὐτῶν δόγμα ἐν τούτοις ἐστὶν, ὅτι τε αὐτὸν τὸν Μοντανὸν λέγουσιν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάλιν τὸν αὐτὸν λόγον καὶ πνεῦμα· ἔτι δὲ καὶ ὀκτὼ οὐρανοὺς εἶναι νομοθετοῦσι, κολαστήριά τε φοβερὰ ἐν τῷ μέλλοντι αἰῶνι ἐξηγοῦνται, δράκοντάς τινας καὶ λέοντας ἐκ τῶν μυκτήρων πῦρ ἀποπέμπειν μέλλοντας, καὶ κατακαίειν τοὺς ἀδίκους, καὶ ἑτέρους ἀποκρέμασθαι ἀπὸ τῶν σαρκῶν, καὶ ἄλλα τινὰ πλήρη ματαιοσύνης μυθολογοῦσιν· εἰς κρίσιν δὲ τοὺς ἐκ πορνείας ἢ μοιχείας γεννηθέντας ἄγεσθαι καὶ κολάζεσθαι, ὑπὸ κολαστήρια τὰ δεινότατα, ὅτι τε μόνον ἐκ τούτων γεγέννηνται, κἂν αὐτῶν ὁ βίος μὴ παράνομος πέφυκεν. Ἀλλ' οὐδὲ τοὺς ἁμαρτάνοντας ἔτι εἰς μετάνοιαν δέχονται, ἢ τοὺς διγαμοῦντας συναχθῆναι μετ' αὐτῶν ἐν ταῖς συναγωγαῖς αὐτῶν ἀνέχονται, καὶ ἕτερα δὲ πάμπολλα παρόμοια τούτων ἐπιτελεῖται αὐτοῖς. Ταῦτα δὲ οἱ τῆς ἐξαιρέτου

(1) Κυρίλλου Ἱεροσολ. κατήχ. στ'.

αὐτῶν τῷ δοκεῖν μοίρας ἐπείγονται διαπράττεσθαι τῶν λοιπῶν, καὶ ἕτερον πλείω τούτων δεδρακότων ἔργα ἀσεβείας, καὶ τῷ βίῳ ἐπισφαλῆ, καὶ κρημνῶν πλήρεις ἀτραπούς ἐξηπλωκότων. Ἐλέγχεται δὲ καὶ τούτων ἡ σκοτώδης νομοθεσία καὶ ὑπὸ τῶν πάλαι γεγενημένων διδασκάλων ἡμῶν· ἔτι δὲ καὶ παρά τινος ἱερέως τῆς Θράκης αὐτοψεὶ παραγεγονότος ἐν τῇ Ἀσίᾳ πρὸς Μοντανόν, Γράτου τότε ἀνθυπατευόντος, καὶ τὸν λαλοῦντα δι' αὐτοῦ καὶ τῆς Μαξιμίλλης δαίμονα ἐλέγξαντος(1)· λοιπὸν δὲ καὶ ὑπὸ Βασιλείου τοῦ μεγάλου, καὶ Ἐπιφανίου τοῦ Κυπρίου μάλιστα κατὰ πασῶν τῶν αἱρέσεων πραγματείαν ἔγγραφον ἐκθεμένου.

ς'. Ἔτι δὲ ἡμῶν ἐλυμήνατο τὴν ἐκκλησίαν καὶ Μαρκίων, καὶ Παῦλος ὁ Σαμοσάτων, καὶ Οὐαλεντῖνος, καὶ Μάρκελλος, οἳ μὲν δοκήσει καὶ οὐ κατὰ ἀλήθειαν τὴν τοῦ κυρίου σάρκωσιν λέγουσιν· ἔτι δὲ καὶ τὸν ὑπὲρ ἡμῶν αὐτοῦ ἑκούσιον θάνατον, καὶ τὰ θαύματα αὐτοῦ γεγενῆσθαι, καὶ ἐκ στοιχείων καὶ ἀριθμῶν Θεὸν συγκείμενον, καὶ καινοὺς αἰῶνας καὶ μύθους εἰσηγησάμενος, καὶ δυάδα τινὰ καὶ τριακάδα τιμήσας τῶν ἀριθμῶν, καὶ ἰσαρίθμους αἰῶνας τούτοις ἀναπλάσας, ὥσπερ καὶ Σίμων ὁ τούτου διδάσκαλος· ἀλλὰ καὶ αὐτὸς ὑπὸ τῶν τότε ἡμῶν ἐξελέγχεται καὶ ἀποδιώκεται πατέρων. Οὐαλεντίνου δὲ ἡ ἄθεος τοῦ ἑνὸς Θεοῦ εἰς δύο κατατομὴ, εἰς ἀγαθὸν καὶ δημιουργὸν ληρῳδοῦντος, ἀποδιώκεται· δηλονότι ὡς τοῦ δημιουργοῦ κατ' αὐτὸν μὴ ἀγαθοῦ τινος ὑπάρχοντος, καὶ ὁ βυθὸς, καὶ ἡ σιγὴ, καὶ οἱ μυθικοὶ αἰῶνες, τὰ βυθοῦ καὶ σιγῆς ὡς ἀληθῶς κατὰ τὸν εἰπόντα ἄξια.

ζ'. Παῦλος δὲ ὁ Σαμοσάτων, ἐκ τῆς ἀχράντου καὶ δεσποίνης ἡμῶν θεοτόκου ἔλεγε τὴν ἀρχὴν εἰληφέναι τῆς θεϊκῆς ὑπάρξεως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, καὶ μὴ προεῖναι πρὸ τοῦ κατὰ σάρκα τῷ γένει τῶν ἀνθρώπων ἐπιφανῆναι. Αὐτίκα δὲ σύνοδος τοπικὴ κατ' αὐτοῦ ἐν Ἀντιοχείᾳ συνίσταται, προεδρεύοντος ἐν αὐτῇ τοῦ μεγάλου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ τῆς Νεοκαισαρέων γεγονότος πόλεως· τούτῳ δὲ συνῆν καὶ Λέων Ταρσοῦ, καὶ Μάξιμος Βόστρης, Ἱεροσολύμων Μάγνης τις

(1) Ἴδε καὶ Εὐσεβ. Ἐκκλ. Ἱστορ. βιβλ. Ε. 16 καὶ 18.

ἱερεὺς, καὶ τῆς ἡμετέρας Καππαδοκίας Φιρμιλιανὸς ὁ θαυμάσιος· σὺν τούτοις συνηριθμεῖτο καὶ Θεότεκνος ὁ Παλαιστίνης· καὶ Φωτεινὸς δὲ καὶ Μάρκελλος, τῆς αὐτῆς [ἦσαν] ἐν τούτῳ γεγονότες ἀθεΐας, ψιλὸν ἄνθρωπον καὶ αὐτοὶ τὸν κύριον ὁρισάμενοι, καὶ ἀπὸ Μαρίας ἀρχόμενον.

ή. Καὶ τούτων τοίνυν ἐλευθερωθεῖσα ἡμῶν ἡ ἐκκλησία, καὶ τὴν κεφαλὴν πρὸς ὕψος ἄρασα, καὶ τῆς πλάνης ἁπάσης κατεξαναστᾶσα, καὶ τὰ ἴδια τέκνα τὰ γνήσια ἐναγκαλιζομένη, καὶ εἰς ὕψος ἄφατον ἐκτείνασα ἑαυτὴν, Σαβέλλιος ὁ Λίβυς κατεξανίσταται αὐτῆς, ἀνάχυσίν τινα καὶ κατάποσιν ἐπιτηδεύσας νομοθετῆσαι, τὸν πατέρα καὶ Θεὸν λέγων σχηματίζεσθαι καὶ ἐκτείνεσθαι ποτὲ μὲν εἰς υἱὸν, ποτὲ δὲ εἰς πνεῦμα· καὶ οὕτως ἐξαπλούμενον πάλιν συστέλλεσθαι, καὶ ἕνα μόνον εἶναι οὕτω Θεὸν λέγεσθαι, μηδαμῶς ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενον τοῦ τε λόγου αὐτοῦ καὶ υἱοῦ, ἔτι δὲ καὶ τοῦ ἁγίου πνεύματος. Κατὰ τούτου πολλοὶ μὲν καὶ ἄλλοι τῶν γνησίων ἡμῶν θηρευτῶν τὰ ἑαυτῶν ἐξέτεινον λῖνα, ἔτι δὲ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας, καὶ τὸν θῆρα τοῦτον ἀγρεύσαντες, τῇ ἰδίᾳ μαχαίρᾳ τοῦ λόγου κατέθυσαν, οὐ πρὸς βρῶσιν ἐπιτήδειον, ἀλλὰ πρὸς ἀπορρίφην καὶ νέκρωσιν ἑτοιμότατον, πᾶσι τοῦ θηρὸς τὰ μέλη ἐμφανῆ καταστήσαντες, καὶ τὴν φαρέτραν αὐτοῦ τῆς ἀλαζονείας ἐκτινάξαντες, καὶ πατεῖσθαι ὑπὸ πάντων ποιήσαντες. Πολλὴν δὲ τὴν κατ' αὐτοῦ ἀπληστίαν ἐνδειξάμενος ὁ λεχθεὶς Διονύσιος, σπέρματα μᾶλλον τῇ ἀφυεῖ διαστάσει τῶν ὑποστάσεων παρασχὼν Ἀρείῳ τῷ δυσσεβεῖ, ὥς φησι Βασίλειος (1) ὁ ἀκρότατος καὶ μέγας πατὴρ ἡμῶν· κἂν ὅτι μάλιστα ὑπεραπολογεῖται αὐτοῦ Ἀθανάσιος ὁ ἀοίδιμος, τοὺς ἀγῶνας αὐτοῦ ἐξηγούμενος, καὶ μὴ γνώμης κακότητι, ἁπλῆς δὲ διανοίας τρόπῳ, τοῦτο ὑπομεμενηκέναι αὐτόν· φαίνεται δὲ ὁ Μάρκελλος καὶ εἰς τὸ τούτου πως ἐμπεσὼν δόγμα.

θ'. Εὐθέως οὖν μετὰ τοῦτον, ἢ καὶ πρὸ τούτου, Ὠριγένης ὁ ματαιόπονος καὶ λῆρος ἀνέφυ, τὰ τῶν ἀμφοτέρων κυρῶν, καὶ ἀρειανίζων· καὶ προϋπαρξιν τῶν ψυχῶν καὶ μεταποίησιν, καὶ αἰώνων

(1) Ἐπιστ. πρὸς Μάξιμον.

τινῶν ἐναλλαγὴν, καὶ ἀναστάσεως τοῦ πεσόντος ζώου ἄρνησιν· σφαιροειδῆ δέ τινα σώματος ἔγερσιν, καὶ μὴ αὐτὴν τὴν πλάσιν τοῦ ἀνθρώπου ἐν τῷ ἰδίῳ σχήματι ἀνίστασθαι μυθευόμενος, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ πονηθέντος κατ' αὐτοῦ λόγου Μεθοδίῳ τῷ μεγάλῳ. Καὶ ἕτερα δὲ μυρία ἀσεβείας πλήρη δόγματα καταφορτώσας εἰς μέσον κατέῤῥιψε, καὶ τοῖς δι' αὐτοῦ τὴν παρόδιον τρίβον ποιουμένοις δολερῶς, ἐπότισε καὶ ἀνέτρεψεν· ὅμως καὶ μᾶλλον τιτρώσκεται ὑπὸ Πέτρου τοῦ μεγάλου ἐπισκόπου καὶ μάρτυρος Ἀλεξανδρείας, ἔτι δὲ καὶ Ἡρακλᾶ, καὶ Δημητρίου (1), καὶ ἑτέρων τινῶν· κἂν ὅτι μάλιστα ὁ πολυμαθὴς, ἢ οὐκ οἶδ' ὅπως εἰπεῖν, Εὐσέβιος ὁ Παμφίλου συνίσταται τούτῳ ὑπεραπολογούμενος αὐτοῦ, καὶ κυρῶν μᾶλλον τήν τε ληρῳδίαν αὐτοῦ καὶ τῆς ἄλλης τῆς τε ἀρειανικῆς καὶ τῆς ἑλληνικῆς εἰκαιομυθίας τὸ ἔκλυτον, ὡς ἐν πλάσματι ἀπολογίας ταῦτα συνιστῶν, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ πονηθέντος λόγου Ἀντιπάτρῳ τῷ Βοστρηνῷ σαφῶς ταῦτα διαγορεύοντι.

ί. Ἄρειος οὖν πάλιν ὁ Ἀλεξανδρείας πρεσβύτερος ἐπεμάνη τῆς ἐκκλησίας ἡμῶν, καὶ ἤρξατο μὲν ἀπὸ Ἀλεξανδρείας, ἐξέτεινε δὲ τὴν αὐτοῦ ἀσέβειαν ὡς εἰπεῖν εἰς τὰ πέρατα τῆς γῆς, ὑπὸ πολλῶν κρατυνομένην καὶ περιεπομένην βασιλέων τε καὶ ἀρχόντων, καὶ σοφῶν, καὶ ἑλλογίμων, ἐξ ὧν ὑπῆρχε τότε καὶ ὁ ἐπιμνησθεὶς Εὐσέβιος, ὡς τὰ τούτων δηλοῦσι συγγράμματα. Ἀναθεματίζεται δὲ ὁ εἰρημένος Ἄρειος ὑπό τε τοῦ προλεχθέντος Πέτρου τοῦ θαυμασίου, μὴ προσηκαμένου τοῦτον μήτε ἐν αὐτῷ τῷ καιρῷ τοῦ μαρτυρίου, πολλῶν γονυπετούντων αὐτὸν καὶ περὶ τοῦ δεχθῆναι αὐτὸν καθικετευόντων, ὅτε καὶ τὸν κύριον ὁ μάρτυς ἔλεγεν ὀφθῆναι αὐτῷ, ἐῤῥηγμένους χιτῶνας ἀμπεχόμενον, καὶ πρὸς αὐτοῦ προσερωτηθέντα, τίς σὲ περιέσχισε κύριε; εἰπεῖν, Ἄρειός με περιέσχισεν· ἀλλὰ μὴ προσδέξῃ αὐτὸν, εἶναι γὰρ τοῦτον κατακεκριμένον ἔλεγε καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· καὶ πάντας παρήγγειλεν ἀποστρέφεσθαι τῆς πρὸς αὐτὸν κοινωνίας· αὐτὸς γὰρ ὁ Ἄρειος ἔφασκε κτίσμα εἶναι τὸν υἱὸν τοῦ Θεοῦ· καὶ εἶναι καιρὸν ὅτε οὐκ ἦν ὁ υἱός· καὶ προτερεύειν

(1) Εὐσεβ. Ἐκκλ. Ἱστορ. ΣΤ'. 8 καὶ Ἱερων. κεφ. 54.

τούτου τὸν χρόνον καὶ τὴν θέλησιν· γενέσθαι δὲ αὐτὸν ὑπὸ τοῦ πατρός· καὶ διὰ τὸ κτίσαι ἡμᾶς μὴ δύνασθαι, ἔλεγε, τοῦ Θεοῦ καὶ πατρὸς τὴν κτίσιν ὑπενεγκεῖν τὴν θεότητα· καὶ λοιπὸν ἐπιτηδευθῆναι μετ' αὐτόν τι κτίσμα, τῆς τε ἀνθρωπίνης καὶ τῶν λοιπῶν κτισμάτων φύσεως, καὶ τὸν υἱὸν τοῦ Θεοῦ· ὥστε δύνασθαι κτιζομένην πελάζειν αὐτῷ τὴν κτίσιν, καὶ μὴ ἐξαπλοῦσθαι τῇ ἀκροτάτῃ τοῦ Θεοῦ καταφλεγομένην δυναστείᾳ, εἴπερ ἄρα ὑπ' αὐτοῦ τοῦ πατρὸς εἰς τὸ εἶναι παρήγετο.

ιά. Τότε, ἢ καὶ μικρὸν πρὸ τούτου, καὶ τῷ μεγάλῳ ἡμῶν πατρὶ καὶ θαυματουργῷ Γρηγορίῳ ἐπιζητοῦντι περὶ τούτων, ἡ τοῦ δόγματος ἐξεκαλύφθη θαυμάσιος διδασκαλία, ὅτε τὴν ἁγίαν παρθένον καὶ θεοτόκον Μαρίαν καὶ Ἰωάννην τὸν παρθένον καὶ Ἀπόστολον ἐθεάσατο, φανερῶς ὑποδεικνυόντων αὐτῷ τὴν τῶν ἐπιζητουμένων ἀκρίβειαν. Αὕτη ἐστὶν ἡ διδασκαλία ἡ παρὰ πᾶσιν ᾀδομένη τοῖς πέρασι, καὶ τὴν ἀπαρχὴν ἐκ τῆς πατρικῆς θεότητος ποιουμένη, εἷς Θεὸς λέγων πατὴρ λόγου ζῶντος, σοφίας ὑφεστώσης, καὶ δυνάμεως, καὶ χαρακτῆρος ἰδίου· ὁμόδοξόν τε καὶ τὸ πνεῦμα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ διδάσκοντος· καὶ μηδὲν εἶναι κτίσμα, ἢ δοῦλον, ἢ ἐπείσακτον ἐν τῇ τριάδι διαγορεύοντος, ὡς πρότερον μὲν οὐκ ὄν, ὕστερον δὲ ἐπεισελθόν· ἄκτιστόν τε καὶ ἀθάνατον εἶναι ἀεὶ τὴν τριάδα τρανῶς διδαχθέντος αὐτοῦ καὶ διδάξαντος. Τότε καὶ βασιλεὺς ὁ Ἀμασείας ἐπίσκοπος, ὁ ὄντως βασιλεὺς τῷ φρονήματι τῆς πίστεως, καὶ τῷ λόγῳ τῆς διδασκαλίας, καὶ ὁμολογίᾳ τοῦ μαρτυρίου, ἐν Νικομηδείᾳ τῇ πόλει ὑπὸ Λικιννίου ἀχθεὶς καὶ μαρτυρήσας, τοῖς ἐρωτήσασιν αὐτὸν περὶ τῆς τοιαύτης ἐρωτήσεως τὴν ἔννομον ἐποιήσατο ἀπόκρισιν, ὁμοούσιον τὴν τριάδα διαγορεύων, καὶ δαιμονικῆς πλάνης ἀνάμεστον τὴν ἀρειανικὴν λέγων φληναφίαν εἶναι, ὡς ἔστι καταμαθεῖν ἐκ τῆς ἐμφερομένης ἐν τῷ μαρτυρίῳ αὐτοῦ διδασκαλίας.

ιβ'. Καὶ Ναυάτος πρὸ Ἀρείου καὶ ἑτέρων αἱρέσεων, πρεσβύτερος Ῥώμης γενόμενος, τὴν μετάνοιαν ἐκ τῆς ἐκκλησίας ἐκκήρυκτον ἐποιήσατο, καὶ μήτε τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας ἀνθρώπους μετανοοῦντας, μήτε ἐν ἄλλῳ ἁμαρτήματι, ἢ πορνείᾳ, ἢ διγαμίᾳ, τῆς μεταλήψεως ἠξίου μεταδίδοσθαι, κἂν

ἄξια τῆς μετανοίας ἔργα ἐπιδείξαιντο· ὅστις εὐθέως κατάκριτος γίνεται, συμφρονησάντων καὶ τῶν τῆς ἀνατολῆς ἐπισκόπων· περὶ αὐτοῦ καὶ ὁ μέγας ἡμῶν ποιμὴν ἐπεμνήσθη Γρηγόριος ἐν ἑνὶ τῶν πανηγυρικῶν αὐτοῦ λόγων(1), τελείως τὴν αἵρεσιν αὐτοῦ βδελυξάμενος.

ιγ'. Τοῦ δὲ ἀρειανικοῦ καπνοῦ εἰς μεγάλην πυρὰν ἀναφθέντος, καὶ πανταχόσε διαδραμόντος, καὶ τὴν οἰκουμένην δακρύων ἐμπλήσαντος, θεόθεν αἰθρίας ἡμῖν ἐκ τῶν διωγμῶν γεγενημένης, καὶ τοῦ ἐπιφανοῦς βασιλέως Κωνσταντίνου τοῦ μεγάλου τὸ βασίλειον ἀναδησαμένου κράτος, κἀνταῦθα παραγεγονότος, ἀνδρὸς ἐναρέτου καὶ πλήρη τὸν τοῦ Θεοῦ φόβον ἐν τῇ καρδίᾳ κατέχοντος, τῷ κόσμῳ καὶ τῇ ἐκκλησίᾳ ἡμῶν μάλιστα ἐπιφανέντος, τὴν τῶν ἱερέων ὁμήγυριν συνήγαγε, καὶ σύνοδον ἐν Νικαίᾳ συγκροτεῖσθαι προσέταξεν, ἥτις ἤδη ἐπὶ αὐτοῦ καὶ ἐγεγένητο, παρόντος αὐτοῦ καὶ τοῖς ἱερεῦσι συνεδρεύοντος. Ἀλέξανδρος ὁ μέγας πατριάρχης Ἀλεξανδρείας παρῆν ἐκεῖσε, Ἀθανάσιος ὁ τούτου διάκονος, Ἰούλιος Ῥώμης(2), Εὐστάθιος Ἀντιοχείας, Μακάριος Ἱεροσολύμων, Ὅσιός τε ὁ Κορδούβης, Μέμνων Ἐφέσου, Λεόντιος ὁ τῆς ἡμετέρας Καισαρείας τῶν Καππαδοκῶν, Παφνούτιός τε ὁ θαυμαστὸς ὄντως ἀνὴρ, καὶ Σπυρίδων ὁ θαυματουργὸς, καὶ ἕτεροι πλεῖστοι, οἳ τὸν ἀριθμὸν τῶν τιή ἀνεπλήρουν πατέρων· λέγεται δὲ καὶ Ἀλέξανδρος ὁ μέγας, τότε διάκονος ὢν ἐκ τῆς ἡμετέρας ταύτης πόλεως, παρὰ Μητροφάνους τοῦ μεγάλου, ὡς ἐν κλίνῃ τούτου διὰ τὸ γῆρας κατακειμένου, ἐκεῖσε ἀποσταλῆναι, καὶ συνεδρεύειν αὐτοῖς. Πολλοὶ δὲ τῶν ἐκεῖσε συνδεδραμηκότων ἐπισκόπων ὁμολογηταὶ τῆς πίστεως ἐτύγχανον, ἐν τοῖς διωγμοῖς ἀκρωτηριασθέντες ὑπὸ τῶν ἀσεβῶν καὶ ἀνόμων βασιλέων, καὶ τῶν μὲν τὰ νεῦρα τῶν ποδῶν, τῶν δὲ οἱ ὀφθαλμοὶ, καὶ ἑτέρων ἄλλα μέλη τοῦ σώματος ἀποτετμημένα ἐτύγχανον, ὑπὲρ τῆς εἰς Χριστὸν αὐτὸν πίστεως καὶ ὁμο-

(1) Ὁμιλία λθ'.

(2) Τοιοῦτον ὄνομα οὐχ εὕρηται μεταξὺ τῶν ἐν Νικαίᾳ τιή θεοφόρων πατέρων, ὅθεν ὁ σοφὸς ἐκδότης τῆς Ῥωμαϊκῆς Σταχυολογίας Κ. Ἄγγελος Μάης εἰκάζει ὅτι ἢ κατὰ μνημονικὸν λάθος ἀναφέρεται ὁ Ἰούλιος, ἢ ὑπῆρχε πρεσβύτερός τις ἢ διάκονος τούτου τοῦ ὀνόματος μετὰ τῶν τοποτηρητῶν τῆς Ῥώμης πεμφθεὶς παρὰ τοῦ Πάπα Σιλβέστρου.

λογίας καὶ δημοσίας ἐνστάσεως. Ἦσαν δὲ τότε ἐν αὐτῇ τῆς ἀρειανικῆς ὑπέρμαχοι μανίας, Εὐσέβιος ὁ Νικομηδείας, καὶ Ἐλεύσιος, καὶ Εὐσέβιος τὸ πρότερον ὁ τοῦ Παμφίλου λεγόμενος, καὶ Θεόγνιος ὁ Νικαίας, καὶ ἕτεροι πλεῖστοι ῥήτορές τε καὶ σοφοὶ, τὴν αἵρεσιν εἰς τὸ ἀκρότατον συγχωροῦντες.

ιδ'. Πολλῆς δὲ τῶν δογμάτων ἐκεῖσε ἐξαπλώσεως καὶ ζητήσεως γεγενημένης, καὶ ὑπὸ τῶν προλεχθέντων πατέρων καὶ ὁμολογητῶν ἐμφρόνως καὶ εὐλαβῶς προτεινομένης, κυροῦται μᾶλλον τὸ δόγμα τῶν ὀρθοδόξων, καὶ ὁμοούσιον τοῦ πατρὸς τὸν υἱὸν ἐκφωνήσαντες, καὶ τοὺς λέγοντας προτερεύειν χρόνῳ τοῦ υἱοῦ, ἢ ὅτι ἦν ποτε καιρὸς ὅτε οὐκ ἦν ὁ υἱὸς ἐπιφημίζοντας, ἀναθεματίσαντες σὺν τῷ Ἀρείῳ, οὕτω τὴν ἑαυτῶν σύνοδον ἔλυσαν, συμφωνήσαντος αὐτοῖς καὶ Εὐσεβίου τοῦ λεγομένου Παμφίλου· καὶ φέρεται αὐτοῦ ἐπιστολὴ πρὸς τὴν οἰκείαν γεγραμμένη πόλιν, καὶ ἑτέροις τισὶν, ἐν οἷς πρότερον ἀπαναχωρῶν, ἔγγραφον καταλέλοιπε πίστιν, τρανῶς ὁμοούσιον κηρύττουσαν, καὶ οὐ ξένην εἶναι τὴν λέξιν διαγορεύουσαν· καὶ τούτου ἕνεκεν, ἵνα μὴ τῇ προτέρᾳ αὐτοῦ ἐξακολουθοῦντες πίστει, ἀπωθοῦνται τὸ ὁμοούσιον· ἔτι δὲ καὶ ἄλλαι τινὲς πρὸς τοῦτο ὕστερον ἀντιρρήσεις αὐτοῦ πρός τινας τοὺς τὸν υἱὸν κτίσμα λέγοντας γεγονυῖαι· κἂν ὅτι μάλιστα πάντα αὐτοῦ τὰ λοιπὰ συγγράμματα, ἐν οἷς δογμάτων ἐν αὐτοῖς γένηται μνήμη τὴν ἀρειανικὴν δηλοῦσιν αἵρεσιν· ταύτης γὰρ ὁ ἀνὴρ τῆς δόξης εἶναι ἐν ἅπασιν αὐτοῦ τοῖς συγγράμμασι φαίνεται· ἢ μόνον ἐν τοῖς κατὰ Μαρκέλλου τοῦ Γαλάτου ποσῶς τὴν τοιαύτην ὑπέφυγεν ὑπόληψιν, πάντως τοῦτο τὸ σύνταγμα μετὰ τὴν σύνοδον πεπονηκότος αὐτοῦ, ὡς οἱ τῷ πονήματι τούτῳ ἐντυχόντες παραδεδώκασιν ἡμῖν· εἰς ἡμετέρας γὰρ χεῖρας οὐκ ἐλήλυθεν ἡ τοιαύτη αὐτοῦ πραγματεία ὅλη. Ἔστι δὲ ὁ ἀνὴρ εὐστομίᾳ καταπεποικιλμένος, καὶ κάλλει ὑπαγορίας περιεστιλβωμένος, ἀρχαίων τε πραγμάτων μνήμης ὡς ἀληθῶς ἀξίαν τὴν διαγόρευσιν ποιούμενος· ὅμως ἐν τῇ τῶν ψαλμῶν ἑρμηνείᾳ πολὺ παρὰ τὸ εἰκὸς εἴς τινα μέρη τὴν ἑαυτοῦ ἐξεκάλυψε φρόνησιν λογικοὺς ἀστέρας καὶ ἕτερά τινα προσειπών· διὰ ταύτας γὰρ αὐτοῦ τὰς λεχθείσας δόξας, καὶ οἱ τὴν βιβλιοθήκην ἡμῖν κατα-

σκευάσαντες, οὐδαμῶς τοῖς ὀρθοδόξων πονήμασι τὰ βιβλία αὐτοῦ συναπέθεντο, ἀλλὰ χωρὶς μετὰ τὸ πλήρωμα τούτων, εἰς τὴν ἀπαρχὴν τῶν αἱρετικῶν βιβλίων ἐν τῷ ἰδίῳ κιβωτίῳ ἐγκατέθεντο.

ιέ. Τοῦ δὲ ἐπιμνησθέντος Κωνσταντίνου τοῦ μεγάλου ἡμῶν βασιλέως, εὐλαβείας τρόπῳ ἀναγκάζοντος Ἀθανάσιον τὸν μέγαν, ἤδη πατριάρχην Ἀλεξανδρείας γεγενημένον, δέξασθαι Ἄρειον εἰς κοινωνίαν τῶν πρεσβυτέρων, ὡς ἅτε μετανοοῦντος αὐτοῦ, ὡς ἐνόμιζε, καὶ ἵνα μὴ καταλίπῃ σχίσμα τῇ ἐκκλησίᾳ, τῇ δὲ ἀληθείᾳ ἐκείνου αὐτοῦ Ἀρείου μᾶλλον τὴν οἰκείαν ἀσέβειαν κρυπτῶς ἐπικυροῦντος, αὐτίκα τοῦ Ἀθανασίου τοῦτο μὴ καταδεξαμένου, διὰ τὸ κρυπτόμενον αὐτοῦ τῆς ἀθεΐας ὡς λέλεκται ἄθεον, ἐξορίζεται τοῦ οἰκείου θρόνου ὁ ἅγιος, μάλιστα καὶ διὰ τὰς κατ᾽ αὐτοῦ γενομένας συστάσεις ὑπὸ τῶν κρυπτῶς ἀρειανιζόντων, φοβηθέντος τοῦ βασιλέως μήπως ἐπιβουλεύσαντες ἀποκτείνωσι τὸν Ἀθανάσιον· καὶ τότε τοὺς κατ᾽ αὐτοῦ συγγράφει λόγους, καὶ τῶν τὴν ὁμοίαν αὐτῷ νοσούντων ἀσέβειαν. Λέγεται γὰρ αὐτὸς ὁ Ἄρειος συντάξαι ἐν μικρῷ χάρτῃ τὴν οἰκείαν ἀσέβειαν, καὶ οὕτως ὑπὸ τὸν φελόνην ἐγκατακρύψαι, καὶ τῇ χειρὶ ἐπαγόμενον τοῦτον, προσελθεῖν τῷ βασιλεῖ· καὶ τῷ δοκεῖν αὐτῷ ὀμνύειν πιστεύειν οὕτως, ἐπιφερόμενος κρυπτῶς τὸν χάρτην, καὶ τῇ χειρὶ περιδεδραγμένον ἕτερον καὶ ἐπισείοντα· οὐ μετὰ πολὺ δὲ ἀποθνήσκει Κωνσταντῖνος ὁ μέγας βασιλεὺς, βαπτισθεὶς ὑπό τινος Ἀρειανοῦ πρεσβυτέρου, ἐκείνου μὴ ἐπεγνωκότος τοιοῦτον εἶναι τὸν πρεσβύτερον· ἦν γὰρ ὁ ἅγιος ἐπιθυμίαν ἔχων μεγίστην εἰς αὐτὸν τὸν Ἰορδάνην κατελθεῖν ποταμὸν, κἀκεῖσε τὸ σωτήριον δέξασθαι βάπτισμα, ἐν τῷ τόπῳ ἔνθα καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτε μεθ᾽ ἡμῶν σαρκὶ ἐγένετο, τὸ τοιοῦτον ἐπλήρωσε μυστήριον· τότε δὲ τοῦ θανάτου κατεπείγοντος αὐτὸν, ἐκεῖσε ἐβαπτίσατο, καὶ μετ᾽ αὐτῶν τῶν ἐμφωτίων, ὡς εἰπεῖν, τῷ τάφῳ τὸ σῶμα αὐτοῦ παρεπέμφθη.

ις᾽. Καὶ διαδέχεται τὴν τῆς ἀνατολῆς βασιλείαν Κωνσάντιος ὁ υἱὸς αὐτοῦ, τῇ τοῦ εἰρημένου πρεσβυτέρου ὑπαχθεὶς ἀσεβεῖ αἱρέσει· ἦν γὰρ αὐτὸς ὁ πρεσβύτερος τὴν τοῦ πατρὸς αὐτοῦ ἐγ-

χειρισθεὶς διαθήκην, ἐν ᾗ ἐγέγραπτο ἑτέρας μοίρας εἶναι τὸν Κωνστάντιον βασιλέα, τῆς δὲ ἀνατολῆς ἄλλον τῶν υἱῶν αὐτοῦ· ὁ δὲ πρεσβύτερος τοῦτον μετέθηκεν εἰς τὴν ἀνατολὴν, τὸ ἔγγυον ὑπ᾽ αὐτοῦ λαβὼν, τῆς αἱρετικῆς αὐτοῦ ἕνεκεν βλασφημίας. Καὶ τότε πολὺς ὁ πόλεμος τῶν ἐπισκόπων τῶν ὀρθοδόξων ἐγεγόνει, καὶ τῶν ἰδίων αὐτῶν θρόνων ἐκδιωγμός· τῶν δὲ Ἀρειανῶν ἡ ἐπικράτησις πανταχοῦ διεφαίνετο· Μελετίου τοῦ μεγάλου, καὶ Εὐσταθίου, καὶ ἑτέρων τινῶν, καὶ αὐτοῦ Ἀθανασίου πάλιν τῆς ἐπισκοπῆς ἐκδιωχθέντων, ἐπειδὴ ἦν ὁ ἅγιος Ἀθανάσιος κεκρατηκὼς τοῦ ἰδίου θρόνου, Κώνσαντος ἐν Ῥώμῃ βασιλεύοντος, καὶ ἐκ τῶν Γαλλιῶν πρὸς τὴν ἰδίαν πόλιν αὐτὸν ἀποστείλαντος, τοῦτο καὶ τοῦ ἰδίου πατρὸς βουληθέντος, ὡς αὐτός φησι, διαπράξασθαι· ἐκείνου δὲ τελευτήσαντος, εἰς μνήμην αὐτοῦ, τοῦτον τὰς αὐτοῦ ἐντολὰς ἀποπληρῶσαι τῆς συνόδου πικρῶς ἀναθεματιζομένης· καὶ κατ᾽ αὐτοῦ Ἀθανασίου δικαστήρια συνισάμενα, ὅτε καὶ κατεψεύσθη ὁ ἅγιος πάμπολλα, ὡς δηλοῦσιν αἱ περὶ αὐτοῦ συγγραφαί. Λέγεται δὲ καὶ Εὐσέβιον τὸν Παμφίλου συνασπιστὴν εἶναι τῶν κατ᾽ αὐτοῦ κινησάντων τὸν διωγμὸν, καὶ προτερεύειν ἐν τῇ καθέδρᾳ τῶν κατ᾽ αὐτοῦ συλλόγων, ὡς οἱ παραθέμενοι ἐν τῷ λόγῳ τοῦ μεγάλου πατρὸς ἡμῶν Γρηγορίου τοῦ θεολόγου τῷ πονηθέντι αὐτῷ εἰς αὐτὸν τὸν Ἀθανάσιον διαγορεύουσι, καὶ ἕτεροί τινες ἱστορικοί· ἐκεῖνος γὰρ, ὡς λέγει, τὸ ὄνομα ἑκουσίως ὑπερτίθεται φανερῶσαι, αἰδούμενος τὸ τοῦ ἀνδρὸς πολυμαθὲς, καὶ μὴ ὀνομάσαι τοῦτον ὑπέρμαχον τῶν Ἀρειανῶν καὶ συνασπιστὴν ἐθέλων.

ιζ΄. Τότε καὶ Μακεδόνιος ὁ ἀσεβὴς προσάτης ἦν τῆς ἀσεβείας, τοῦ μεγάλου βασιλέως Κωνσταντίνου τὸ σῶμα ἐκβαλεῖν καὶ μεταθήσειν ἑτέρωσε βουληθεὶς, τοῦ δὲ ὀρθοδόξου λαοῦ οὐκ ἐνεγκόντος τὸ τοιοῦτον ἐγχείρημα, εἰς ἔργον τὴν λύπην ἐξέφερον, καὶ κωλύειν τοῦτον παρεβιάζοντο· ἐπιστάντος τε αὐτοῖς τοῦ ἀρειανικοῦ σμήνους, πλεῖστος μὲν ἐγεγόνει φόβος, καὶ αἱμάτων οὐ τῶν τυχόντων ἔκχυσις· μόλις δὲ τὸ σῶμα διαφυγὸν ταῖς εὐτρεπισθείσαις ἐναπετέθη θήκαις, μετὰ πολλῆς οἰμωγῆς καὶ δακρύων συνεχῶν.

ιή. Ἄρειον δὲ τὸν τῆς μανίας ἐπώνυμον, τέως ἔτι τῷ βίῳ ἐν-

διατρίβοντα, βασιλεύων Κωνστάντιος ἐβιάζετο τοὺς τῆς ἐκκλησίας ἡμῶν εἰσδέχεσθαι, καὶ κοινωνικὸν αὐτὸν προσλαμβάνεσθαι. Τοῦ δὲ μεγάλου ἡμῶν πατρὸς καὶ πατριάρχου Ἀλεξάνδρου πρὸς τῷ θυσιαστηρίῳ τὰς χεῖρας εἰς ὕψος ἀνατείναντος, καὶ ἐστηλωμένου ὥσπερ ἑστῶτος, καὶ τῷ Θεῷ τὴν δέησιν προσάγοντος, ἐλεῆσαι τὸν αὐτοῦ λαὸν καὶ λυτρώσασθαι τῆς ἀρειανικῆς δολιότητος ἱκετεύοντος, ἐκείνου μετὰ πολλῆς προπομπῆς εἰσιόντος, καὶ ἐν τῷ φόρῳ ἤδη γεγενημένου, πλήθους δὲ οὐ τοῦ τυχόντος παρεπομένου, καὶ τῶν ἰδίων αὐτοῦ συναγωνιζῶν, ἀπ᾽ αὐτοῦ βασιλέως καὶ ἑτέρων πλείστων παραθαῤῥούντων τὸν δείλαιον καὶ ἐπιγελώντων ἡμῖν, θεόθεν γίνεται ἡ τῶν καταπονουμένων ἐκδίκησις· πρὸς γὰρ τὴν λεγομένην φῶσσαν ἀπονεύσας ὁ ἄθλιος, ὥστε αὐτὸν τὰ περιττὰ τῆς γαστρὸς ἀποτινάξασθαι, τὴν κοιλίαν αὐτοῦ καὶ τὰ ἐντὸς αὐτοῦ συγκαταφέρει ὁ ἄνομος, καὶ τῶν τῆς γλώσσης ἁμαρυγμάτων τὸν μισθὸν κομίζεται τοῦτον, ἐπαξίως τῆς αὐτῆς δυσωδίας τὴν ζωὴν διαλύσας πρὸς τὸν θάνατον ἀπενεχθείς· οὕτως τῆς ἐκεῖσε κολάσεως, κἀνταῦθα τὰ ἐπίχειρα τῆς αὐτοῦ ζωῆς δεξάμενος. Τινὲς δὲ ἐπ᾽ αὐτοῦ Κωνσταντίνου τοῦτο ὑπομεῖναι τὸν Ἄρειον ἀποδεδώκασιν, εἴτε δὲ ἐπ᾽ ἐκείνου εἴτε ἐπὶ τούτου οὗτος ὁ ἀσεβὴς τὴν τοῦ Ἰούδα ῥῆξιν ὑποστὰς, τοῦ παρόντος ἀπελαύνεται βίου· ἐγὼ δὲ ἐπὶ Κωνσταντίου τοῦτο φημὶ γενέσθαι· τοῦτο ἡμῖν ὁ μέγας Γρηγόριος ὁ θεολόγος ἐξηγεῖται τὸ θαῦμα(1), ὡς ἐν στήλῃ τινὶ περιβοήτῳ θριαμβεύων τὴν ἔννομον καὶ δικαίαν τοῦ ἀνδρὸς ἀπώλειαν· κἂν ὅτι περὶ πολλοῦ ἐποιήσαντο οἱ τότε Ἀρείῳ συντρέχοντες ἀποκρυβῆναι τῷ βασιλεῖ, διὰ τῶν εὐνούχων τοῦτο ἀποπείσαντες, ἰδίῳ θανάτῳ μᾶλλον καὶ κοινῷ τέλει παρελθεῖν αὐτόν· μετ᾽ οὐ πολὺ δὲ καὶ ὁ προλεχθεὶς Κωνστάντιος ἀποθνήσκει, καὶ ὁ Ἀθανάσιος εἰς τὸν ἴδιον ἐπανάγεται θρόνον.

ιθ'. Καὶ ὀλίγον ἡμῖν χρόνον ἐπιμανέντος τοῦ ἀσεβοῦς Ἰουλιανοῦ, ὑφ᾽ οὗ καὶ πάλιν Ἀθανάσιος ἐξορίζεται, Ἰοβιανὸς εὐθέως ὁ μέγας ἐν τῇ Περσίδι βασιλεὺς ἀναγορεύεται, ἀνὴρ ὀρθόδοξος

(1) Ὁμιλ. κά.

καὶ πλήρης συνέσεως καὶ ὀρθοδόξου πίστεως· ἀλλ' ὢ τῆς ἡμετέρας ἁμαρτίας, ὢ τῆς ἐπιγενομένης ἐκ τῶν ἡμετέρων ἀνομιῶν ἀξίας τιμωρίας· οὔπω γὰρ τῇ πόλει ταύτῃ τὸν ἄνδρα ἐπιστάντα, μετὰ τὸ ἀποκαταστῆσαι, ἐπιζητῆσαί τε καὶ ἐκμαθεῖν ὑπὸ Ἀθανασίου τοῦ μεγάλου τὴν ὀρθὴν καὶ ἀλώβητον τῶν χριστιανῶν πίστιν, πρὶν ἢ τῇ πόλει ἡμῶν ταύτῃ ἐπιβῆναι τὸν ἄνδρα, ὡς λέλεκται, μεταίρει τοῦτον ὁ Θεὸς, καὶ πρὸς αὐτά που τὰ τέρματα τῆς Βιθυνίας γεγονότος αὐτοῦ. Οὐάλης δὲ εὐθέως τῶν τῇ δε ἀναγορεύεται βασιλεὺς, ἀνὴρ παράνομος καὶ ἐναγὴς, Ἀρειανὸς καὶ βλάσφημος, καὶ δύο τὰ μέγιστα νοσήσας ἀπληστίαν καὶ βλασφημίαν, κατὰ τὸ περὶ αὐτοῦ εἰρημένον· ὅστις ὡς νόμον ἔννομον τὴν παρανομίαν ἐκέκτητο, ἀκρασίᾳ δὲ τὴν πλεονεξίαν, ὡς κρᾶσιν μᾶλλον δὲ κρίσιν πεπηγμένην ἐν ἑαυτῷ κατεπήξατο· οἱ μεγάλοι οὖν ἡμῶν πατέρες Βασίλειός τε καὶ Γρηγόριος ἀνδρίζονται· τότε καὶ ὁ προλεχθεὶς Εὐστάθιος, καὶ Μελέτιος, καὶ Εὐσέβιος ὁ Σαμοσάτων, ὡς ἔστι τοῦτο καταμαθεῖν παντὶ τῷ περὶ τούτων ἐθέλοντι ἀνερευνᾷν.

κ'. Μάλιστα δὲ τῆς πόλεως ἡμῶν ταύτης ἐπινεμηθείσης τῆς ἀσεβοῦς αἱρέσεως, ἔτι δὲ καὶ τῆς Μακεδονίου κατὰ τοῦ ἁγίου πνεύματος μιαρᾶς ὑλακῆς κατεσθιούσης αὐτὴν, οὓς καὶ ἡμιαρείους τοὺς ἐξ αὐτοῦ οἱ πατέρες ὠνόμαζον· πρεσβυτέρων τε ἐμπρησμοὶ τότε γινόμενοι δημόσιοι, καὶ παρθένων καθυβριζομένων ἐμφανῶς, εἰ μὴ τὸ τῆς αἱρέσεως δέξωνται μίασμα, ἱερεῖς τε ἀπεμπολούμενοι, καὶ τὰ ἅγια βεβηλούμενα, καὶ κατὰ θυσιαστηρίων αἱρετικῶν ἐξορχουμένων. Ταῦτα δὲ ἡμῶν ἤδη τὰ νοσήματα, καὶ προφανέντα καὶ προκηρυχθέντα ὑπὸ τοῦ μεγάλου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ περιβοήτου τὸ τέλος ἐλάμβανον· καὶ πέμπεται ἐνταῦθα Γρηγόριος ὁ μέγας πατὴρ ἡμῶν καὶ θεολόγος καὶ τῇ σφενδόνῃ τῆς ἀληθοῦς ὁμολογίας λιθοβολεῖ τοὺς ἀλλοφύλους· καὶ διαλύει τὰς πράξεις αὐτῶν, καὶ πάσας τὰς ἐκκλησίας ἀναλαμβάνει ὑπὸ τῶν Ἀρειανῶν, καὶ Πνευματομάχων, καὶ Ἀπολλιναριςῶν, τῶν ἄνουν λεγόντων τὸν κυριακὸν ἄνθρωπον· κατασχεθέντος Παύλου τοῦ ὁμολογητοῦ καὶ πατριάρχου ἡμῶν, καὶ προαποκτανθέντος ὑπὲρ τῆς καλῆς ὁμολογίας, καὶ τῶν αὐτοῦ νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου.

κά. Ἐπεφύη δὲ καὶ Εὐνόμιος ὁ Κυζίκου ἐπίσκοπος, ὅστις ἀνόμοιος τῷ πατρὶ τὸν υἱὸν ἐδογμάτιζε, καὶ διὰ τοῦτο μᾶλλον ἀνόμοιον αὐτὸς καὶ οἱ τῆς αὐτοῦ αἱρέσεως ἐπεκλήθησαν· κατ᾽ αὐτοῦ Βασίλειος ὁ μέγας ἡμῶν πατὴρ ὁ τῆς ἀληθείας κήρυξ ἐβόησε καὶ τὸν κύνα τοῦτον τῆς ἐκκλησίας ἀπήλασε· πάλιν δὲ κρυπτῶς συντάξαντος αὐτοῦ κατ᾽ αὐτοῦ τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, ὡς ἤδη ἐγχειρισθέντων αὐτῷ τῶν ἐξ αὐτοῦ πρὸς τὰ τοῦ αὐτοῦ Εὐνομίου γεγονότα συγγράμματα, καὶ μετὰ τὸν αὐτοῦ Βασιλείου θάνατον ἐμφανίσαντος τὸ τοιοῦτον ἀμαθὲς ποίημα, ὁ ἀδελφὸς αὐτοῦ καὶ τῇ πίστει καὶ τοῖς τρόποις Γρηγόριος ὁ Νύσσης τοῦτο ἐπεγνωκὼς, ὡς εἰς χεῖρας αὐτοῦ τῶν συγγραμμάτων ἐληλυθότων ἀγωνίζεται κατ᾽ αὐτοῦ, καὶ τελείῳ ἀναθέματι τοῦτον παραδίδωσιν, ὡς ἔστιν ἰδεῖν σαφῶς τοῦτο ἐκ τῶν πονηθέντων αὐτῷ πρὸς τοῦτο λόγων.

κβ′. Τούτων δὲ τέως κατασιγασθέντων, τῆς τοῦ Μακεδονίου κατὰ τοῦ ἁγίου πνεύματος λύσσης ἐπινεμομένης, τῆς πονηρᾶς βασιλείας ἐκ ποδῶν γεγενημένης, καὶ Θεοδοσίου τοῦ ὀρθοδόξου ἡμῶν βασιλέως τὸ βασίλειον ἀναδησαμένου κράτος, συγκροτεῖται τῶν ἱερῶν ἐπισκόπων ἐνταῦθα σύνοδος ρν′. τούτους ἀριθμεῖν παρειλήφαμεν, καὶ τὴν τοῦ ἁγίου πνεύματος θεότητα τρανῶς ἐκδιδάσκουσα, προσθέντες τῇ ἐκφωνήσει τῆς πρώτης συνόδου, πιστεύειν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, καὶ τὰ λοιπά. Κυρώσαντες δὲ τὴν πρώτην σύνοδον, καὶ τὰ αὐτῆς καλῶς ὁρίσαντες, καὶ εὐσχημοτέρως παραδεδωκότες τὸ σύμβολον ταύτης, ἐξεδήμουν τῆς θεοφυλάκτου ἡμῶν πόλεως, ἀναθεματίσαντες Ἄρειον, Εὐνόμιον, Εὐδόξιον, καὶ τοὺς τούτων σύμφρονας· ἐν αὐτοῖς ὑπῆρχον οἱ προειρημένοι, Μελέτιος ὁ μέγας, Γρηγόριος ὁ Νύσσης, Γρηγόριος ὁ θεολόγος, Κελεστῖνος ὁ Ῥώμης, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, καὶ οἱ συνελθόντες αὐτοῖς ὅσοι τὸν ἀριθμὸν συνεπέρανον τοῦτον· ἐνταῦθα δὲ τοῦ ἁγίου Μελετίου τελευτήσαντος, καὶ τῶν Ἀλεξανδρείας ἐπισκόπων μικρὸν στασιαζόντων, ὡς τοῦ μεγάλου ἡμῶν πατρὸς Γρηγορίου παρὰ γνώμην αὐτῶν τὸ ὀρκεῖν τὸν ἐν-

ταῦθα θρόνον κατεσχηκότος αὐτοῦ, καίτοι γε αὐτοῦ τοὺς αἱρετικοὺς ἐκδιώξαντος, κἀκεῖθεν, ὡς εἰπεῖν, ἀναλαβόντος πάσας τὰς ἐκκλησίας, ὡς εἶδε τούτους θορυβοῦντας, τὸν συντακτήριον αὐτοῖς προσφωνήσας λόγον, καὶ βασιλέα καθικετεύσας ἀπολυθῆναι αὐτὸν, ἐκδημεῖ τῶν ἐνταῦθα καὶ εἰς τὴν ἰδίαν παραγίνεται χώραν, τὴν ἡσυχίαν ἀσπαζόμενος.

κγ'. Κἀκεῖσε Ἀπολλιναρίου τοῦ Σύρου σπέρματα καὶ μαθητὰς εὑρηκὼς ἐνίσταται κατ' αὐτῶν, καὶ γράφει τὰς δύο κατ' αὐτοῦ ἐπιστολὰς πρὸς Κληδόνιον, καὶ κατακρίνει τοῦτον, καὶ ἀναθεματίζει, καὶ τελείως τῆς ὀρθοδόξων ἐξελαύνει ἐκκλησίας· αὐτὸς γὰρ ὁ Ἀπολλινάριος ἔλεγεν, ὥσπερ ἔφημεν, καὶ ἄνουν εἶναι τὸν ἄθρωπον ὃν ἀνείληφεν ὁ Θεὸς λόγος, ἤγουν μὴ ἐνυπάρχειν ψυχὴν λογικήν τε καὶ νοερὰν τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ, ἀλλ' ἀντὶ ψυχῆς, τὴν θεότητα λογίζεσθαι ἐνοικεῖν ἐν τῇ φύσει τῆς ἀνθρωπότητος, μᾶλλον δὲ ἀντὶ τοῦ νοός· τοῦτο γὰρ ὕστερον ἐκύρωσεν, ἀντὶ τῆς ψυχῆς· ἔλεγε δὲ καὶ τὴν σάρκα ἄνωθεν κεκομίσθαι αὐτὸν, καὶ ὡς διὰ σωλῆνος διελθεῖν τῆς παρθένου, καὶ ἕτερά τινα προσετίθει φλυαρῶν ἄξια τῆς αυτοῦ παροινίας· ὑπάρχων δὲ πολύλογος ὁ ἀνὴρ, καὶ μάλιστα μέτρων ἐπιστήμη καὶ ῥυθμῶν (1) θέσει, μὴ κατὰ τάξιν μάλιστα ἐπιβὰς αὐτῇ, ἀλλ' ὑπὲρ ὃ ἦν ἑαυτὸν λογισάμενος, τινὰς γραφικὰς βίβλους μεταποιήσας πρὸς τὸ ἔμμετρον, πολλοὺς ἐπειρᾶτο πρὸς τὴν οἰκείαν κατασύρειν παρανομίαν· τότε δὲ αὐτοῦ ἀποῤῥιφέντος, μικρόν πως ἡ ἐκκλησία ἡμῶν ἀνανεύσασα, μετ' οὐ πολὺ αἱ αὐταὶ μᾶλλον δὲ καὶ χείρους, ἐπεχειροῦντο ταραχαὶ, ἔτι μὴ τῆς προτέρας τέως ἐπιλησθείσης αὐτῆς ἀνάγκης, καὶ τῶν προλεχθέντων πολέμων καὶ διωγμῶν.

κδ'. Ἐνταῦθα γὰρ ἐξ ἑτέρας τινὸς χώρας, ὥς φασί τινες τῆς Ἀντιοχείας, ἀγαγόντες Νεστόριόν τινα, ἄνδρα δυσσεβῆ καὶ κακότροπον, προχειρίζονται ἱερέα, τοῦ θρόνου τότε χηρεύοντος· οὐ ποιμένα λογικῶν προβάτων, λύκον δὲ μᾶλλον κατεσθίοντα τὸ ποίμνιον, καὶ εἰς ἀπωλείας πυθμένα κατάγοντα· ἰουδαϊκὸν γὰρ φρόνημα ἀναδεξάμενος, οὐ τὸν λόγον σάρκα ἀτρέπτως γεγενῆσθαι ἔλεγεν, ἀλλ' εἴς τινα ἄνθρωπον ἐνοικῆσαι ὡς ἕνα τῶν προ-

(1) ἀριθμῶν Σ. Ῥ. — ἀλλὰ καὶ ὁ Κ. Μάης ἀποδοκιμάζει τὴν γραφὴν ταύτην.

φητῶν, καὶ ἰδιοποιεῖσθαι τοῦτον ἐξαιρέτῳ ἀγαπήσει· καὶ εἶναι ἄλλον μὲν υἱὸν λόγον, ἄλλον δὲ λέγεσθαι μὲν, μὴ εἶναι δὲ γνήσιον, θετὸν δὲ υἱὸν τὸν λεγόμενον Ἰησοῦν Χριστόν· ὡς ἐντεῦθεν δύο υἱοὺς καὶ μὴ ἕνα λέγεσθαι εἶναι· ἐξήγειρεν οὖν ὁ Θεὸς κατ᾽ αὐτοῦ τὸ πνεῦμα Κυρίλλου, τοῦ γεγονότος πατριάρχου Ἀλεξανδρείας· καὶ πρῶτον μὲν γράφει πρὸς αὐτὸν Νεστόριον ἐπιδιορθούμενος αὐτὸν, καὶ πρὸς τὴν ὀρθὴν αὐτὸν ἐμβιβάζων πίστιν, καὶ θεοτόκον τὴν παρθένον ὀνομάσαι παρακαλῶν· ὡς δὲ οὐκ ἐνεδίδου, ἕτερα πάλιν κατέπεμψε γράμματα μετὰ καὶ δώδεκα κεφαλαίων ἐχόντων καὶ ἀνάθεμα· ὥστε τὸν μὴ οὕτω φρονοῦντα ἀναθεματίζεσθαι.

κέ. Ἀντιλέγοντος δὲ αὐτοῦ καὶ πρὸς ταῦτα, σύνοδος ἐν Ἐφέσῳ συγκροτεῖται, καὶ παραπέμπεται ἐκεῖσε Νεστόριος μετὰ τοῦ ἐπάρχου τῆς πόλεως καὶ ἑτέρων πολλῶν περιεχόντων αὐτὸν, καὶ πρὸς τὴν σύνοδον διαβιβαζόντων. Θεοδόσιος ἦν ὁ νέος τὰς ἡνίας τῆς βασιλείας ἐγκεχειρισμένος τότε· προέδρευε δὲ ἐν αὐτῇ τῇ λεγομένῃ τρίτῃ συνόδῳ Κύριλλος μὲν Ἀλεξανδρείας, Κελεστῖνος ὁ Ῥώμης, Ἰουβενάλιος Ἱεροσολύμων, καὶ Ἀκάκιος ὁ Μελιτινῆς· καὶ καθαιρεῖται μὲν Νεστόριος, κυροῦνται δὲ ἐν αὐτῇ καὶ αἱ προειρημέναι δύο σύνοδοι, τέλειόν τε τὸν αὐτὸν ἕνα υἱὸν ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι ὁμολογοῦσιν, ἕνα καὶ οὐ δύο υἱούς· ὡς δηλοῦται σαφῶς ὁ παρ᾽ αὐτῶν ἐκφωνηθεὶς τῆς εὐσεβείας θεόπνευστος ὅρος· καὶ οὕτως ἡ σύνοδος ταῦτα ἐκφωνήσασα ἀπέλυσεν ἕκαστον τῶν ἐπισκόπων μετασκηνῶσαι εἰς τὸν ἴδιον τόπον.

κς'. Ἰωάννου δὲ τοῦ Ἀντιοχείας καὶ Θεοδωρήτου ἀνθισταμένων τῷ μακαρίῳ Κυρίλλῳ κατὰ πρόφασιν τοῦ δοκεῖν χωρὶς αὐτῶν ἐκφωνηθῆναι τὸν ὅρον ἐν τῇ συνόδῳ, καίτοι γε τοῦ μεγάλου πατρὸς ἡμῶν Κυρίλλου ἐπὶ πολλὰς ἡμέρας ἐκδεξαμένου αὐτοὺς, τῇ δὲ ἀληθείᾳ ἐριστικῶς πρὸς αὐτὸν καὶ οὐκ ὀρθῶς διακειμένων αὐτῶν, μετέβαινον καὶ αὐτοὶ ἀσυμφώνως πρὸς τὰς ἰδίας πόλεις, πολλὰ μεταξὺ θορυβήσαντες καὶ κινήσαντες· ὡς καὶ Θεοδώρητον ἐπίσκοπον κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἁγίου Κυρίλλου ἕτερα δώδεκα συντάξαι κεφάλαια, καὶ πάλιν αὐτὸν Κύριλλον πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ τὰ ἴδια δεόντως ἑρμηνεῦσαι καὶ ἐπιλῦσαι κεφάλαια. Θεοδοσίου δὲ τοῦ βασιλέως ταῦτα ἐπεγνωκό-

τος, καὶ κινηθέντος καὶ καθ' ἑτέρων μὲν, μάλιστα δὲ κατὰ Κυρίλλου τοῦ ἐν ἁγίοις, πέμπεται ἐνταῦθα Ἀκάκιος ὁ Μελιτινῆς, ἀνὴρ θεοσεβὴς καὶ εἰς ἄκρον ἐλληλακὼς εὐταξίας καὶ εὐλαβείας, καὶ τὰ τῆς συνόδου ἐμφανίζει τῷ βασιλεῖ, καὶ τὸν τούτου καταστέλλει θυμόν· καὶ τὰ τῆς ἐκφωνήσεως τὸ κῦρος λαμβάνουσι, καὶ Κύριλλος ὁ πατριάρχης εἰς τὴν ἰδίαν ἀπαίρει πόλιν.

κζ'. Οὕτω τούτων πραχθέντων, καὶ τέως μικρᾶς ἀνέσεως γενομένης, ἐπιφύεται Εὐτυχής τις λεγόμενος μοναχὸς καὶ ἀρχιμανδρίτης, καὶ ἀποσπᾷ ὀπίσω αὐτοῦ οὐκ ὀλίγον τι μέρος λαοῦ, κυρῶν τὰ τοῦ Νεστορίου, καὶ ἕτερά τινα φλυαρῶν· Εὐσέβιος δὲ ὁ τοῦ Δορυλαίου ἐμφανίζει τὴν ἀσέβειαν αὐτοῦ ἐπὶ Φλαβιανοῦ τοῦ ἐν ἁγίοις τῶν ἐνταῦθα γεγονότος πατριάρχου, Κυρίλλου ἤδη ἐκποδῶν τοῦ παρόντος βίου γεγενημένου· καὶ παραγίνεται μὲν Εὐτυχὴς ἐν δημοσίῳ Σεκρέτῳ, τοῦ ἐν ἁγίοις Φλαβιανοῦ προκαθημένου, καὶ Βασιλείου τοῦ Σελευκείας, Εὐσεβίου κατ' αὐτοῦ ἑστῶτος, καὶ προφέροντος τὰ ἀκουσθέντα αὐτῷ περὶ αὐτοῦ· ἀρνεῖται τοίνυν ὁ Εὐτυχὴς, καὶ συνίστανται τὰ ἐνταῦθα πεπραγμένα· καὶ τέως ὑπέξεισιν αὐτὸς τοῦ δι' αὐτὸν συγκροτηθέντος εὐσεβοῦς συνεδρίου· μετ' ὀλίγον δὲ πάλιν διὰ βασιλικῆς ἰσχύσαντος χειρὸς, ἑτέρα σύνοδος ἐν Ἐφέσῳ λῃστρική τις καὶ οὐχ ὁσία συνάγεται, ἐκεῖσε παραπεμφθέντος καὶ Φλαβιανοῦ τοῦ ἐν ἁγίοις, ὅστις μεθ' ἑαυτοῦ τὰ ἐνταῦθα πεπραγμένα καὶ τὰ Εὐτυχοῦς ἐπὶ χεῖρας κατέχων ἐν τῇ συνόδῳ παρῆν· ἐδίδοτο δὲ ἡ πᾶσα ἐξουσία Διοσκόρῳ τῷ Ἀλεξανδρείας τότε πατριάρχῃ, καὶ αὐτῷ Εὐτυχεῖ. Καὶ φονεύεται μὲν Φλαβιανὸς ὁ ἅγιος ἐν αὐτῇ· ἀνατρέπεται δὲ ἡ ἐν Ἐφέσῳ πρώτη σύνοδος, καὶ ὅρος ἔγγραφος ἐξυφαίνετο, ὑπογραψάντων βίᾳ φονικῇ τῶν ἐπισκόπων, καὶ αὐτοῦ Βασιλείου τοῦ Σελευκείας. Ἦν οὖν πάλιν κλόνος οὐχ ὁ τυχὼν καὶ θόρυβος μέγας κατὰ πάσης τῆς οἰκουμένης, τῶν τοῦ Νεστορίου δημοσιευομένων δογμάτων, καὶ ἀπεριπαλύπτως περιφερομένων· ἤδη καὶ τοῦ μεγάλου Πρωτερίου ἱερέως ἐν ἀνατολῇ φονευθέντος, καὶ ἑτέρων πλείστων ἀσεβῶς τολμηθέντων. Ἐν Ῥώμῃ δὲ Λέων ὁ μέγας προεδρεύων ἱερεὺς παντοίως ἠγωνίζετο γράφων πρὸς ἅπαντας, καὶ πρὸς αὐτὸν τὸν ἐν ἁγίοις Φλαβιανὸν ἔτι τότε περιόντα, ὅτε τὰ Εὐτυχοῦς ἐτολμᾶτο· ἠνύετο δὲ οὐδὲν, τῆς αἱρετικῆς ἐπικρατούσης ἀνάγκης.

κή. Μετ' οὐ πολὺ δὲ θεόθεν Μαρκιανὸς ὁ βασιλεὺς ἀνίσταται, ἀνὴρ ἔνθεος, καὶ εἰδὼς μελετῆσαι τὸ εὔτακτον, καὶ πρὸς τοῦτο ἐξ ἀταξίας συνελάσαι τὰ πράγματα· συνάγει τοίνυν ἐν Χαλκηδόνι, τῇ πλησίον ἡμῶν πόλει, τοὺς ἱερεῖς, χλ'. πατέρων συναθροίσας ὁμήγυριν· καὶ παρῆσαν ἀπὸ Ῥώμης τινὲς ἐκ προσώπου τοῦ ἐν ἁγίοις Λέοντος, μετὰ γραμμάτων τὸν τόπον αὐτοῦ ἐκπληροῦντες· Ἀνατόλιος ἦν ὁ Κωνσταντινουπόλεως προεδρεύων, Ἰουβενάλιος Ἱεροσολύμων, Εὐσέβιος ὁ Δορυλαίου, Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ Θεσσαλονίκης Ἀναστάσιος. Ἐπὶ πολὺ δὲ ἀναζητουμένων ἐν αὐτῇ διαφόρων κεφαλαίων, κατακρίνεται μὲν Διόσκορος ἐκεῖσε παρὼν, καὶ πρὸς ἐξορίαν ἐκπέμπεται· ἀναθεματίζεται δὲ καὶ Εὐτυχὴς, καὶ Νεστόριος πάλιν. Πολλὰ δὲ κατὰ Θεοδωρήτου τινὲς τῶν τῆς ἐναντίας μοίρας κινήσαντες, μεταγνόντα τοῦτον ἡ σύνοδος προσεδέχετο· ἔλεγον γὰρ Νεστορίῳ μᾶλλον συναίρειν αὐτὸν, διὰ τὸ κατὰ ἀλήθειαν γεγραφέναι αὐτὸν τότε πρὸς αὐτὸν Νεστόριον· εἰ καὶ τὰ μάλιστα πάλιν φαίνεται ὁ αὐτὸς τὸν τόμον τοῦ ἁγίου Κυρίλλου προσδεξάμενος, καὶ τὰ δόγματα αὐτοῦ κυρῶν, καὶ Νεστόριον καταμεμφόμενος. Ὅμως καὶ αὐτὸν Θεοδώρητον καὶ Βασίλειον τὸν Σελευκείας συναρίθμιον αὐτῆς ἡ σύνοδος ἐποιήσατο, ἐν αὐτῇ καὶ αὐτῶν ὑπογραψάντων, καὶ τοῦ ἀριθμοῦ τῶν χλ'. ὑπαρχόντων πατέρων, τῆς λῃστρικῆς συνόδου παντελῶς ἀνατραπείσης, καὶ δημοσίως ἀναθεματισθείσης. Ἐκφωνεῖται δὲ ὅρος ἐν αὐτῇ, καὶ κατὰ τὴν ἀκολουθίαν τῶν προλεχθέντων ὑπὸ τῶν τριῶν συνόδων, ἕνα καὶ αὐτοὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν ὁρίζουσιν ἐν θεότητι τέλειον, καὶ ἐν ἀνθρωπότητι τέλειον, Θεὸν ἀληθινὸν καὶ ἄνθρωπον ἀληθινὸν, ἐν δύο φύσεσι γνωριζόμενον, ἀσυγχύτως, ἀδιαιρέτως, ἀχωρίστως· ἕνα τὸν αὐτὸν ὁμολογεῖν πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν ἐνανθρώπησιν διδάσκουσιν υἱὸν, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα καὶ δύο υἱοὺς μεριζόμενον ἢ διαιρούμενον· ταῦτά τε ἐκφωνήσαντες καὶ τυπώσαντες, καὶ τοῦ βασιλέως Μαρκιανοῦ πλεῖστα ἐπευξάμενοι καὶ ἀνευφημήσαντες, ἀπέτρεχεν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν· πλὴν ὅτι κἀκεῖσε

πολὺς ἐγεγόνει φόνος, ὡς λέγουσιν, ἐκ τοῦ ναυτικοῦ Ἀλεξανδρείας, τοῦ ἱερέως αὐτῶν Διοσκόρου ἐκποδὼν γινομένου καὶ πρὸς τὴν ἐξορίαν ἀπαγομένου.

κθ'. Ἔτι δὲ τῶν ἱερέων ἐν τῇ συνόδῳ διατριβόντων, τινὲς τῶν ἀπὸ Παλαιστίνης μοναχῶν, ἔχοντες ἐξάρχοντα αὐτῶν τῆς ἀρχῆς Θεοδόσιον, ἤρξαντο διασπᾷν τὸ σῶμα τῆς ἐκκλησίας, καὶ μερίζειν τὸν ἄλυτον αὐτῆς χιτῶνα, καὶ τοὺς ἐν τῇ συνόδῳ ἐπισκόπους ἀναθεματίζειν, καὶ ἑτέρους ἀντ' αὐτῶν ἐπισκόπους χειροτονεῖν, φημίζοντες ὡς ἡ σύνοδος τὸ Νεστορίου δόγμα ἐκύρωσε, προφάσει τοῦ δοκεῖν τῆς δυϊκῆς φωνῆς τῶν φύσεων τοῦτο τερατευομένων αὐτῶν. Κατέδραμον οὖν πᾶσαν τὴν Παλαιστίνην, ἔτι δὲ καὶ τὴν Αἴγυπτον, καὶ τὰ ἐν τῇ ἐρήμῳ μοναστήρια· διέλαμπε δὲ ἐκεῖσε ὁ ἐπιφανὴς ἡμῶν πατὴρ Εὐθύμιος ὁ παμβόητος, ὃς μόνος μετὰ τῶν ἰδίων μοναχῶν ἀπέστη τῆς κακοδοξίας αὐτῶν· δεξάμενος δὲ καὶ τὸν ἐκφωνηθέντα ὅρον ἐν τῇ συνόδῳ συνεῖχεν αὐτοὺς ἐξ αὐτοῦ, καὶ πείθειν ἐπεχείρει ὡς ἄρα ἡ σύνοδος δικαίαν καὶ ἔννομον ἐποιήσατο τὴν ἀπόφασιν, καὶ πολλοὺς μᾶλλον μετήγαγεν, ἀνέπεισέ τε οὕτω φρονεῖν.

λ'. Ὡς δὲ τὸ κακὸν ἐπενέμετο κρατυνόμενον καὶ τῇ τῆς βασιλίδος Εὐδοκίας χειρὶ, ἐκεῖσε περὶ τοὺς ἁγίους τόπους διατριβούσης αὐτῆς, συνταξάμενος καὶ αὐτὸς, καὶ παραγγείλας τοὺς ἑαυτοῦ μοναχοὺς μὴ κοινωνῆσαι τῇ κακοδοξίᾳ Θεοδοσίου, ἀπεδήμησεν ἐν τῇ ἐρήμῳ. Μετ' οὐ πολὺ δὲ γνωρίσαντος αὐτοῦ τῇ προλεχθείσῃ Εὐδοκίᾳ τὴν φανερωθεῖσαν αὐτῷ ἐκ Θεοῦ μετάστασιν αὐτῆς, ἐκείνης τε ἀνιωμένης διὰ τὰ συμβάντα αὐτῇ ἐν Ῥώμῃ δεινὰ, τῶν αὐτῆς συγγενῶν ἐκεῖσε αἰχμαλωτισθέντων, ταῦτα λέγοντος αὐτοῦ διὰ τὴν τῆς αἱρέσεως κοινωνίαν κατὰ Θεοῦ συγχώρησιν ἐπενεχθῆναι αὐτῇ, μετέβη ἐκείνη τῆς τοιαύτης αἱρέσεως, καὶ μᾶλλον τῇ ἐκκλησίᾳ ἐκοινώνησε, καὶ τὰ Θεοδοσίου ἀνεθεμάτισε δόγματα, μίαν φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς δογματίζοντος αὐτοῦ, μᾶλλον δὲ τὴν ἐν Χαλκηδόνι σύνοδον πᾶσαν ἐξοστρακίσαντος· πολλοὶ δὲ τῶν ἀποσχιστῶν συνεκοινώνησαν αὐτῇ, καὶ τὰ τῆς ὀρθοδοξίας ἠσπάσαντο δόγματα.

λά. Ταράχου δὲ πάλιν καὶ ἀγῶνος οὐ τοῦ τυχόντος κατέχοντος τοῖς ὀρθοῖς ἡμῶν δόγμασι, Λέοντος τότε βασιλέως μετὰ Μαρ-

κιανὸν ἀνακηρυχθέντος, εὐθέως ἐβούλετο σύνοδον συγκροτῆσαι περὶ τούτου. Γνοὺς δὲ μετ' οὐ πολὺ τὴν σύνοδον, μὴ θέλων τοὺς ἐπισκόπους διὰ τῆς ὁδοῦ κατατρίβεσθαι καὶ ἀνιᾶσθαι, ἀπέστειλε μᾶλλον κατ' ἐπαρχίας κελεύσεις, δηλώσας δι' αὐτῶν ὥστε πάντας τοὺς ἐπαρχιώτας ἐπισκόπους, ὁποῖον ἔχουσι φρόνημα περὶ τῆς συνόδου σημᾶναι αὐτῷ· τούτου δὲ οὕτω γεγονότος, πλείους ἢ χίλιοι ἐπίσκοποι καθυπέγραφον, καὶ τὴν σύνοδον ἐπεκύρουν, καὶ πάλιν καὶ αὐτὴ ἡ λεγομένη τετάρτη ἐν Χαλκηδόνι σύνοδος τὸ ἴδιον κράτος ἐλάμβανεν.

λϐ'. Αὐτοῦ δὲ τοῦ λεχθέντος Λέοντος τοῦ βίου ὑπεξελθόντος, καὶ Ζήνωνος ἔτι μὲν καὶ Ἀναστασίου μετ' ὀλίγον ὕστερον βασιλευσάντων, παῤῥησίαν τοῦ λέγειν οἱ δί ἐναντίας κατὰ τῆς συνόδου ἐλάμβανον, καὶ τὸ τῶν Ἰακωβιτῶν καὶ Θεοδοσιανῶν ἐπεκώμασε πλῆθος, μίαν φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς πρεσβευόντων, καὶ τὴν τετάρτην ἀναθεματιζόντων σύνοδον· ἐπειρῶντο δὲ ἀνατρέπειν καὶ τὸν τόμον Λέοντος τοῦ μακαρίου γεγονότος πάπα Ῥώμης. Ἀλλ' Εὐλόγιος ὁ ἐν ἁγίοις τὸν τότε τόμον ἐπεξηγήσατο, καὶ καλῶς ἔχειν πάντα ἀπέδειξε, μηδὲν σκολιὸν ἐν τοῖς γράμμασι τοῦ προλέχθέντος Λέοντος ἐντετυπῶσθαι διδάξας, μᾶλλον δὲ πλήρη εἶναι θεοσεβείας καὶ δογμάτων ὀρθῶν τὰ τούτου συγγράμματα ἀποδείξας· ὅμως ἥ τε σύνοδος ἐπὶ πολὺ ἀμνημόνευτος ἔμεινε, καὶ πᾶς ἑαυτῷ τὴν νομιζομένην καὶ δοκοῦσαν ἀρχὴν ἐπεσπᾶτο, καὶ ὡς εἰπεῖν ἕκαστον πρὸς τὴν οἰκείαν πίστιν καὶ γνώμην ἀποτρέχειν, καὶ πλῆθος πολὺ ὅτι ἀποσχιστῶν κἀντεῦθεν ἐβλάστησεν.

λγ'. Ἀναστάσιος δὲ ὁ Ἀντιοχείας μεγάλως ὑπὲρ τῆς συνόδου συνίσταται, καὶ δογματικοὺς κανόνας ἐγγράφως ἐξέθετο, αὐτήν τε τὴν σύνοδον καλῶς ὁρίσαι πάντα ἀποδείξας, καὶ πλήρη θεοσεβείας ὑπάρχειν τὰ ταύτης δόγματα. Ὁ δὲ Φιλόπονος τότε, μᾶλλον δὲ ματαιόπονος, ἀνὴρ Ἀλεξανδρείας γραμματικὸς, εὐγλωττίᾳ καταγοητευόμενος, καὶ τῇ λεγομένῃ ἑλληνικῇ σοφίᾳ αὐχῶν, ἀστρονομίᾳ τε καὶ τῇ τῶν ἀριθμῶν θέσει ἐπικομπάζων, κατὰ τῆς συνόδου ἠγωνίζετο· μικροῦ καὶ τῷ Ὠριγένει συμπνέων εἰς τοὺς περὶ ἀναστάσεως λόγους, ἔχων καὶ λόγον ἐπιῤῥέοντα αὐτῷ κατὰ θεϊκὴν παραχώρησιν. Λεόντιος δὲ ὁ τῆς ἐρήμου μονα-

χὸς βιβλίον συνέθηκεν εὐαπόδεκτον, ὑπὲρ τῆς τοιαύτης σὺνόδου ἐνιστάμενος· πολλὰς δὲ μαρτυρίας ἐν αὐτῷ καταγράψας περὶ τῆς δυϊκῆς φωνῆς, ἔθεν καὶ ΛΕΟΝΤΙΑ τὸ βιβλίον ἐκ τούτου ἐκλήθη. Πολλὴ δὲ σύγχυσις καὶ στάσις διαφόρως ἐν τῇ ἐκκλησίᾳ ἡμῶν ἐγένετο ἕνεκεν τοῦ τὴν σύνοδον μνημονεύεσθαι, καὶ μὴ ἀνωνύμως ταύτην παρέρχεσθαι· ὡς καὶ τοὺς ἱερεῖς ἐπιτηρεῖν τοὺς λαοὺς, καὶ πρὸς τὴν κιγκλίδα τοῦ θυσιαστηρίου ἑστάναι αὐτοὺς καθωπλισμένους, καὶ παίειν μέλλοντάς τινας, εἰμὴ ποιήσοιντο τὴν τῆς συνόδου ἐκφώνησιν· ὡς καί τινας τῶν πατριαρχῶν ἀνδρισαμένους ὑπὲρ τῆς συνόδου, καὶ ταύτην ἐν διπτύχοις κατατάξαντας, ὑπὸ βασιλικὴν ἀγανάκτησιν γενέσθαι, καὶ μήτε μετὰ θάνατον ἐν διπτύχοις κατατάττεσθαι.

λδ'. Ἰουστινιανοῦ δὲ τοῦ μεγάλου βασιλέως εἰς τὴν βασιλέως προαχθέντος ἀρχὴν, πάλιν εἰς τὰς ἑαυτῶν καταδύσεις καὶ τοὺς φωλεοὺς οἱ θηριώδεις οὗτοι συνήλαυνον· καὶ σύνοδος ἐνταῦθα συνεκροτεῖτο τῶν ρξέ. ἁγίων πατέρων, ὄντος ἐν αὐτῇ Εὐτυχίου τοῦ τῆς πόλεως ἡμῶν προέδρου, Ἀπολλιναρίου τοῦ Ἀλεξανδρείας, καὶ τὸν τοῦ Βιγιλίου τοῦ πάπα Ῥώμης τόπον ἀναπληροῦντος, Ἡλία τε τοῦ Θεσσαλονίκης, καὶ ἑτέρων πλείστων· ἐν ᾗ κυροῦται ἡ ἐν Χαλκηδόνι τετάρτη σύνοδος, τῶν αὐτῶν δογμάτων ἐκφωνηθέντων ἐν αὐτῇ, καὶ πρὸς ταῖς τρισὶ καὶ αὐτὴν τετάρτην μνημονεύεσθαι θεσπισάντων, καὶ τὸ σύμβολον ὁμοίως τῆς πίστεως ὑπαγορευσάντων· καθ' ἑκατέραν τε φύσιν θελητικόν τε καὶ ἐνεργητικὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς ἡμῶν ἕνεκεν σωτηρίας ὑπάρχειν ὁρίσαντες· ἀναθεματίζουσι δὲ τὰ δώδεκα κεφάλαια Θεοδωρήτου, καὶ τὴν λεγομένην Ἴβα τινὸς ἐπιστολὴν πρὸς Μάριν γεγράφθαι τὸν Πέρσην, καὶ τὰ τοῦ Ὠριγένους ἑλληνικὰ συγγράμματα, ἔτι δὲ καὶ Θεόδωρον τὸν Μοψουεστίας· καὶ οὕτως εἰς τὴν ἑαυτοῦ ἕκαστος πατρίδα μετέβαινεν.

λέ. Οὐ μετὰ πολὺ πάλιν Σευῆρος ἡμᾶς διετάραξεν ὁ ἀκέφαλος, μᾶλλον δὲ πολυκέφαλος δράκων, μίαν καὶ αὐτὸς φύσιν τοῦ λόγου καὶ τῆς σαρκὸς παρεξηγούμενος· καὶ οὐδὲ ἐν τούτῳ ἱστάμενος, ἀλλὰ καὶ βίβλους τῷ δοκεῖν κατασκευάζων, καὶ ἑρμηνείας γραφικὰς συντιθείς· ἐνταῦθα καὶ αὐτὸς ὑπὸ Μηνᾶ

τοῦ γενομένου ἡμῶν πατριάρχου κατακρίνεται, καὶ τὰ τούτου δόγματα τελείῳ παραδίδονται ἀφανισμῷ· συνεπαμυνομένων τῷ προλεχθέντι ἡμῶν προέδρῳ Μηνᾷ, καὶ Ἀγαπητοῦ Ῥώμης προέδρου, καὶ Πέτρου τοῦ Ἱεροσολύμων πατριάρχου, καὶ Ἐφραιμίου τοῦ μεγάλου Ἀντιοχείας ἀνδρὸς, ὅστις καὶ ἀγωνιστικὰ καταλέλοιπεν ἡμῖν πλήρη θεολογίας δόγματα, καὶ Σωτηρίχου Καισαρείας Καππαδοκίας, καὶ Ὑπατίου Ἐφέσου. Τέως δὲ μικρὸν ἐκ τῆς πολλῆς ταραχῆς καὶ τοῦ περιέχοντος θορύβου ἐλευθερωθὲν, ἐν ἡσυχίᾳ τὸ σῶμα τῆς ἐκκλησίας διετέλει, τῶν ὀρθοδόξων παῤῥησιαζομένων, καὶ τῶν ἑτεροδόξων ἐπιγινωσκομένων, καὶ μὴ ὑπαρχόντων, ἀλλὰ καὶ ὑπό τινα καταβιβασμὸν καὶ ἐξουσίας ὑποταγὴν διαγόντων.

λς'. Ἄρτι δὲ Ἡρακλείου βασιλεύσαντος, καὶ Σεργίου ἐκείνου τῆς βασιλευομένης ἡμῶν πόλεως προεδρεύσαντος, τὸ τῶν δύο θεληματων καὶ ἐνεργειῶν ἐκινεῖτο ζήτημα, ἤδη καὶ τῶν τῆς ἀνατολῆς μερῶν εἰς τοῦτο κεκινημένων, Σωφρόνιός τε ὁ σοφώτατος ἐξ Ἱεροσολύμων πρὸς Σέργιον εἰσεληλυθὼς τὸν περὶ τούτων ἐποιεῖτο λόγον, ἐπανορθούμενος τὸν ἄνδρα, καὶ μὴ πάλιν εἰς ἀγῶνας τὴν ἐκκλησίαν ἐμπίπτειν ὑποτιθέμενος. Αὐτοῦ δὲ Σωφρονίου ἐκδημήσαντος, καὶ πατριάρχου Ἱεροσολύμων προσδεχθέντος, Ἡρακλείῳ τοῦ εἰρημένου Σεργίου συμφρονήσαντος, μίαν μὲν ἐνέργειαν καὶ ἓν θέλημα τοῦ Θεοῦ λόγου καὶ τῆς σαρκὸς ἐδογμάτισαν, δύο δὲ φύσεις καλῶς λέγεσθαι ὡρίζοντο· καὶ πάλιν μήτε μίαν, μήτε δύο λέγεσθαι ἐνεργείας ἢ θελήματα δογματίζουσι, καὶ γράμματα δημοσίως περὶ τούτου τιθέασι, καὶ διασπῶσι τὰ τέκνα τῆς ἐκκλησίας, καὶ εἰς ἀνοδίας κατακρημνίζουσι. Συνεπελάβετο δὲ αὐτοῖς καὶ Ὀνώριος ὁ Ῥώμης, καὶ Κῦρος Ἀλεξανδρείας, μετδὲ τοῦτο καὶ Πέτρος, καὶ Παῦλος, καὶ Πύῤῥος, οἱ τῶν ἐνταῦθα προεδρεύσαντες, καὶ ἕτεροι πλεῖστοι, Πολυχρόνιός τε καὶ Μακάριος ὁ Ἀντιοχείας, καὶ Στέφανος ὁ αὐτοῦ μαθητὴς, οἳ καὶ πρὸς τὴν σύνοδον εἰς ὕστερον ἀνετάξαντο.

λζ'. Ἤδη λοιπὸν ἐπὶ Κωνσταντίνου τοῦ υἱοῦ τοῦ ἐν Σικελίᾳ Κωνσταντίνου, συστάσης ἐνταῦθα τῆς ἕκτης συνόδου τῶν ρό, ἐν ᾗ Γεώργιός τις τῶν τῇδε προέδρευε, παραγεγόνασι δὲ καί τινες ἀπὸ Ῥώμης ἐπίσκοποι, ἐκ προσώπου τοῦ Ἀγάθωνος τοῦ

αὐτῶν πατριάρχου, συνεπιφερόμενοι καὶ πεπραγμένα τῆς συνόδου αὐτῶν, καὶ ὑπογραφὰς ρκέ. ἢ καὶ πρὸς, ἐπισκόπων ἀμφοτέρων (1) τῆς δύσεως ὑπαρχόντων, κυρούντων τὰ θεῖα δόγματα Σωφρονίου πατριάρχου, καὶ Μαξίμου τοῦ ὁμολογητοῦ, καὶ τῶν ἀμφ' αὐτόν· τουτέστι τοῦ λέγεσθαι ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο φύσεις, καὶ δύο φυσικὰ θελήματα, καὶ τὰς ἐνεργείας αὐτῶν. Ἐν τῇ συνόδῳ ταύτῃ παρῆν καὶ Στέφανος Ἡρακλείας, τοῦ Πόντου ἐπίσκοπος, ἀνὴρ ἐλλόγιμος εἰ καὶ τὰ μάλιστα, πᾶσαν, ὡς εἰπεῖν, γραφὴν ἐκμελετήσας καὶ ἐπιστάμενος καὶ ἐπὶ στόματος φέρων· καὶ ἕτερός τις ἐπίσκοπος Ἰωάννης Ἀθηνῶν, ὀρθόδοξος εἰς τὸ ἄκρον, καὶ φιλοσοφίᾳ ἀμφοτέρωθεν κεκοσμημένος. Ἐκφωνεῖται τοίνυν ὁ ὅρος ἐν αὐτῇ, ἐν ᾗ κυροῦνται αἱ προμνημονευθεῖσαι πέντε σύνοδοι, καὶ τὸ αὐτὸ σύμβολον ὑπαγορεύεται τῆς πίστεως· δύο τε φύσεις ἐπὶ τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καλῶς δογματίζουσι, καὶ δύο φυσικὰς θελήσεις ἤτοι θελήματα, καὶ τὰς ἐνεργείας αὐτῶν. Σέργιός τε καὶ Ὀνώριος, καὶ οἱ μετ' αὐτῶν ἀναθεματίζονται· καὶ λαμβάνει πάλιν ἀνάπαυσιν [ἀπὸ] (2) τῶν συνεχῶν πόνων καὶ ἀσάτων κινήσεων ἡ ἄσειστος ἡμῶν καὶ ἀκαταμάχητος ἐκκλησία, ἧς πύλαι ᾅδου, εἴτουν ἀπιστίας, τὴν πίστιν οὐ κατισχύσαι ποτὲ δυνηθῶσιν, ὡς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπεφήνατο.

λή. Εἰ καὶ τὰ μάλιστα ἐδοκίμασαν καὶ μετὰ τοῦτό τινες τὴν αὐτὴν ἔκτην ἀνατρέψαι σύνοδον, καὶ τόμους ἐξέθεντο, καὶ ὑπογραφὰς βιαίως ἐν αὐτῇ πεποιήκασι, βασιλικῇ χειρὶ πάντων συνωθουμένων, καὶ πρὸς ἀναίρεσιν αὐτῆς παραπεμπομένων· ὃς ἦν Φιλιππικὸς μᾶλλον δὲ Βαρδάνης, διώνυμος γὰρ ὁ κακώνυμος ἐλέγετο ὁ κατ' αὐτῆς ἀναστὰς βασιλεύς. Καί τινος Ἰωάννου Κολωνείας γεγονότος πρεσβυτέρου, καὶ Νικολάου σοφιστοῦ, καὶ ἑτέρων, ὧν τὰ ὀνόματα ἐκὼν ὑπερβήσομαι, συντρεχόντων τῷ κράτει τῆς ἀσεβείας, καὶ λυμαινομένων τὸ ὑγιὲς τῆς ἐκκλησίας ἡμῶν δόγμα· ὑπὲρ ταύτης πολλοὶ μὲν καὶ ἄλλοι, πλείω δὲ πάντων Ζήνων ἐκεῖνος ὁ μακάριος καὶ ἀληθῶς ἐπίσκοπος ἔστη

---

(1) ἴσως ἁπάντων ἀντὶ ἀμφοτέρων. — (2) ἐν τῇ Σ. Ρ. ἀναγινώσκεται τὰ, ἀντὶ ἀπό.

γενναίως καὶ ἠγωνίσατο, Σινώπης πρόεδρος κεχειροτονημένος, ὑπὲρ ἧς καὶ ἐν ἐξορίᾳ ἐπέμπετο, πολλῶν παραῤῥυέντων καὶ νικηθέντων τῇ ἀνενδότῳ ἐνστάσει, καὶ ταῖς πολυτρόποις ἀπειλαῖς, καὶ τῇ ἐπιγενομένῃ ἐνστάσει, τῷ Καϊάφᾳ πάντοτε συνέδριον συγκροτούμενον ὁρᾶσθαι καθ' ἑκάστην αὐτῶν συνέλευσιν.

λθ'. Καὶ πάλιν ἡ κακὴ βασιλεία ἐκποδὼν ἐγίνετο, καὶ τὸ χειρόγραφον ἠφανίζετο, πανταχόθεν τῆς αἱρετικῆς ἐκδιωχθείσης μανίας, ἡ ἀδικία ἐξηλαύνετο, καὶ ἡ ἐκκλησία ἡμῶν τὸν ἴδιον ἀπελάμβανε κόσμον, πανταχόθεν τῆς αἱρετικῆς δυσσεβείας ἐκβεβλημένης· ἐβόησαν γὰρ οἱ φύλακες τῆς ἐκκλησίας, οἱ διὰ παντὸς ὑπεράνω τῶν νοητῶν αὐτῆς ἐπαγρυπνοῦντες ἐπάλξεων, καὶ τοὺς πολεμίους ἀπώσαντο, καὶ ταύτην ἀσπάρακτον διετήρησαν· κατέστησε γὰρ ἐν αὐτῇ, κατὰ τὸ γεγραμμένον, ὁ κύριος τοὺς ἐπισκόπους αὐτῆς καὶ κριτὰς, πόῤῥωθεν τὰς προφυλακτικὰς ποιουμένους ἐπαγρυπνήσεις, καὶ διὰ τῆς ἰδίας ἐπιστήμης καὶ πνευματικῆς ἐνστάσεως πᾶσαν τὴν παράταξιν τῶν ἐναντίων καταστρεφομένους· οὐδὲ γὰρ ἀποίμαντον ἢ ἀνεπίσκοπον ποτὲ κατέλειπεν ὁ ἀληθινὸς ἡμῶν ποιμὴν Χριστὸς, ὁ τεθεικὼς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων αὐτοῦ. Καὶ γὰρ πολλάκις ἡμῶν δοκιμάζων τὴν πίστιν, καὶ τῆς ὑπομονῆς καὶ ἐλπίδος στερρότητα, εἰς πειρασμὸν καὶ ὀδύνας καὶ θλίψεις ἡμᾶς ἐμπεσεῖν παρεχώρησεν, ἴσως ἡμῶν τὴν ἄνεσιν οὐ καλῶς διοικησαμένων, ὥστε καὶ διὰ τούτων τὴν εἰς αὐτὸν στοργὴν ἡμῶν διαφαίνεσθαι· καὶ πάλιν τὴν εἰρήνην ἐπαφῆκε τῆς ἀντιλήψεως, καὶ τὸ νέφος τῶν πειρασμῶν διεσκέδασεν.

μ'. Ἐπισημαντέον δὲ ὅτι τῷ παρόντι γραμματείῳ ἀνατάξασθαι δεῖν ᾠήθημεν καὶ τὴν νυνὶ περιέχουσαν ἀκοσμίαν καὶ ἀταξίαν, καὶ ὅπως ἡ τοῦ Σατανᾶ ἀντίπαλος δύναμις πολυμόρφῳ καὶ πολυπλόκῳ σκαιότητι θωπευσαμένη, τῷ καθαρωτάτῳ συστήματι τῆς ἐκκλησίας ἐπέσκηψεν. Ἀνέφυ γάρ τις ἐπίσκοπος Νακωλείας οὕτω καλουμένης, πολίχνης τῆς Φρυγῶν ἐπαρχίας, ἀνὴρ οὐκ ἐλλόγιμος, ἀλογίᾳ δὲ μᾶλλον τὴν ἑαυτοῦ ἐκκαλύπτειν φρόνησιν φανταζόμενος, ὃς ψιλῇ τῇ τοῦ γράμματος θεωρίᾳ ἐν τῇ τῶν θεοπνεύστων γραφῶν ἀναγνώσει προσκεχηνὼς καινουργεῖν παρὰ τὰ ἱεροπρεπῶς ἐκπεφρασμένα παρεδογμάτιζε, καὶ ταῖς

πατρικαῖς κατεξανίστασθαι παραδόσεσιν ἀνθωπλίζετο· ἀεὶ γὰρ φίλον τῷ μισανθρώπῳ δαίμονι πολυτρόποις ἀπάταις παρασφάλλειν τὸν ἄνθρωπον, καὶ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας ἀνασοβεῖν τὴν κατάστασιν· ὃ δὴ καὶ τὰ νῦν ἐπεδείξατο, καὶ τὸν κατ' ἀλλήλων ὁρᾶσθαι πόλεμον τὰς ἐκκλησίας ὑπέθετο, δι' ὧν ὀργάνων εἰς τοῦτο συνασπιζόντων ἐφεύρατο, τῷ μὲν ἱερατικῷ σχήματι τὴν δολερὰν συσκιαζόντων διάνοιαν, τοῖς δὲ φιλοχρίστοις λαοῖς οἰκείαν ἐρευγομένων κατήχησιν· καὶ τούτων ἔξαρχός τε καὶ ἡγήτωρ ὁ τῆς λεχθείσης καθέστηκε πόλεως πρόεδρος, ὀπαδοί τε καὶ συναιρέται, καὶ σύνδρομοι, καὶ ἕτεροι τοῦ ἱερατικοῦ κλήρου γεγόνασιν, οὓς καὶ κατ' ὄψιν ἡ ὑμετέρα τιμιότης ἐγνώρισε· καὶ γὰρ ὑποπλάττονται τὰ ὀρθὰ βούλεσθαι φρονεῖν, καὶ δόκησιν ἑαυτοῖς τῆς εἰς τοῦτο ῥοπῆς, καθάπερ τι προσωπεῖον ἐν αὐτοῖς ἐναρμόσαντες, κακουργότατα πειρῶνται τοὺς τῶν ἁγίων χαρακτῆρας μεταφέρειν ἐπὶ τὰ εἴδωλα, εὐσέβειαν ἐπιζήμιον ἀνοσίως ἐπιτηδεύοντες, ὡς δῆθεν καὶ τὰς πρὸ ἡμῶν γενεὰς ἐν πλάνῃ βιῶναι ἀποκλαιόμενοι, καὶ ἐλεεῖσθαι μᾶλλον ἢ μακαρίζεσθαι μυθευόμενοι.

μά. Ἐφ' οἷς τἀληθῆ πρὸς ἡμῶν τούτοις εἰρήσεται· εἰ, ὡς φατὲ ὑμεῖς, εἰδώλων δίκην τὰ σεπτὰ τῶν ἁγίων ἀπείργετε εἰκονίσματα, μικροῦ καὶ αὐτὰ τὰ καίρια τῆς πίστεως ἀνατρέπετε· εἴποιεν γὰρ οὐκ ἐθνικοὶ διαμπάξ, ἐπεὶ καὶ χριστιανῶν παῖδες, ὡς οὐδὲν ἀπὸ τοῦ νῦν βέβαιόν τι ἡ τῆς ἐκκλησίας ἡμῶν παράδοσις ἔξειν δυνήσεται, τὰ πρὶν ἀθετήσασα· ἀληθῶς γὰρ πᾶσι πιστοῖς καὶ ὀρθοδόξοις εὔδηλον πέφυκεν, ὡς ἡ προσκύνησις καὶ ἡ λατρεία ἡμῶν εἰς μόνην τὴν ἄκτιστον καὶ ἀπειροδύναμον ὑπεράρχιόν τε καὶ ὑπεράγαθον ζωαρχικὴν καὶ ὑπερούσιον ἁγίαν Τριάδα, τὴν μίαν θεότητά τε καὶ δύναμιν, ἀδιστάκτῳ καρδίᾳ καὶ στόματι ὁμολογεῖται· αἱ δὲ ἐν εἰκόσι τῶν ἁγίων μορφοποιΐαι, διὰ πόθον μόνον καὶ οὐ δι' ἕτερον τρόπον προήεσαν, καθὼς πάλαι ἐν τῇ σκηνῇ τὰ τῶν Χερουβὶμ ἀπεικάσματα, τύπον τῶν οὐρανίων δυνάμεων ἔχοντα· ὅθεν τῇ χρονίᾳ παρεκτάσει τὰ πλήθη χειραγωγούμενα, ἄνωθεν παῖς παρὰ πατρὸς διαδεξάμενοι, εἰς μόνην ὑπόμνησιν καὶ ἀνδρείας ἐπίδειξιν τὰς τοιαύτας σκιαγραφίας ἀνέκαθεν παρεδέξαντο. Τοῦ δὲ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα ἀναστηλουμένου, ἤγουν κατὰ τὴν ὁρατὴν αὐτοῦ θεοφάνειαν, παρειλήφαμεν εἰς διηνεκῆ μνήμην τῆς ἐνσάρκου πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες.

μβ'. Οἱ δὲ ἐξ ἀλαζονείας ἀπονενοημένοι διχοστασίας τοῖς λαοῖς ἐπεγείρειν οὐ παύονται· ὑπὸ γὰρ τῆς σφῶν συμμορίας συνελισσόμενοι, ἑκόντες πρὸς τὴν σύνεσιν τῆς ἀληθείας διαμαρτάνουσι, καὶ τῶν ἱερῶν ἀναθημάτων ἀδεῶς κατατολμῶσιν ἐφάπτεσθαι· διὸ καὶ ἀπ' αὐτῆς τῆς βασιλείας, καὶ πάντων τῶν ἐν ὑπεροχῇ κρατούντων τὰ πράγματα, ἐκμανὴς ἀγανάκτησις τοῖς εὐλαβῶς διάγειν προαιρουμένοις ἐπινενόηται· τοῦ γε χάριν, καὶ κίνδυνος οὐχ ὁ τυχών, ἀλλὰ καὶ λίαν ὀλέθριος, πᾶσαν σχεδὸν τὴν οἰκουμένην ἐμπεριείληχε, πλείστων ἱερέων τε καὶ λαϊκῶν, περισσοτέρως δὲ τῶν τῷ μοναχικῷ ἀσκουμένων τάγματι θεοσεβεστάτων ἀνδρῶν, μεταναστῶν τῶν οἰκείων γεγενημένων, καὶ ἐν ἐξορίᾳ καὶ γυμνητεύσει, μετὰ καὶ τῶν τοῦ σώματος μελῶν ἀφαιρέσεως, εἰς διασπορὰν καὶ ἐρήμωσιν παραπεμφθέντων· οὐ γὰρ ἠρκέσθησαν οἱ τὰ νῦν τοῦ κηρύγματος τὸν λόγον ἐπιδεικτικῶς ὑποφαίνοντες, τῇ διὰ σανίδων μόνον ἐκποιήσει τὰ τῶν ἁγίων περιαίρεσθαι εἰκονίσματα, ἀλλὰ καὶ τὴν ἐν γραφίδι ἐφάμιλλον τούτοις κόσμησιν τῶν σεπτοτάτων ναῶν ὁλικῶς ἐξορύττεσθαι· καὶ ἔμπαλιν τὰ τοῖς θείοις θυσιαστηρίοις τῶν σεβασμίων καὶ ἱερῶν τραπεζώσεων συμβολικὰ ἐπενδύματα, ἐν χρυσῷ καὶ πορφύρᾳ συμποικιλθέντα, χύδην ἀπομορξάμενοι, ἐν τοῖς ἑαυτῶν οἴκοις ἀνέθεσαν, ὅτι καὶ χαρακτῆρες ἁγίων εὑρηνται ἱστορούμενοι. Πρὸς δὲ τούτοις καὶ τὸ πάσης ἀνοσιουργίας ἀνάμεστον δρᾷν οὐκ ἐνάρκησαν· τὰ γὰρ τῶν μακαρίων καὶ ἀοιδίμων μαρτύρων λείψανα, ὑπὸ τῶν τῆς ἐκκλησίας διδασκάλων συγκομισθέντα, καὶ ἐν τιμίοις κιβωρίοις σορηδὸν ἐντεθέντα ἀπογυμνώσαντες, πυρὶ κατηνάλωσαν· τὸ ὅσον ἐπ' αὐτοῖς τοὺς διὰ πίστιν ἠθληκότας καταπατῆσαι καὶ ἀτιμάσαι σπουδάσαντες· ἀλλ' οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων· μετὰ γὰρ τὸν σάλον καὶ τὴν κρατοῦσαν νῦν ἀταξίαν, εὖ οἶδα ἡ

αἰθρία τῆς αὐτοῦ ἀγαθότητος ἐπιλάμψει φαεινέστερον· καὶ τοῦ περικειμένου χειμῶνος τὸν λαὸν αὐτοῦ κλυδωνιζόμενον ἐξελεῖται ὁ μακάριος καὶ μόνος δυνάστης· οὐ γὰρ ἐπὶ τοσοῦτον ῥιζωθήσεται ἡ κακία ὡς τῆς ἀγαθῆς ὑπερισχύσαι δυνάμεως.

μγ'. Ταῦτα ἡμῖν ἐπιτόμως πρὸς τὸ παρὸν εἰρήσθω, εἰ μὴ εἰς μῆκος τὸν λόγον ἐκτείνεσθαι λογιζομένων ὑμῶν εἶναι δίκαιον· ἄλλως τε μήτε βιβλίου τινὸς ἡμῖν νῦν πρὸς τοῦτο ὑπόντος, ὡς ἐπὶ τῆς ἀληθείας αὐτῆς, ἀλλ' ὑφ' ἑτέρων χειρῶν κατεχομένων, καὶ μηδὲ πρὸς τὸ εὐπορίστως ἐντυχεῖν ταύταις ἡμῶν τυγχανόντων, ὡς ἴστε καὶ ὑμεῖς ταῦτα πλεῖον ἡμῶν ἐπιστάμενοι· ταῦτα δὲ ὡς ἐκ τῆς προτέρας ἀναγνώσεως καθὼς ἠδυνήθημεν ἐπιμνησθῆναι, ἐν ἀληθείᾳ τῇ ὑμετέρᾳ ἐσημήναμεν τιμιότητι. Ὑπομνηστέον δὲ δίκαιον ὑμᾶς καὶ τοῦτο, ὡς πολλοὶ καὶ ἕτεροι γεγόνασιν αἱρετικοί, καὶ κατ' ὄνομα πάντων πρέπων αὐτοῖς πρόεισιν ἀναθεματισμός· ἡμῖν δὲ νῦν ἐπονήθη πρὸς τὰς ὑμετέρας ἐρωτήσεις, ἐν ἐπιδρομῇ τὰς συνόδους, καὶ τὰ δόγματα αὐτῶν, καὶ τὴν τῆς κινήσεως αὐτῶν καὶ συνελεύσεως αἰτίαν ἐξειπεῖν· εἰ καὶ μικρὸν ἄνωθεν τὸν λόγον ἠγάγομεν, καὶ ποίας ἕκαστος τῶν αὐτῶν ἐπισήμων πατέρων ἐξῆρχε συνόδου, καὶ τίνος τὸ τηνικαῦτα βασιλεύσαντος, καὶ τίς πρὸς ποίαν παρετάξατο αἱρετικὴν φάλαγγα.

μδ'. Αὗται δὲ μᾶλλον αἱ μνημονευθεῖσαι τῶν ἄλλων αἱρέσεών εἰσι κεφαλαὶ καὶ προέχουσαι τῶν λοιπῶν, ὥσπερ παραφυάδων ὑποβλαστησασῶν αὐταῖς. Τινὲς δὲ αὐτῶν τὴν ἕκτην μὴ καταδεξάμενοι σύνοδον ἀνατρέπουσι καὶ τὴν πέμπτην· ἕτεροι δὲ τὰς δύο ἀποβαλλόμενοι τὴν τετάρτην προσδέχονται, καί εἰσι μαχόμενοι μετὰ τῶν Ἰακωβιτῶν· κἀκεῖνοι τούτους ὡς ἀνοήτους κατακρίνουσιν, ὅτι γε τὴν τετάρτην δεχόμενοι σύνοδον τὰς ἄλλας δύο μὴ προσδέχεσθαι φιλονεικοῦσιν· εἰσὶ δὲ οὗτοι οἱ λεγόμενοι Μαρωνεῖται, μοναστήριον δὲ τούτων πρὸς αὐτὰ τὰ ὅρια τῆς Συρίας κατῳκημένον ὑπάρχει· οἱ πλεῖστοι δὲ μᾶλλον αὐτῶν παντελῶς καὶ τὴν ἕκτην, ἔτι δὲ καὶ τὴν πέμπτην, καὶ τὴν τετάρτην ἀποβάλλονται· ὁ γὰρ τὴν τετάρτην δεχόμενος καὶ τὴν ἕκτην ἐδέξατο, εἴπερ λογισμοῦ καὶ νοὸς κεκριμένου ἐντὸς καθέστηκεν· ἡ γὰρ τῆς ἕκτης συνόδου ῥίζα καί, ὡς εἰπεῖν,

θεμέλιος καὶ βάσις ἐστηριγμένη ἡ τετάρτη πέφυκε σύνοδος· ἐκείνης γὰρ τέλειον ἐν ἀνθρωπότητι τὸν ἕνα κύριον ὁριζούσης, καλῶς αὐτὴ τὸ τέλειον τοῦ ἀνθρώπου ἀκούσασα, ἐν αὐτῷ εἶναι καὶ θέλημα καὶ ἐνέργειαν, καὶ κατὰ τὸ ἀνθρώπινον αὐτοῦ ἔχειν αὐτὸν φυσικῶς ὡρίσατο· ὁμοίως καὶ Θεὸς τέλειος εἶναι κηρυττόμενος οὐκ ἀθέλητος οὐδὲ ἀνενέργητος ὑπάρχει Θεός.

μέ. Δι' ὧν δείκνυται κατ' ἀλήθειαν εἷς καὶ αὐτὸς ἐν θεότητι τέλειος, καὶ ἐν ἀνθρωπότητι τέλειος, υἱὸς μονογενὴς καὶ γνήσιος, καὶ μὴ ἄλλος, εἰ καὶ ἄλλως καὶ ἄλλως τὰ ἐξ ὧν ὁ Χριστὸς καταφαίνεται· ἐκ θεότητος γὰρ καὶ ἀνθρωπότητος εἷς πέφυκεν υἱὸς, οὐ συγχυθεὶς εἰς ἓν ἐκ τῶν δύο, ἀλλ' ἑκατέρας φύσεως κυρίως τὴν ἰδιότητα καὶ φυσικῶς καὶ ἀλωβήτως ἐν ἑαυτῷ διαφυλάξας, ἀδιάστατον πάλιν καὶ ἀμέριστον κεκτημένος τὴν ἕνωσιν, ἐπειδὴ ἑνὸς καὶ τὰ αὐτοῦ πάθη καὶ τὰ θαύματα γινώσκομεν· ἐνεργεῖ γάρ, φησιν, ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας τοῦτο ὅπερ ἴδιον ἔσχε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος, ὡς Λέοντι τῷ μεγάλῳ προέδρῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ· οὕτω μὲν καὶ δύο θελήσεις ἤγουν θελήματα ἐν αὐτῷ εἶναι πιστεύομεν· οὐκ ἐν διαιρέσει προσώπων ἢ νοημάτων, ἤγουν ἐναντιώσει τινὶ τούτων παρ' ἡμῶν λαμβανομένων, ἀλλὰ διὰ τὸ θελητικὸν καθ' ἑκατέραν φύσιν τὸν αὐτὸν τῆς ἡμετέρας ἕνεκεν σωτηρίας ὑπάρχειν· καὶ τῆς τελειότητος τῆς καθ' ἡμᾶς ἐν αὐτῷ λογικῆς φύσεως, διὰ τῆς θελητικῆς γνωρίζεσθαι δυνάμεως· ἴδιον γὰρ τοῦτο τῆς νοερᾶς φύσεως πέφυκε κίνημα, οὕτως ἡμᾶς νοεῖν περὶ τούτων καὶ λέγειν ὁ τῆς ἀληθείας ἐξεδίδαξε λόγος, καὶ ὁ ταύτης ὑπέρμαχος μᾶλλον δὲ διδάσκαλος καὶ ἀποστολικὸς ὄντως ἀνήρ.

μς'. Κἀκεῖνο δὲ ἡμᾶς τῶν ἀναγκαίων γινώσκειν, ὡς καὶ ἕτεραι γεγόνασι τοπικαὶ σύνοδοι, καὶ κανόνας τούτων κατέχομεν, εἰ καὶ μὴ κυρίως τῷ ἀριθμῷ τῶν ἓξ συναριθμοῦνται συνόδων· ὥσπερ ἡ ἐν Γάγγραις, ἔτι δὲ καὶ ἡ ἐν Σαρδικῇ, καὶ Λαοδικείᾳ, καὶ Ἀντιοχείᾳ, καὶ Νεοκαισαρείᾳ, καὶ Ἀγκύρᾳ, καὶ εἴ τις ἑτέρα τοιαύτη γέγονε τοπικὴ σύνοδος· αἱ μὲν γὰρ καὶ τοπικῶν, ὡς λέλεκται, ζητήσεων ἕνεκα συνέστησαν, μήτε βασι-

λέων συνεδρευσάντων αὐταῖς, ἢ προστάξει αὐτῶν ἴσως συνελη-λυθότων τῶν ὅλων αὐτῶν, τινῶν δὲ αὐτῶν καὶ πρὸ τῆς καταστάσεως τῶν Χριστιανῶν βασιλέων γεγενημένων· αἱ δὲ κυρίως οἰκουμενικαὶ σύνοδοι κρατούμεναι παρ' ἡμῖν αὗταί εἰσι· πρώτη ἡ ἐν Νικαίᾳ ἡ ἐπὶ Κωνσαντίνου τοῦ μεγάλου βασιλέως συνελθοῦσα· δευτέρα, ἡ ἐν ταύτῃ τῇ βασιλίδι πόλει ἐπὶ Θεοδοσίου τοῦ μεγάλου, ρν'. ἁγίων πατέρων τὸν ἀριθμὸν ἀποφερομένη· τρίτη, ἡ ἐν Ἐφέσῳ ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, σ'. καὶ αὕτη ἐτύγχανεν ἱερῶν ποιμένων σύνοδος· τετάρτη δὲ, ἡ ἐν Χαλκηδόνι ἐπὶ Μαρκιανοῦ τοῦ τῆς θείας λήξεως βασιλέως ἡμῶν συναθροισθεῖσα, χλ'. πατέρες τὸν ταύτης συνεστήσαντο σύλλογον· πέμπτη δὲ, καὶ ἕκτη, αἱ ἐνταῦθα συνελθοῦσαι, ἡ μὲν ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου, ἡ δὲ ἐπὶ Κωνσταντίνου τοῦ ἐκγόνου ἐκ γένους Ἡρακλείου, ἐν ὑστάτοις καιροῖς συγκροτηθεῖσα.

μζ'. Ἄλυσις ὥσπερ εἰπεῖν καὶ σειρὰ ἀδιάσπαστος ἀλλήλων ἐχομένη καὶ ἐκκρεμαμένη· τῆς μὲν πρώτης ὁρισάσης ὁμοούσιον τῷ πατρὶ τὸν υἱὸν, παρεγγυησάσης δὲ καὶ εἰς τὸ πνεῦμα πιστεύειν τὸ ἅγιον· τῆς δὲ δευτέρας ὁμοούσιον καὶ τὸ πνεῦμα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τρανῶς ὁρισάσης, ὡς ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ σὺν αὐτῷ καὶ τῷ υἱῷ προσκυνούμενον· τῆς τρίτης πάλιν αὐτὸν τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι τρανῶς ὁρισάσης, ἕνα καὶ οὐ δύο υἱούς· τῆς δὲ τετάρτης τὰ προλεχθέντα κυρούσης, καὶ τὸ τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι διαγορευσάσης ἔχειν αὐτὸν, καὶ δύο φύσεις ἐν αὐτῷ γνωρίζεσθαι ἀσυγχύτως καὶ ἀδιαιρέτως δοξαζούσης· ἡ πέμπτη τὰ αὐτὰ, ὡς εἰπεῖν, ἐκφωνήσασα, καὶ καθ' ἑκατέραν φύσιν θελητικὸν αὐτὸν καὶ ἐνεργητικὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τῆς ἡμῶν ἕνεκα σωτηρίας, εἶναί τε καὶ γνωρίζεσθαι· ἡ δὲ ἕκτη, καθὼς ἔφαμεν, τὰ τῶν ὅλων συνόδων ἐπεξέρχεται καὶ τὰ τῶν ἀμφοτέρων κυροῖ, καὶ τὸν ὅρον οὕτως ἐκτίθεται, καὶ αὐτὴ τέλειον ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι ὁμοίως ὁρίζει, καὶ δύο θελήσεις, ἤτοι θελήματα, καὶ δύο τὰς ἐνεργείας ἐν αὐτῷ διδάσκει· ἑπόμενόν τε καὶ ὑπεῖκον τῷ θείκῳ θελήματι τὸ ἀνθρώπινον θέλημα ἐκφωνήσασα, καὶ μὴ ἀντιπίπτον ἢ ἀντιτασσόμενον· ἑκου-

σίως γὰρ αὐτὸν τὸν ἕνα κύριον ἡμῶν τὸν ὑπὲρ ἡμῶν ἀναδέξασθαι σαρκὶ θάνατον ὑποτίθεται, καὶ θελήσει ἰδίᾳ ὑπὲρ πάντων ἡμῶν, ἀποστολικῶς εἰπεῖν, γεύσασθαι τοῦ θανάτου.

μή. Γειτονοῦσι δέ πως καὶ ἀγχίθυροι, ὡς εἰπεῖν, εἰσί τινες τῶν αἱρετικῶν, ἤγουν ἔν τισι τῶν δογμάτων αὐτῶν βλασφημοῦσι πρὸς ἀλλήλους οὕτως· Ἀνόμοιος τῷ Ἀρείῳ· Ναυάται τοῖς Σαββατιανοῖς· ἀμφότεροι δὲ εἰς τὸν περὶ μετανοίας λόγον τοῖς Μοντανοῖς· Ἰακωβῖται δὲ καὶ Σευηρῖται, οἱ λεγόμενοι Ἀκέφαλοι, καὶ Θεοδοσιανοὶ καὶ Γαϊανῖται πλησιάζουσί πως ἀλλήλοις, ἀμφότεροι κατὰ τῆς τετάρτης ἱστάμενοι συνόδου· οἵ τε Σαμαρεῖται τοῖς λεγομένοις Ἀθιγγάνοις ἐν τῇ τοῦ μὴ προσάπτεσθαί τισι βλασφημίᾳ συνέρχονται, καὶ Παυλιανῖται τοῖς λεγομένοις Μανιχαίοις καὶ Ἀρειανοῖς, καὶ ἄλλοι ἄλλοις, ὡς ἔστιν ἐξευρεῖν τῷ περὶ τούτων σοφῶς ἐπισκήπτοντι. Μάρκελλός τε καὶ Φωτεινὸς, καὶ Θεόδωρος ὁ Μοψουεστίας, καὶ Οὐαλεντῖνος, τῆς ἴσης ἔν τισι τυγχάνουσιν ἀνοίας, κοινωνοῦντές πως καὶ αὐτοὶ Νεστορίῳ τῷ ἀσεβεστάτῳ, ἡνίκα μάλιστα καὶ ψιλὸν ἄνθρωπόν τινες αὐτῶν τὸν κύριον διωρίσαντο, καὶ ἐκ Μαρίας ἀρχόμενον· οἱ δὲ κατὰ τῆς ἕκτης ἱστάμενοι Ἀπολλιναρίῳ συμφωνοῦσι τῷ δυσσεβεῖ· πάντες αὐτοὶ ἀποτρόπαιοι καὶ μιαροὶ, καὶ τῆς ἄνω βασιλείας ἐξόριστοι.

μθ'. Ἔχεις παρ' ἡμῶν τῶν ἐπιζητηθέντων, ὦ φιλόθεον τέκνον, τὴν ἐπίλυσιν, οὐ παρ' ἡμῶν δὲ, ἀλλὰ παρὰ τῆς θείας χάριτος τυπωθείσης, εἴπερ ἄρα καὶ μή τι ἐν αὐτοῖς ὡς ἄνθρωποι ἐσφάλμεθα ἡμεῖς· τοῦτο γὰρ ἴσως ἀνθρώπινον, περὶ ὀνομάτων, ἢ καιρῶν, ἢ τόπων ἐξ ἀγνοίας διαφέρεσθαι· πλὴν ὅτι αὐτῆς καὶ ἡμεῖς δοῦλοι καθεστήκαμεν τῆς μακαρίας καὶ μόνης ἀληθινῆς τριάδος, τῆς μοναδικῶς μὲν ἐν θεότητι κηρυττομένης, κατὰ τὸν θεολόγον Γρηγόριον εἰπόντα· ὅταν μὲν πρὸς τὴν θεότητα βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν καὶ μοναρχίαν, ἓν ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰ ἐν οἷς ἡ θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ προσκυνούμενα.

ν'. Αὐτὴν οὖν καὶ ἡμεῖς ἀδιαλείπτως προσκυνοῦντες τὴν μίαν θεότητα, καὶ κυριότητα, καὶ βασιλείαν, ὡς ἔστιν ἡμῖν δυνατὸν,

εὐχόμεθα μὴ ξενωθῆναι τῆς δόξης αὐτῆς καὶ θεωρίας, καὶ μετὰ τὴν ἐνθένδε ἀποδημίαν, ὅταν ὅλην αὐτὴν οἱ δίκαιοι ἀπολάβωσι, κατ' αὐτὸν αὖθις εἰπεῖν τὸν μέγαν Γρηγόριον· εἰς τοῦτο γὰρ ἐμοί, φησι, φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσαντος, καὶ αὖθις συνδήσοντος ὑψηλότερον· ἰσοδυναμοῦντα τούτοις καὶ ἐν τῷ ἐπιταφίῳ τοῦ ἁγίου Βασιλείου φθεγγόμενον, ὅταν λέγῃ· εἰ δὲ μετασταίημεν, δέξαι κἀκεῖσε ἡμᾶς ταῖς αὐτοῦ σκηναῖς, ὡς ἂν, ἀλλήλοις συζῶντες καὶ συμπνέοντες, τὴν ἁγίαν καὶ μακαρίαν τριάδα καθαρώτερόν τε καὶ τελεώτερον, ἧς νῦν μετρίως δεδέγμεθα τὰς ἐμφάσεις, ὁρῶμεν· κἀνταῦθα ςαίημεν τῆς ἐφέσεως, καὶ ταύτην λάβοιμεν ὧν τε πεπολεμήκαμεν καὶ πεπολεμήμεθα τὴν ἀντίδοσιν· τὰ ὅμοια τούτοις φάσκων καὶ ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ, ἔτι δὲ καὶ τῷ εἰς τὰ Φῶτα λόγῳ, οὕτω λέγων· ἵνα φῶτα τέλεια τῷ μεγάλῳ φωτὶ παραστάντες, καὶ τὴν ἐκεῖσε μυηθῆτε φωταγωγίαν, ἐλλαμπόμενοι τῇ τριάδι καθαρώτερον καὶ τρανώτερον, ἧς νῦν μετρίως ὑποδέδεχθε τὴν μίαν αὐγὴν ἐκ μιᾶς τῆς θεότητος. Σὺ δὲ ὦ μακαρία καὶ μόνη τριὰς καὶ μονὰς, καὶ τὸν βίον ἡμῖν διεξάγοις πρὸς τὸ λυσιτελέστατον, καὶ πόῤῥω ποιήσαις ἀφ' ἡμῶν πᾶσαν τὴν τῶν ἐναντίων προσβολὴν, καὶ σώσαις τοὺς [σοὺς] (1), εἴπερ ἄρα σοὶ οἱ σὲ κυρίως ὁμολογοῦντες καὶ μὴ τῇ αἱρετικῇ ἀπάτῃ καὶ πλάνῃ συμμολυνθέντες, ἀλλὰ παρθένον σοι παραστήσαντες ἐν τούτῳ τὴν ἑαυτῶν ψυχὴν, τῇ πλάνῃ τῶν ἐναντίων μὴ συμφθαρεῖσαν.

(1) καὶ σώσεις τοὺς, εἴπερ ἄρα σοί. Σ. Ῥ. ἐσφαλμένως.

ΑΔΕΣΠΟΤΟΝ

ΠΕΡΙ ΤΩΝ ΕΞ

ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΣΥΝΟΔΩΝ.

Α΄.

Χρη γινώσκειν ὅτι ς΄. εἰσὶν αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι· καὶ ἡ μὲν ἁ. γέγονεν ἐν Νικαίᾳ ἐπὶ τοῦ ἐν ἁγίοις ἡμῶν βασιλέως Κωνσταντίνου τοῦ μεγάλου, καὶ Σιλβέστρου πάπα Ῥώμης, καὶ Ἀλεξάνδρου πατριάρχου Κωνσαντινουπόλεως· ὑπῆρχον δὲ οἱ ἅγιοι πατέρες τριακόσιοι δέκα ὀκτώ· συνῆλθον δὲ κατὰ Ἀρείου τοῦ ματαιόφρονος, πρεσβυτέρου γενομένου μὲν τῆς ἐκκλησίας Ἀλεξανδρείας, βλασφημοῦντος δὲ τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· κτίσμα γὰρ αὐτὸν ἔλεγεν ὁ δυσσεβὴς, καὶ οὐχ ὁμοούσιον τῷ Θεῷ καὶ Πατρί· ὅθεν τοῦτον ὡς ἐχθρὸν τῆς ἀληθείας ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀναθεματίσαντες ἀπεβάλοντο· τὴν δὲ ὀρθόδοξον πίστιν ἐκράτυναν, ὁμοούσιον τῷ Πατρὶ κηρύξαντες, κτίστην δὲ τῶν ἁπάντων καὶ οὐ κτίσμα, ἀλλὰ Θεὸν ἀληθινὸν, καθὼς καὶ τὸ σύμβολον περιέχει τῆς πίσεως, ὅπερ αὐτῇ τῇ ἐμπνεύσει τοῦ ἁγίου Πνεύματος ὑπηγόρευσαν.

Β΄.

Ἀπέχει ἡ σύνοδος β΄. ἀπὸ τῆς ἁ. ἔτη ν΄.

Ἡ δὲ δευτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶν ἁγίων ρν΄. πατέρων γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, καὶ Δαμάσου πάπα Ῥώμης, καὶ Νεκταρίου πατριάρχου Κωνσταντινουπόλεως, καὶ Γρηγορίου τοῦ Θεολόγου, κατὰ Μακεδονίου τοῦ δυσσεβοῦς, τοῦ ληστρικῶς μὲν τὸν πατριαρχικὸν θρόνον ἁρπάσαντος, βλασφημοῦντος δὲ τὸ Πνεῦμα τὸ ἅγιον· ἔλεγε γὰρ αὐτὸ μὴ εἶναι Θεὸν, ἀλλὰ τῆς θεότητος τοῦ Πατρὸς ἀλλότριον· ὅθεν τοῦτον μὲν ὡς ἐχθρὸν τῆς εὐσεβείας

ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀναθεματίσαντες κατέκριναν· Θεὸν δὲ ἀληθινὸν καὶ κύριον καὶ ζωοποιὸν τὸ πανάγιον Πνεῦμα ἐτράνωσαν, ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ ὑπάρχειν αὐτὸ κηρύξαντες, καὶ τῆς αὐτῆς θεότητος καὶ δυνάμεως, καθὼς τὸ σύμβολον περιέχει τῆς πίστεως, ὅπερ αὐτοὶ τρανώτερον τῇ τοῦ ἁγίου Πνεύματος ἐξεφώνησαν χάριτι. Ἔτι δὲ καὶ Ἀπολλιναρίου τοῦ Λαοδικείας τὴν βλασφημίαν σὺν αὐτῷ καὶ τοῖς ὅμοια φρονοῦσιν ἀναθεματίσαντες, ὡς ἄψυχον τὴν τοῦ Κυρίου ἡμῶν σάρκα λέγοντος, ἔμψυχον εἶναι ταύτην ἐβεβαιώσαντο, ψυχὴν ἔχουσαν ταῖς ἡμετέραις ψυχαῖς ὁμοούσιον.

Γ'.

Ἀπέχει ἡ γ'. σύνοδος ἀπὸ τῆς β'. ἔτη κθ'. μῆνας γ'.

Ἡ δὲ τρίτη ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Ἐφέσῳ, ἡ πρότερον ἐπὶ Θεοδοσίου τοῦ βασιλέως τοῦ μικροῦ συναθροισθεῖσα σ'. ἁγίων πατέρων ὑπάρχουσα, κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου καὶ ἀσεβοῦς, πατριάρχου μὲν γενομένου Κωνσταντινουπόλεως, τὸν Χριστὸν δὲ διαιροῦντος καὶ κατατέμνοντος. Ψιλὸν μὲν γὰρ ἄνθρωπον εἶναι ἔλεγε, καὶ οὐ Θεὸν σεσαρκωμένον· ὅθεν οὐδὲ θεοτόκον, ἀλλὰ χριστοτόκον τὴν ἁγίαν παρθένον Μαρίαν τὴν τεκοῦσαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὠνόμαζε. Τούτου χάριν σὺν Κελεστίνῳ τῷ πάπα Ῥώμης, καὶ τῷ προμάχῳ τῆς εὐσεβείας Κυρίλλῳ τῷ πάπᾳ Ἀλεξανδρείας, ἡ ἁγία αὕτη σύνοδος ἐμμένοντα τῇ τοιαύτῃ βλασφημίᾳ καθεῖλεν ὡς Ἰουδαιόφρονα τὸν ἀνθρωπολάτρην Νεστόριον. Κυρίως δὲ καὶ ἀληθῶς θεοτόκον τὴν ἁγίαν Μαρίαν ἀπέδειξε, καὶ τὸν ἐξ αὐτῆς ἀσπόρως σαρκωθέντα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν ἀληθινὸν ἀνεκήρυξεν. Ἡ γὰρ ἐν αὐτῇ τῇ Ἐφέσῳ γενομένη σύνοδος ἐπὶ τοῦ αὐτοῦ βασιλέως Θεοδοσίου τοῦ μικροῦ, ὡς ληστρικὴ ὑπάρχουσα, καὶ τὰ τοῦ κακόφρονος δὲ Διοσκόρου, καὶ τοῦ ματαιόφρονος Εὐτυχοῦς φωραθεῖσα κρατεῖν, τελείως ἐκ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐκβέβληται.

Δ'.

Ἡ δὲ δ'. ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Χαλκη-

δόνι ἐπὶ Μαρκιανοῦ τοῦ εὐσεβεςάτου βασιλέως, καὶ Λέοντος πάπα Ῥώμης, καὶ Ἀνατολίου πατριάρχου Κωνσαντινουπόλεως καὶ χλ΄. πατέρων ὑπάρχουσα, κατὰ Διοσκόρου γενομένου πατριάρχου Ἀλεξανδρείας καὶ Εὐτυχοῦς. Οὗτοι γὰρ τὴν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ ἐνανθρώπησιν παρεποιοῦντο σχεδὸν παντελῶς, ἐν φαντασίᾳ αὐτὸν λέγοντες φορέσαι τὴν σάρκα· ὅθεν καὶ ἐν μιᾷ φύσει αὐτὸν ἐμυθολόγουν, τῇ θεότητι τὰ πάθη προσνέμοντες. Διὰ τοῦτο οὖν ταύτῃ μὲν ἐμμένοντας τῇ πλάνῃ ἀνεθεμάτισαν ἅμα τοῖς ὁμόφροσιν αὐτῶν· θεῖον δὲ ὅρον ἐξεφώνησαν, τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον ἐν δύο φύσεσιν ἀσυγχύτως καὶ ἀδιαιρέτως τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν κηρύξαντες· τὴν δὲ τοῦ ἁγίου Λέοντος ἐπιστολὴν, τὴν πρὸς τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως Φλαβιανὸν, ὡς στήλην ὀρθοδοξίας ἀπεδείξαντο. Χρὴ δὲ γινώσκειν, ὅτι οἱ λεγόμενοι Θεοδοσιανοὶ οἱ ἀπὸ Θεοδοσίου τινὸς, καὶ Ἰακωβῖται οἱ ἀπὸ Ἰακώβου τινὸς, καὶ οἱ Σευηριανοὶ οἱ ἀπὸ Σευήρου, τὰ ὅμοια τῶν γεγραμμένων Διοσκόρου καὶ Εὐτυχοῦς τῶν βεβήλων αἱρετικῶν, ὡς καὶ αὐτοὶ βέβηλοι τυγχάνοντες, φρονοῦσι· διὸ καὶ ἀνθίστανται μετὰ ἑτέρων αἱρέσεων τῇ τοιαύτῃ ἁγίᾳ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ, ἑαυτοὺς ἀπαλλοτριοῦντες τῆς ἁγίας καθολικῆς ἐκκλησίας.

Ε΄.

Ἀπέχει ἡ πέμπτη ἀπὸ τῆς τετάρτης ἔτη ξή.

Ἡ δὲ έ. ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰουστινιανοῦ τοῦ πάλαι βασιλέως, καὶ Βιγιλίου πάπα Ῥώμης, καὶ Εὐτυχίου πατριάρχου Κωνσταντινουπόλεως· ὑπῆρχον δὲ ρξέ. ἅγιοι πατέρες, ἥτις ἁγία σύνοδος ἐπεκύρωσε μὲν τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ ὡς ὀρθόδοξα αὐτῆς πάντα τὰ σωτήρια ἐκράτησε δόγματα, τὰς αὐτὰς αἱρέσεις ἀναθεματίσασα. Ἀπεβάλετο δὲ καὶ ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος ἐν πρωτοτύπῳ μὲν Ὠριγένην τὸν παράφρονα, καὶ πάντα αὐτοῦ τὰ ἀσεβῆ δόγματα καὶ συγγράμματα, Εὐάγριόν τε καὶ Δίδυμον, ὡς συμμύστας τούτου καὶ σύμφρονας, καὶ Ἑλληνικοῖς ἐμφορουμένους δόγμασι. Καὶ γὰρ καὶ αὐτὰ τὰ σώματα, ἃ νῦν περικείμεθα, ἀνοήτως εἶπον μὴ ἀναστήσεσθαι ὑπὸ

Θεοῦ, μήτε εἶναι, καὶ ἐν σαρκὶ μὴ πλασθῆναι τὸν Ἀδὰμ, καὶ τέλος εἶναι τῆς κολάσεως, καὶ δαιμόνων εἰς τὸ ἀρχαῖον κατάστασιν. Οὐ μόνον δὲ ταῦτα ἀλλὰ καὶ ἄλλα τινὰ παράτισιν ἐν τῷ κρυπτῷ κατεχόμενα τελείως οὐκ ἐθριαμβεύθησαν ἐπὶ συνόδῳ, εἰ καί τινες τῶν ἁγίων πατέρων εἶχον αὐτά· καὶ γὰρ προγενέστεροι τῆς ἁγίας ταύτης συνόδου οἱ τρεῖς ὑπῆρχον αὐτοὶ αἱρετικοί. Ὁπηνίκα δὲ πολὺν λαὸν τὰ τοιαῦτα πονηρὰ ἐξηπάτησαν βλαστήματα, τηνικαῦτα καὶ αὐτὴ ἡ ἁγία σύνοδος συναθροισθεῖσα τούτους τε καὶ τοὺς ὁμόφρονας αὐτοῖς, καὶ τὰς αὐτῶν βλασφημίας ἀνεθεμάτισεν· ἔτι δὲ καὶ τὸν Μοψουεστίας Θεόδωρον, τὸν Νεστορίου διδάσκαλον, σὺν τοῖς αὐτοῦ βλασφήμοις συντάγμασιν, ὡς μυσαρὸν ἐκρίπτει ζιζάνιον, καὶ τοῦ Θεοδωρήτου τὰ κακῶς γεγονότα κατὰ τοῦ τῆς εὐσεβείας προμάχου Κυρίλλου, καὶ δυσσεβῶς ἐκτεθέντα συγγράμματα, καὶ ὅσα κατὰ τῆς ἐν Ἐφέσῳ ἁγίας ά. συνόδου καὶ τῆς ὀρθῆς ἡμῶν κατηγόρει πίστεως Νεστορίῳ τῷ δυσσεβεῖ χαριζόμενος.

ΣΤ'.

Ἀπέχει ἡ ἕκτη ἀπὸ τῆς πέμπτης ἔτη ρξγ'.

Ἡ δὲ ς'. ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ Κωνσταντίνου βασιλέως πατρὸς Ἰουστινιανοῦ, καὶ ἐπὶ Ἀγάθωνος πάπα Ῥώμης, καὶ Γεωργίου πατριάρχου Κωνσταντινουπόλεως· ὑπῆρχον δὲ ρό. ἅγιοι πατέρες. Συνηθροίσθησαν δὲ κατὰ τῶν καινοτομησάντων αἱρεσιν ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ, λέγω δὴ Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, καὶ Πύῤῥου, Πέτρου, καὶ Παύλου Κωνσταντινουπόλεως ἐπισκόπων· ἔτι δὲ καὶ τῶν ἀνακαινισάντων τὴν αἵρεσιν τούτων τῶν προγεγραμμένων αἱρετικῶν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, τοῦ τε Μακαρίου, τοῦ ὀνομασθέντος Ἀντιοχείας προέδρου, καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ κατὰ τῶν ἐκείνων. Οὗτοι γὰρ οἱ προλεχθέντες αἱρετικοὶ Θεόδωρος καὶ οἱ σὺν αὐτῷ ματαιόφρονες δυσσεβεῖς ἀπετόλμησαν εἰπεῖν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔχειν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ μετὰ τὴν σάρκωσιν, σύνδεσμον τῆς ὀρθοδοξίας διαλῦσαι θελήσαντες. Τού-

του χάριν ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ ἕκτη σύνοδος τοὺς προγεγραμμένους αἱρετικοὺς ὡς θεομάχους ἀνεθεμάτισε, καὶ πάντα αὐτῶν τὰ βλάσφημα δόγματα, καὶ πάντας τοὺς τὰ αὐτὰ τούτοις φρονοῦντας, καὶ φρονεῖν μέλλοντας, καὶ ἀμετανοήτους διαμένοντας· σὺν αὐτοῖς δὲ καὶ Πολυχρόνιον, τὸν νηπιόφρονα γέροντα, τὸν νεκροὺς ἐγείρειν ἐν τῇ τοιαύτῃ πλάνῃ τῆς αἱρέσεως μεγαλορρημονήσαντα, ἀδείας τε τυχόντα, καὶ ἐν τῷ μὴ ἐγεῖραι μειζόνως τὴν βλασφημίαν τῆς τοιαύτης αἱρέσεως θριαμβεύσαντα. Τῆς ὀρθοδοξίας δὲ τὰ δόγματα τρανώτερον ἡ τοιαύτη ἁγία σύνοδος ἐμφανίσασα, δύο θελήματα φυσικὰ ἤγουν θελήσεις, καὶ δύο φυσικὰς ἐνεργείας ἐβεβαίωσεν ἔχειν μετὰ τὴν σάρκωσιν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἐν διαιρέσει προσώπων (μὴ γένοιτο) ἀλλὰ τὸ μηδεμίαν φύσιν τῶν ἐπὶ Χριστοῦ, τουτέστι τῶν δύο, ἀνεθέλητον ὑπάρχειν καὶ ἀνενέργητον· οἱ γὰρ τὰ τοιαῦτα τῶν φύσεων ἀναιροῦντες ἰδιώματα, ἐνεργείας τε καὶ θελήματα, καὶ τὰς φύσεις συναναιροῦσιν, ἅπερ εἰσὶν ἰδιώματα.

ΦΩΤΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΚ ΤΗΣ ΠΡΟΣ ΜΙΧΑΗΛΟΝ

ΤΟΝ ΑΡΧΟΝΤΑ ΒΟΥΛΓΑΡΙΑΣ ΕΠΙΣΤΟΛΗΣ,

ΠΕΡΙ ΤΩΝ ΕΠΤΑ ΟΙΚΟΥΜΕΝΙΚΩΝ ΣΥΝΟΔΩΝ.

ΠΡΩΤΗ ΣΥΝΟΔΟΣ.

Η ΠΡΩΤΗ καὶ οἰκουμενικὴ ἁγία σύνοδος ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη, ὀκτὼ δὲ καὶ δέκα καὶ τριακοσίων θείων ἀρχιερέων ὁμήγυρις τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο. Ὧν ἦσαν προέχοντες Ἀλέξανδρός τε, ὁ τὸν τῆς Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον λαχὼν διευθύνειν, ἀνὴρ βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι σεμνυνόμενος, βίου δὲ λαμπρότητι καὶ ὁσιότητι γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος· καὶ δὴ καὶ Σίλβεστρος, καὶ Ἰούλιος, τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι· αὐτῶν μὲν οὐδέτερος παραγεγονὼς, Βίτωνα δὲ καὶ Βικέντιον, ἑκάτερος ἀνθ' ἑαυτοῦ, κατὰ τὸν οἰκεῖον τῆς ἀρχιερατείας χρόνον, τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας· οἷς καὶ ὁ Κορδούβης ἐπίσκοπος συνετέτακτο, ὃς κατὰ τοὺς Ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν· Ὅσιος γὰρ ὀνομαζόμενος ἀβέβηλον αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλολατρείας διετήρησεν. Ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος, αὐτός τε παρῆν, ἱεροῖς ἐνδιαπρέπων κατορθώμασιν· ἦγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν διακόνων ἡγεῖτο, μετ' οὐ πολὺ δὲ καὶ τοῦ ἀρχιερατικοῦ θρόνου κατέστη διάδοχος· ναὶ δὴ καὶ ὁ κλεινὸς Εὐστάθιος συμ-

παρῆν, τῆς Ἀντιοχέων ἐκκλησίας τὸ ἐγκαλλώπισμα, πίστεως μὲν ἐναστράπτων καθαρότητι, λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος· μεθ' ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῶν ἐνευθηνούμενος· ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες, ὧν Παφνούτιος, καὶ Σπυρίδων, Ἰάκωβός τε, καὶ Μάξιμος, ἀγαθοῦ καὶ θαυμασίου συςήματος ἀγαθοὶ καὶ θαυμάσιοι πρωτοςάται ἐγνωρίζοντο· ἐφ' οἷς ἅπασι καὶ ὁ μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος, τῆς Ῥωμαϊκῆς ἀρχῆς ἰθύνων τὰ σκῆπτρα, διέπρεπε, τήν τε σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος. Ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος, Ἄρειόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰσπρατόμενοι, καὶ τὸ ἀποστολικὸν καὶ θεῖον κρατύνοντες κήρυγμα. Ἦν δὲ οὗτος ὁ δείλαιος ἕλκων μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου· εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε ἐκκλησίας, καὶ εἰς πρεσβυτέρου βαθμὸν ἀνελθών, πρότερον μὲν κατὰ τοῦ ἰδίου ποιμένος ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ ποιμένος καὶ δεσπότου παρέτεινε τὴν ἀπόνοιαν· τὸν γὰρ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ὦ τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας, εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν, οὐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας υἱὸς τῆς αὐτῆς ἐστι τῷ γεγεννηκότι καὶ οὐσίας καὶ φύσεως· καὶ ὁ τὸν υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν πατέρα κτίσμα προσανηγόρευσεν, ὥσπερ ὁ τὸν πατέρα δημιουργικῆς οὐσίας καὶ ἀϊδίου φύσεως ὁμολογῶν, τῆς αὐτῆς εἶναι καὶ τὸν υἱὸν συνομολογήσειε. Ποῦ δ' ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ πατρὸς, ἑτέρας δὲ τοῦ υἱοῦ χρηματίζοντος; Πῶς δ' οὐ τῆς Ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω οὐσίαν τεμνομένης τῆς θεότητος, καὶ τῆς μὲν εἰς πρῶτον καὶ δημιουργὸν καὶ πρεσβύτερον Θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον Θεὸν διακρινομένης καὶ ὑπουργὸν καὶ νεώτερον; ταῦτα γὰρ τῆς τοῦ Ἀρείου πονηρᾶς σπορᾶς τὰ γεννήματα. Ἀλλὰ τοῦτον μὲν, ὡς χείλη βλάσφημα κατὰ τοῦ πεποιηκότος ὑπλισάμενον, τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσεν ὅμιλος· τὴν δὲ δυσσεβεστάτην καὶ θεομάχον

αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν· ὁμοούσιον δὲ, καὶ ὁμοφυῆ, καὶ συναΐδιον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ τῷ γεγεννηκότι Πατρὶ, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ, καὶ τῶν εὐσεβούντων τὰ κοινὰ δόγματα, ἱερολογήσαντες διετράνωσαν, καλῶς εἰδότες, ὅτι, ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν τριαδικὴν μοναρχίαν καὶ κυριότητα Ἰουδαϊκόν ἐστι καὶ μισόχριστον, οὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσους φύσεις τὴν ὑπερούσιον καὶ ὑπερφυῆ καὶ ἐνιαίαν θεότητα Ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. Ἀλλ' ἐν τούτοις μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος.

ΔΕΥΤΕΡΑ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυ φροντιστήριον· εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο, ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον, Κυριλλόν τε τῶν Ἱεροσολύμων, τοὺς ἱεραρχικοὺς θρόνους ἰθύνοντας· καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη, τὸ καθαρώτατον τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται, ψήφῳ μὲν κοινῇ τῆς συνόδου, χειροθεσίᾳ δὲ τῶν προκρίτων· καὶ ἅμα τε τῆς βασιλευούσης ἐπίσκοπος, καὶ τῆς συνόδου ἐχρημάτιζεν ἔξαρχος· μεθ' ὃν Γρηγόριος, ὅ,τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ ὁ τῆς θεολογίας ἐξ ἔργων ἐπώνυμος· οἷς, οὐ πολὺς χρόνος, καὶ Δάμασος, ὁ τῆς Ῥώμης, τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβοῦσι καθιστάμενος. Οὗτος δὴ οὖν ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα, τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον, ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν ἐδυσφήμει Πνεῦμα, εὐθύνας ἐδικαίου δοῦναι· ὡς γὰρ Ἄρειος κατὰ τοῦ Υἱοῦ, οὕτω καὶ αὐτὸς κατὰ τοῦ παναγίου παραταττόμενος Πνεύματος, εἰς δούλους καὶ ὑπηρέτας τὴν δεσποτικὴν καὶ ὑπερκειμένην αὐτοῦ συνέταττε κυριότητα. Καί τοι ῥᾴον ἦν τῷ ἀθλίῳ, εἴπερ ἐβούλετο, συνορᾶν, ὅτι, καθάπερ οἱ τὸν Υἱὸν εἰς κτίσμα τάττοντες τὴν ὕβριν οὐδὲν ἧττον τῷ Πατρὶ

προσάπτουσιν, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτοῦ Πνεῦμα τοῖς ποιήμασιν ἐναριθμοῦντες τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀφιᾶσι κατ' αὐτοῦ. Εἰ γὰρ τὸ Πνεῦμα κτίσμα, κἀκεῖνος, οὗ τὸ Πνεῦμα, μετὰ τῶν κτισμάτων. Εἰ δὲ καὶ ἀκοαῖς ἀφόρητος ἡ τῆς ἀθεότητος ταύτης ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο φυγεῖν, δι' οὗ πρὸς τούτους ἀνάγκη πεσεῖν τοὺς θεομάχους λογισμούς; Ἀθετεῖς τὸ Πνεῦμα εἶναι Θεόν; πῶς ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ, καὶ οὐδὲν κρύφιον ἀπ' αὐτοῦ; πῶς ἐστιν ἄλλος παράκλητος; πῶς συντάσσεται Πατρὶ καὶ Υἱῷ; Πορευθέντες, γάρ φησιν αὐτὸς ὁ Υἱὸς, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἰ ἕν τι τῶν τριῶν κτίσμα, ἐν οἷς φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ καθαρεύσει τῆς ὕβρεως· ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ἁγιάζει; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ Θεός; ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νοῦν θέμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου θεότητος διασπᾷν ἐτόλμα καὶ ἀπεθρασύνετο· διὸ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπίχειρα, αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθεὶς, καὶ πάντες ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνίατον παρεζήλωσαν· καὶ ὡς ἐκεῖνος τὸ πανάγιον Πνεῦμα τῆς τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφρυάττετο, οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον. Τὸ δὲ πανάγιον καὶ ζωαρχικὸν Πνεῦμα, ἅτε δὴ ὁμοφυές τε καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι, κατὰ τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς, ἀνεκήρυξαν, ἐκθερίσαντες τέλεον καὶ εἴ τι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. Ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.

ΤΡΙΤΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν μὲν τῇ κατὰ

τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη, εἰς διακοσίους δὲ ἐπληθύνετο. Ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο Κύριλλός τε ὁ ἐν πατράσι περιώνυμος, ὃς δι' ἀρετὴν καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν ἀνεπλήρου καὶ τὸ πρόσωπον· μεθ' ὧν καὶ Μέμνων, ὁ τῆς Ἐφεσίων ἐκκλησίας ἐμπεπιστευμένος τοὺς οἴακας, καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων Ἰουβενάλιος· οἵτινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει, δίκας εἰσεπράττοντο· ὃς ἐκ τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀρόντῃ, ὁρμώμενος, τὸν Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐνεκεχείριζο· ἀλλ' ὅγε ταλαίπωρος οὗτος, ἐκ τῶν Διοδώρου καὶ Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας ναμάτων, καὶ εἰς φρενῶν μέθην ἐμπεσὼν, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς, ἐπὶ λύμῃ τοῦ ποιμνίου, πολλῶν ἀκοαῖς ἐναπηρεύξατο· Χριστὸν γὰρ, τὸν ἕνα Θεοῦ Υἱὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς ἡμῖν παραπλησίως κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων καὶ ἄνθρωπος, εἷς Χριστὸς, εἷς Υἱὸς, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ, ὁ αὐτὸς καὶ οὐκ ἄλλος, ἓν πρόσωπον, μία ὑπόςασις· τοῦτον δὴ τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποςάσεις ὁ τρισάθλιος ἐκεῖνος οὐ πεφρικὼς, τὸν μὲν ψιλὸν ἄνθρωπον, καὶ χωρὶς τοῦ προσλαβόντος Λόγου, κατ' ἰδίαν ὑπόστασιν ἔπλαττε· τὸν δὲ Θεὸν ἀνὰ μέρος καὶ γυμνὸν τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μή τι Θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν εἰς θεραπείαν καὶ ἀνάπλασιν ὑποδυόμενος· οὐδὲ τοῦτο συνιδὼν, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου ἐδίχαζεν ὑποςάσεως, ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαργος σωτηρίας ἐγίνετο. Ἀλλὰ γὰρ τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφεὶς, οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν παρθένον, τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν θεοτόκον ἠνέσχετο· ἀλλ' ὥσπερ τὸν υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς θεοτό-

κου κλήσεως. Διὸ τοῦτον, ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώττης, τῶν μακαρίων πατέρων ὁ σύλλογος πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ ὑδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψεν ἀναθέματι· τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν πανάχραντον αὐτοῦ καὶ ἀειπάρθενον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι θεοτόκον παραδεδώκασιν· ἡ γὰρ τὸν Θεὸν Λόγον σαρκὶ γεννηθῆναι καταδεξάμενον τέτοκε, θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὕτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν νέον Θεοδόσιον ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν πατρῴαν καὶ βασίλειον ἀρχὴν ἐκ τριγονίας διανύοντα.

ΤΕΤΑΡΤΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος τὸν ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα, τῶν ἀληθινῶν μὲν δογμάτων ἀκροατήριον ἀφιέρου τὴν Χαλκηδόνα, πόλιν Βιθυνίας οὖσαν ἐπίσημον, ἐν τριάκοντα δὲ καὶ ἑξακοσίοις τὸν ἀριθμὸν ἐξετείνετο· ἧς λογάδες ἐχρημάτιζον Ἀνατόλιός τε ὁ τῆς βασιλίδος πόλεως τοὺς ἱερατικοὺς θεσμοὺς ἐγκεχειρισμένος, καὶ δὴ Πασχασῖνός τε καὶ Λουκίνσιος, ἐπισκοπικῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου πάπα Ῥώμης, οὗ κλέος μέγα, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος· μεθ' ὧν Μαξιμός τε ὁ Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος· οἵτινες Εὐτυχῆ τε τὸν δυστυχῆ καὶ τὸν προασπιστὴν αὐτοῦ καὶ ἀλαζόνα Διόσκορον, τὸν ποτὲ Ἀλεξανδρείας, δυσσεβημάτων εἰσπράξεις ἀπῄτησαν· καὶ γὰρ καὶ οὗτοι τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσαν ἀθλιότητα· τὸν γὰρ ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ θεότητός τε καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν, εἰς μίαν τολμηρῶς καὶ ἀφρόνως ἀνεκίρνων καὶ συνέχεον φύσιν, ἐξ ὧν τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀν-

θρώποις ἑτεροφυᾶ οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. Εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ φύσις, ἢ θεία πάντως, ἢ ἀνθρωπίνη ἔσεται· ἀλλ' εἰ μὲν μόνη θεία, ποῦ τὸ ἀνθρώπινον; εἰ δὲ ἀνθρωπίνη, πῶς· οὐκ ἔξαρνοι τῆς θεότητος; εἰ δ' ἕτερόν τι παρὰ ταῦτα (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα) πῶς οὐχ ἑτεροφυὴς αὐτοῖς ὁ Χριστὸς καὶ τοῦ Πατρὸς καὶ ἡμῶν ἀναπλασθήσεται; οὗ τί ἂν δυσσεβέστερον ἢ ἀφρονέστερον, ἄνθρωπον γενέσθαι φάσκειν τὸν τοῦ Θεοῦ Λόγον καὶ Θεὸν, ἐπί τε φθορᾷ τῆς οἰκείας θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος; τοῦτο γὰρ ἕπεται πάντως τοῖς μηδετέρας φύσεως, ἀλλ' ἑτέρας παρὰ ταύτας τὸν Χριστὸν εἰπεῖν ἐκτολμήσασι. Διὸ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν χριστομάχων τούτων δογμάτων εἰσηγηταὶ ἀξίαν τὴν δίκην δεδωκότες, ἀφῃρέθησάν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς ἐκκλησίας γεγόνασιν ἀνάθεμα, συναπελαθείσης αὐτοῖς καὶ τῆς χριστομάχου αἱρέσεως· τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρωτον τῆς ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον ταῖς γραφικαῖς τε καὶ πατρικαῖς μαρτυρίαις ἀνεκηρύχθη καὶ διέλαμψεν· ἕνα τὸν Χριστὸν, ἤτοι μίαν αὐτοῦ τὴν ὑπόστασιν, καὶ δύο τὰς φύσεις, θεότητά τε καὶ ἀνθρωπότητα, ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρουμένας, τῶν τρισμακαρίστων ἀρχιερέων περιφανῶς θεολογησάντων, καὶ παραδεδωκότων ἀδιστάκτως ὁμολογεῖν καὶ κηρύσσειν εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. Δῆλον δὲ κἀντεῦθεν, ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθοῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὀμμάτων βλάστην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀνεσπῶντο τοῦ ᾅδου, καὶ πρὸς τὸ ζῆν μετετάττοντο, αἵ τε ἄλλαι θεοσημεῖαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελοῦντο καὶ ἐπεδείκνυντο, τῆς θείας φύσεως ἐναργῶς παρεδηλοῦτο τὸ ἀξίωμα· δι' ὧν δὲ κόπους καὶ πόνους, καὶ πεῖναν, καὶ δίψαν, καὶ τὰ τούτοις ὑφίστατο συγγενῆ καὶ παραπλήσια, τῆς ἀνθρωπίνης οὐσίας ἐτρανοῦτο τὸ ἰδίωμα· ὧν τὰ μὲν θεοπρεπῶς ὁ αὐτὸς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ἐπιτελέσας καὶ διαπραξάμενος, μίαν μὲν αὐτοῦ καὶ ἐνιαίαν τὴν ὑπόστασιν, δύο δὲ καὶ διαφερούσας τὰς φύσεις ἐν ἀσυγχύτῳ ἑνώσει σαφῶς τε καὶ ἀναντιῤῥήτῳ λόγῳ παρέστησε καὶ ἐπιστώσατο. Ἀλλ' ἐν τούτοις καὶ τὰ τῆς τετάρτης συνόδου.

ΠΕΜΠΤΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος, τέμενος μὲν αὐτῇ ἱερὸν ἡ Κωνσταντίνου μεγαλόπολις ἀφιέρωτο· πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων πατέρων παρουσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο. Ὧν ἡγοῦντο καὶ προέλαμπον Μηνᾶς μὲν τὴν ἀρχήν, εἶτα δὲ καὶ Εὐτύχιος, τῆς αὐτῆς βασιλίδος ἐκ διαδοχῆς τοὺς ἀρχιερατικοὺς πηδαλιουχήσαντες οἴακας· καὶ Βιγίλιος ὁ τῆς Ῥώμης τὴν ἱερὰν λαχὼν ἐφορείαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ συνόδῳ· ὃς εἰ καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέστη, ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν πατέρων πίστιν ἐπεκύρου λιβέλλῳ. Σὺν οἷς Ἀπολλινάριός τε ὁ Ἀλεξανδρείας, καὶ Δόμνος ὁ Ἀντιοχείας, τῷ ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι· καὶ δὴ καὶ Δίδυμος, καὶ Εὐάγριος, Εὐστοχίου τοῦ Ἱεροσολύμων ἀρχιερέως τὸν τόπον ἀναπληροῦντες· τηνικαῦτα δὲ καὶ Ἰουστινιανὸς ὁ κράτιστος ἐν βασιλεῦσι τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰς φροντίδας ἐνεχειρίζετο, καὶ τῷ ἐκκλησιαστικῷ συνεφώνει φρονήματι. Αὕτη τοιγαροῦν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος Νεστορίου πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα εἰς τὸ παντελὲς ἐξεθέρισεν, ἅμα αὐτῷ ἐκείνῳ τῷ σπορεῖ τῶν ζιζανίων, μεθ' ὃν Θεόδωρον καὶ Διόδωρον, ὧν ὁ μὲν Ταρσοῦ πόλεως, ὁ δὲ Μοψουεστίας ἐπεσκόπησεν· οἳ Νεστορίου πρότερον τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν, καὶ ἔγγραφον ἀπολελοίπασι, τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. Ἔτι δὲ κατεδίκασε καὶ ἀνεθεμάτισεν Ὠριγένην, Δίδυμον, Εὐάγριον, παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα, ἄνδρας τὴν Ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παρεισενενεγκεῖν φιλονεικήσαντας. Προϋπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρῴδουν, καὶ πολλὰ σώματα τὴν αὐτὴν μετενδύεσθαι· δόγμα μιαρὸν καὶ κατάπτυστον, καὶ μόνων ὡς ἀληθῶς ἐκείνων τῶν ψυχῶν ἄξιον. Καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο, ἄλλη τοῦτο παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν· καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν αὐτοὺς εἰς τὴν ἄνωθεν δόξαν, ἐξ ἧς ἐξέπεσον, ἀναπλάττοντες. Ἔτι δὲ οὐδὲ τὰ

σώματα ταῖς ψυχαῖς ἐβούλοντο συνανίστασθαι, γυμνὰς δὲ αὐτὰς σωμάτων ἀνιστῶσιν· οὐ οἶδ' ὅ,τι καὶ καλοῦντες ἀνάστασιν, εἴπερ τοῦ πεπτωκότος καὶ θανόντος ἡ ἀνάστασις, οὐχὶ δὲ τοῦ ἀεὶ ἑστῶτος καὶ ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόν πέρ ἐστιν ἡ ψυχή· οὐδὲ τοῦτο δυσωπηθέντες οἱ ἄθλιοι, ἡλίκον οἷον ἀδίκημα, δι' ὧν ληροῦσι, τοῦ δικαίου κριτοῦ κατηγοροῦσι· πῶς γὰρ οὐκ ἐσχάτην αὐτοῦ ἀδικίαν καταμαρτυροῦσι, τὰ μὲν συναθλήσαντα σώματα ταῖς ψυχαῖς ἐν τοῖς κατ' ἀρετὴν πόνοις, τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες· τὰ δ' αὖ πάλιν συνεξαμαρτόντα τῆς κοινῆς αἰτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μόνας δὲ τὰς ψυχὰς, χωρὶς τῶν διαπραξαμένων σωμάτων, ἢ διπλῆν εἰσπράττειν τιμωρίαν, ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας. Οὐ μόνον δὲ ταύτας τὰς δυσφημίας ὁ ἱερὸς οὗτος τῶν πατέρων χορὸς ἀπεκήρυξεν, ἀλλὰ καὶ πρός γε τούτοις, οὐ πολλῷ ἔμπροσθεν χρόνῳ, καθεῖλε καὶ ἀνεθεμάτισεν Ἄνθιμόν τε τὸν Τραπεζούντιον, τὸ Εὐτυχοῦς ὑποθάλποντα φρόνημα, καὶ Σευῆρον, Πέτρον τε τὸν Ἀπαμείας, καὶ Ζωόραν, καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν· Ἀγαπητοῦ μὲν μάλιστα, τοῦ Ῥώμης, τῆς εὐαγοῦς προκατάρξαντος πράξεως, συμψήφων δὲ καὶ συνεργῶν ἀναφανέντων τῶν περιωνύμων ἀρχιερέων· ὧν ὁ μὲν Εὐφραίμιος, ὁ κλεινὸς τῆς Ἀντιόχου καὶ οὗτος, τῶν Ἱεροσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπεσκόπευε. Τούτους οὖν ἅπαντας τὸ θεῖον τῶν ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντές τε καὶ ἀποβαλλόμενοι, τὰ ἀπλανῆ καὶ θεῖα τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐκραταίωσάν τε καὶ ἐπεκύρωσαν δόγματα. Καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης συνόδου ἐν τούτοις.

ΕΚΤΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος ἐν τῇ βασιλίδι μὲν τῶν πόλεων καὶ αὐτὴ τῶν μυστικῶν τῆς ἀληθείας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θέατρον· ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένη, λαμπρῶς νικῶσαν ἀπεδείκνυε τὴν εὐσέβειαν. Ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομεύειν ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ᾧ τῆς βασιλίδος πόλεως ὁ ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγχειρισμένος, καὶ Θεόδωρος, καὶ Γεώρ-

γιος, ἐν πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα διακόνῳ Ἰωάννῃ, οἳ ἀντὶ Ἀγάθωνος, τοῦ ἁγιωτάτου πάπα Ῥώμης, εἰς τὴν τῶν ἐξάρχων τάξιν ἠριθμοῦντο, καὶ τοῦ τῆς Ἀλεξάνδρου μεγαλοπόλεως θρόνου Πέτρος μοναχὸς τὸν τόπον ἀνεπλήρου· μεθ' ὧν καὶ Γεώργιος μοναχὸς καὶ πρεσβύτερος εἰς τὸν βαθμὸν τῆς ἀρχιερατικῆς τῶν Ἱεροσολύμων παρήγγελλε καθέδρας· οὗτοι δὴ, σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις πατράσι, Σέργιον, Πύῤῥον, Παῦλον, Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὀνώριον τὸν Ῥώμης, Κῦρόν τε τὸν Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν, τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντας, οὐ μὴν ἀλλὰ καὶ Μακάριον τὸν Ἀντιοχείας ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τοὔνομα Πολυχρονίῳ ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας, ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο, ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήματι ἐτόλμησαν ἀποφήνασθαι· μηδὲ τοῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσύνετοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς οὐκ ἔστι τῆς αὐτῆς ἐνεργείας χωλὸν κατ' ἐξουσίαν ὀρθῶσαι, καὶ κόπους ὁδοιπορίας μετέρχεσθαι· οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν σιάλῳ δακτύλων ἔργοις φυράσαι, καὶ πηλὸν ποιῆσαι, καὶ ἐπιβαλεῖν τοῖς ὄμμασιν· οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι· οὐ μὴν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως παραιτεῖσθαι τὸ ποτήριον τοῦ θανάτου, καὶ δόξαν αὐτὸ καλεῖν πάλιν, καὶ βούλεσθαι τὸ ἀθέλητον· ἀλλὰ πῶς οὐχὶ συνήσθοντο διὰ τούτων, καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι; πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιασχίζονται· καὶ εἰ κατὰ τὴν ἐν αὐτοῖς πλάνην ἡ ἐνέργεια καὶ ἡ θέλησις μία, καὶ ἡ φύσις πάντως, ἐξ ἧς ταῦτα, μία· εἰ δὲ δύο αἱ φύσεις, (οὔπω γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν) πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν; ἀλλὰ καὶ οὗτοι μὲν τῆς ἰδίας αὐτῶν καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ, τῷ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι. Δύο δὲ θελήσεις φυσικὰς, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τῶν θεοφόρων

πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχοῦ ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν, ὥσπερ τῶν φύσεων, οὕτω καὶ τῶν ἐνεργειῶν καὶ θελήσεων, ὀρθοδόξως παραδεδώκασι. Κωνσταντῖνος δὲ τηνικαῦτα, ὁ ἀπόγονος Ἡρακλείου, τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδεγμένος, τά τε ἄλλα συμπράττων τῇ συνόδῳ, καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα πρεσβεύων. Ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ ἕκτη.

ΕΒΔΟΜΗ ΣΥΝΟΔΟΣ.

Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος, Νίκαιαν μὲν, τῶν Βιθυνῶν μητρόπολιν οὖσαν, καὶ τῶν ὀρθοδόξων δογμάτων δικαστήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ τῆς εὐσεβείας κριτήριον ἔδειξεν, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη· ταξιάρχους δὲ καὶ πρωτοσάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη, Ταράσιόν τε τὸν ἐν ἀρχιερεῦσι Θεοῦ περιβόητον (θεῖος οὗτος καὶ πανάριστος ἀνὴρ, καὶ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς οἴακας, εἴπερ τις ἄλλος, περιάγειν ἄξιος) καὶ δὴ καὶ Πέτρον τὸν εὐλαβέστατον πρωτοπρεσβύτερον τῆς κατὰ Ῥώμην ἁγίας ἐκκλησίας· καὶ Πέτρον ἄλλον, πρεσβύτερον καὶ αὐτὸν, καὶ τῆς ἐκεῖσε μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα, οἳ τῆς ἀποστολικῆς καθέδρας διεκληροῦντο τὸν τόπον, Ἀδριανοῦ τότε τὸ ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα· ἅμα δὲ τούτοις Ἰωάννην καὶ Θωμᾶν, ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ διαλάμποντας, καὶ τῆς ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν ἀποστολικῶν καὶ μεγάλων θρόνων τοποτηρητὰς, καὶ τὸ τῶν ἀρχιερέων προνόμιον ἔχοντας· λέγω δὴ Ἀπολλιναρίου τε, καὶ Θεοδωρήτου, καὶ Ἡλία, ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσολύμων, ἱεροπρεπῶς τε καὶ πανσόφως προειστήκεισαν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη, ὀρθοδοξίας στεφάνῳ κοσμούμενοι, καὶ τὴν αὐτοκράτορα τῆς Ῥωμαϊκῆς ἀρχῆς πορφυρίδα ἐστολίζοντο. Αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη σύνοδος ἀρτιφανῆ τε καὶ βάρβαρον αἵρεσιν, ὑπὸ δυσσεβῶν τε καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν, θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ τοὺς εἰσηγητὰς καὶ

προμάχους αὐτῆς τῷ αὐτῷ συνυποβαλοῦσα κρίματι. Οὗτοι γὰρ οἱ δείλαιοι Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν βλασφημεῖν οὐχ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπενόουν ὕβριν, καὶ βλασφημίαν, καὶ ἀσέβειαν· καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρίς τινος παραπετάσματος οὐ θαρρήσαντες, διὰ τῆς σεπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα· εἴδωλον γὰρ (ὦ τολμηρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα) τὴν προσκυνητὴν εἰκόνα Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται, προσηγόρευσαν καθυβρίζοντες, καὶ πάσαις αὐτὴν ἀτιμίαις περιβάλλοντες ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, περιέσυρον, πυρὶ παρεδίδοσαν, θέαμα χριστιανοῖς ἐλεεινὸν, καὶ τῆς Ἑλληνικῆς χριστομαχίας μόνης ἄξιον. Τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκόνων καὶ εἰκονισμάτων, ποσὶ ταχεινοῖς ἐκχέαι αἷμα (1), χερσί τε παλαμναίαις, καὶ βεβήλοις χείλεσιν ἐνησέλγαινον, καὶ κόρον οὐδένα τῆς τηλικαύτης μανίας καὶ παραπληξίας οὐδαμῶς ἐλάμβανον οἱ ἀλάστορες· ἀλλὰ τῶν Ἑλληνικῶν βδελυγμάτων οὐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον, τὰ χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα διὰ μίσους ἄγοντες ἐβδελύσσοντο· δι' ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο. Δῆλον γὰρ ἅπασιν ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων, ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. Ἀλλ' οὗτοι, τὰ νέα τῶν χριστομάχων Ἰουδαίων γεννήματα, δι' ὧν μὲν τὴν σεπτὴν εἰκόνα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων ἐνύβριζον, τὸ προγονικὸν ἀνεπλήρουν ὑστέρημα, εἰς τὰ τῶν Ἰουδαίων τολμήματα ἐκφερόμενοι, καὶ νικᾷν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γεννήτορας· δι' ὧν δὲ, χριστιανῶν ἐν μέσῳ, οὐκ ἔσχον τολμῆσαι τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνου τοῦ Ἰουδαϊκοῦ καὶ πατρῴου ζήλου ἠλέγχοντο διαπίπτοντες, καὶ νόθον καὶ ταύτην αὐτῶν δεικνύντες τὴν μίμησιν, καὶ μηδαμοῦ στάσιν ἔχοντες, ἀλλ'

(1) Ἐκδ. Ριχάρδου Μονταγουτίου ἐν Λονδίνῳ, 1651. — ποσὶ ταχεινοῖς ἐκχέαι, ἅμα χερσί τε κτλ. Β.

ὥσπερ τῷ κακῷ καρωθέντες τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερρίπτοῦντο καὶ παρεφέροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνομάζοντες κατὰ Χριστοῦ ἐφρυάττοντο, καὶ τὴν Ἰουδαίων κλῆσιν οὐ προσιέμενοι τὸ χριστομάχον αὐτῶν παρεζήλουν διὰ τῆς εἰκονομαχίας καὶ ὑπερέβαλλον. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ τῆς εἰδωλολατρείας ἐκκλίνοντες ὄνομα, οὐδὲν εἰδωλολατρῶν ἀνεκτότερα εἴς τε χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν χριστιανῶν θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο. Διὸ τούτους μὲν, ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἠθέλησαν τὴν δυσγένειαν, ὡς νόθα γένη καὶ ἔκφυλα τῆς τῶν πιστῶν εὐγενείας, ἡ ἁγία καὶ οἰκουμενικὴ διακρίνασα σύνοδος, δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος καθυπέβαλε· τὴν δὲ εἰκόνα Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, κατὰ τὰς ἀνέκαθεν ἀποστολικάς τε καὶ πατρικὰς παραδόσεις, καὶ τὰς τῶν ἱερῶν λογίων ἐκφαντορίας, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκονιζομένου, προσκυνεῖσθαι καὶ τιμᾶσθαι ψήφοις ἁπάσαις ἐπεκύρωσέ τε καὶ ἐπεσφραγίσατο· τῆς προσκυνήσεως καὶ τιμῆς δηλονότι προσαγομένης, καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς τύποις καὶ συμβόλοις τῆς καθ' ἡμᾶς ἁγιωτάτης λατρείας προσερχόμεθα. Οὐ γὰρ ἐν αὐτοῖς ἱστῶμεν καὶ συμπερικλείομεν τὴν τιμὴν καὶ προσκύνησιν, οὐδὲ εἰς ἑτερόφυλα καὶ διάφορα τέλη σχιζόμεθα, ἀλλὰ διὰ τῆς φαινομένης διαφόρου καὶ μεριστῆς αὐτῶν θεραπείας καὶ προσκυνήσεως, ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἑνοειδῆ τε καὶ ἑνοποιὸν θεότητα ἀναγόμεθα. Οὕτω τὸν τίμιον σταυρὸν προσκυνοῦμεν, ἐν ᾧ τὸ δεσποτικὸν ἐξετανύσθη σῶμα, καὶ τὸ τοῦ κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα· καὶ ἡ τοῦ ξύλου φύσις ταῖς ἐκεῖθεν ῥοαῖς ἀρδευθεῖσα τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ τοῦ θανάτου. Οὕτω τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦμεν, δι' οὗ δαιμόνων ἐλαύνεται στίφη, καὶ πάθη θεραπεύεται ποικίλα· τῆς ἅπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης, καὶ μέχρις αὐτῶν τῶν τύπων μετὰ τῆς ὁμοίας ἐνεργείας συμπροϊούσης. Τούτων τοιγαροῦν ἕκαστον, τήν τε Χριστοῦ εἰκόνα, φημὶ, καὶ αὐτὸν τὸν σταυρὸν, καὶ δὴ καὶ τοῦ σταυροῦ τὸν τύπον, παραπλησίως τῇ σεβασμιότητι καὶ προσκυνήσει ἐξοσιοῦντες,

οὐκ ἐν αὐτοῖς περιγράφομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέβας, ἀλλ' εἰς τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα πλούτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ ἡμῶν ἐπονείδιστον θάνατον ἑκουσίως ὑπενεγκόντα, ταύτην ἀναφέρομεν καὶ ἀνιεροῦμεν. Οὕτω δὴ καὶ ναοὺς ἁγίων, καὶ τάφους, καὶ λείψανα, πιστοῖς βρύοντα ἰάσεσι, πιστῶς προκυνοῦμεν, τὸν αὐτὰ δοξάσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημοῦντες· καὶ δὴ καὶ εἴ τι τούτοις κατὰ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετάς ἐστι παραπλήσιον, διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ χάριτος, τὸ ἀρχικόν τε καὶ πρωτουργὸν αἴτιον ἐπιγινώσκομέν τε καὶ δοξολογοῦμεν. Διὸ καὶ τῶν μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις, οὐ μόνον τὴν εἰκόνα Χριστοῦ, καθάπερ ἔφημεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Μαρίας καὶ δεσποίνης ἡμῶν θεοτόκου, καὶ πάντων τῶν ἁγίων τὰς ἱερὰς εἰκόνας, κατ' ἀναλογίαν τῆς τῶν πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος, τιμᾶσθαι καὶ προσκυνεῖσθαι, κοινῶν θεσπισμάτων ὅροις ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσε· καὶ γὰρ καὶ δι' αὐτῶν εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν ἀναγόμεθα θεωρίαν, καὶ τῆς πρὸς τὸ ἀκρότατον τῶν ὀρεκτῶν δι' αὐτῆς ἀξιούμεθα θείας καὶ ὑπερφυοῦς συναφείας. Ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρέστως τελεσαμένη διώρισε· πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀγέλης ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν ἐκκλησίαν ἐπαναλαβοῦσαν ἀπέδειξε· καὶ οἷα δὴ νύμφην, οὐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν νοεροῖς ἐξωραϊσθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τοῦ νυμφίου Χριστοῦ παραστήσασα, ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐζεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

ΝΕΙΛΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΡΟΔΟΥ

ΔΙΗΓΗΣΙΣ ΣΥΝΟΠΤΙΚΗ

ΠΕΡΙ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩΝ

ΣΥΝΟΔΩΝ.

Ο ΠΟΙΜΗΝ ὁ καλὸς, ὁ γινώσκων τοὺς ἰδίους, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, πορευθέντες, εἶπε, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

Ἐκ τοῦ ἁγίου Πέτρου.

Ποιμένες ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον ἑκουσίως, καὶ μὴ βιαστῶς, μηδὲ αἰσχροκερδῶς, ἀλλ' ὡς τύποι γενόμενοι τοῦ ποιμνίου, καὶ, φανέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον στέφανον, ὃν ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν (1).

Ἐκ τοῦ ἁγίου Παύλου.

Ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου ὃ καὶ παρέδωκα ὑμῖν (2)· εἴ τις οὖν εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω (3). Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ εἰς ὃ ὑμᾶς *τὸ Πνεῦμα τὸ ἅγιον* κατέστησεν ἐπισκόπους (4).

ΠΡΩΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος, ἡ ἐν Νικαίᾳ συναθροισθεῖσα ὑπὸ τριακοσίων δεκαοκτὼ θεοφόρων πατέρων ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου βασιλέως καὶ ἰσαποστόλου Κωνσταντίνου κατὰ τοῦ ἄφρονος Ἀρείου πρεσβυτέρου τῆς Ἀλεξανδρέων ἐκκλησίας. Ἠγοῦντο

(1) ά. Πέτρ. Ε, 2. — (2) ά. Κορ. ΙΑ, 23. — (3) Γαλ. Α. 8. — (4) Πράξ. Κ', 28.

δὲ τῆς συνόδου Σίλβεστρος Ῥώμης, Ἀλέξανδρος Κωνσταντινουπόλεως, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, καὶ Μακάριος Ἱεροσολύμων. Γέγονε δὲ κατὰ τὸ ,εωιέ. ἔτος ἀπὸ κτίσεως κόσμου, τῶν ἀπὸ Χριστοῦ κατὰ τὸ τιή. Ἀπὸ τῆς πρώτης συνόδου ἕως τῆς δευτέρας ἔτη νδ'. Ἡμεῖς, ὡς παρελάβομεν, καὶ πιστεύομεν, ὅτι οὐ κτίσμα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀλλ' ὁ ὢν ἐπὶ πάντα Θεὸς εὐλογητὸς, κατὰ τὴν τοῦ Παύλου φωνὴν, καὶ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ· καὶ τῷ ἁγίῳ Πνεύματι κατὰ τὴν αὐτοῦ θεότητα, καὶ τὸν μὴ οὕτω φρονοῦντα ἀναθεματίζομεν.

ΔΕΥΤΕΡΑ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος, ἡ ἐν Κωνσταντίνου πόλει, γέγονεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, συγκροτηθεῖσα ὑπὸ ἑκατὸν πεντήκοντα ἐπισκόπων κατὰ Μακεδονίου τοῦ πνευματομάχου, πατριάρχου Κωνσταντινουπόλεως, καὶ Σαβελίου τοῦ Λίβυος, καὶ Ἀπολλιναρίου Λαοδικείας. Ἡγοῦντο δὲ τῆς συνόδου Δάμασος Ῥώμης, Νεκτάριος Κωνσταντινουπόλεως, Τιμόθεος Ἀλεξανδρείας, Κύριλλος Ἱεροσολύμων, Μελέτιος Ἀντιοχείας, Γρηγόριος ὁ Θεολόγος, Γρηγόριος Νύσσης, καὶ Ἀμφιλόχιος Ἰκονίου· ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ,εωοβ'. ἀπὸ δὲ Χριστοῦ τοβ'. ἀπὸ τῆς δευτέρας ἕως τῆς τρίτης ἔτη μά. Ἡμεῖς παρελάβομεν καὶ πιστεύομεν, ὅτι τὸ πανάγιον Πνεῦμα Θεός ἐστιν ἀληθινὸς, ὡς ὁμοούσιον τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ Υἱῷ, ἐπεὶ ὁ Κύριος Ἰησοῦς οὕτως εἶπε, βαπτίζεσθαι καὶ πιστεύειν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ὅπερ οὐκ ἂν εἶπεν, εἰ κτίσμα ἦν· τῷ οὖν μὴ οὕτω φρονοῦντι ἀνάθεμα.

ΤΡΙΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος, ἡ ἐν Ἐφέσῳ, γέγονεν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ, συγκροτηθεῖσα ὑπὸ διακοσίων ἁγίων πατέρων κατὰ Νεστορίου, πατριάρχου Κωνσταντινουπόλεως. Ἡγοῦντο δὲ αὐτῆς Κελεστῖνος Ῥώμης, Κύριλλος Ἀλεξανδρείας, Ἰουβενάλιος Ἱεροσολύμων, Μέμνων Ἐφέσου· ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ,ϡιγ'. ἀπὸ δὲ Χριστοῦ υιγ'. ἀπὸ δὲ τῆς τρίτης ἕως τῆς τετάρτης, ἔτη τριάκοντα. Ἡμεῖς παρελάβο-

μεν καὶ πιστεύομεν ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· οὕτω γὰρ ὁ Πέτρος εἶπεν, ἐρωτηθεὶς παρὰ τοῦ Κυρίου περὶ αὐτοῦ, καὶ ἐπηνέθη παρὰ τῆς αὐτοαληθείας καὶ ἐμαρτυρήθη, ὡς αὐτὴ ἡ γνῶσις ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀπεκαλύφθη· τῷ οὖν μὴ οὕτω φρονοῦντι ἀνάθεμα.

ΤΕΤΑΡΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, ἡ ἐν Χαλκηδόνι, γέγονεν ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ, συγκροτηθεῖσα ὑπὸ ἑξακοσίων τριάκοντα ἁγίων πατέρων κατὰ Διοσκόρου, πατριάρχου Ἀλεξανδρείας, καὶ Εὐτυχοῦς, ἀρχιμανδρίτου Κωνσταντινουπόλεως. Ἡγοῦντο δὲ αὐτῆς Λέων Ῥώμης, Ἀνατόλιος Κωνσταντινουπόλεως, Ἰουβενάλιος Ἱεροσολύμων, Μάξιμος Ἀντιοχείας. Ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ,εϡμγ'. ἀπὸ τετάρτης ἕως τῆς πέμπτης ἔτη ρϐ'. Ἡμεῖς παρελάβομεν καὶ πιστεύομεν ὅτι αἱ δύο φύσεις, αἱ συνελθοῦσαι ἐν μιᾷ ὑποστάσει τοῦ Κυρίου ἡμῶν ἀσυγχύτως, οὕτω καὶ μεμενήκασι καθ' ἑαυτὰς, ἑκατέρας ἐχούσης τὰς ἰδίας ἐνεργείας· ἐδήλωσε γὰρ τοῦτο ὁ Κύριος νῦν μὲν λέγων, ὅτι νῦν ἡ ψυχή μου τετάρακται, Πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης· νῦν δὲ λέγων, ὅτι οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐξουσίαν ἔχω θεῖναι καὶ πάλιν λαβεῖν αὐτήν· ὡς τὸ μὲν ταράττεσθαι τῆς κτιστῆς εἶναι φύσεως, τὸ δὲ ἐξουσίαν ἔχειν ἰδιαζόντως τῆς ἐνούσης αὐτῇ θεότητος. Τοὺς λέγοντας οὖν ὅτι εἰς μίαν φύσιν ἀμφότεραι γεγόνασι, καὶ μίαν ἐπὶ τοῦ Κυρίου πρεσβεύοντας φύσιν, τῷ ἀναθέματι ἀναπέμπομεν.

ΠΕΜΠΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ, συγκροτηθεῖσα ὑπὸ ἑκατὸν ἑξήκοντα ἁγίων πατέρων κατὰ Ὠριγένους τοῦ παράφρονος. Ἡγοῦντο δὲ τῆς συνόδου Βιγίλιος πάπας Ῥώμης, Εὐτύχιος Κωνσταντινουπόλεως, Ἀπολλινάριος Ἀλεξανδρείας, Δόμνος Ἀντιοχείας, καὶ Δαμιανὸς Ἱεροσολύμων. Ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ,ϛμε'. ἀπὸ δὲ Χριστοῦ ἔτη φμε'. ἀπὸ πέμπτης ἕως τῆς ἕκτης ἔτη ἑκατὸν δύο.

ΕΚΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, συναθροισθεῖσα ὑπὸ ἑκατὸν ἑβδομήκοντα ἁγίων πατέρων, ἧς ἡγοῦντο Ἀγάθων Ῥώμης, Γεώργιος Κωνσταντινουπόλεως, Πέτρος μοναχὸς, τοποτηρητὴς τῆς Ἀλεξανδρείας, Θεοφάνης Ἀντιοχείας, κατὰ Ὀνωρίου πάπα Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε, καὶ Πύῤῥου, καὶ Παύλου, καὶ Πέτρου, ἐπισκόπων Κωνσταντινουπόλεως. Ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη ,ςροθ'. ἀπὸ δὲ Χριστοῦ ψιθ'. ἀπὸ ἕκτης ἕως ἑβδόμης ἔτη ἑκατὸν ἐννέα.

ΕΒΔΟΜΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος, ἡ ἐν Νικαίᾳ τὸ δεύτερον, γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ, συγκροτηθεῖσα ὑπὸ τριακοσίων ἑξήκοντα τριῶν ἁγίων πατέρων κατὰ τῶν εἰκονομάχων. Ἡγοῦντο δ' αὐτῆς Ἀδριανὸς πάπας Ῥώμης, Ταράσιος Κωνσταντινουπόλεως, Πολιτιανὸς Ἀλεξανδρείας, Θεοδώρητος Ἀντιοχείας, Ἠλίας Ἱεροσολύμων. Ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη . . . (1) ἀπὸ δὲ Χριστοῦ ἔτη ψκδ'. ἀπὸ ἑβδόμης ἕως ὀγδόης ἔτη ἑκατὸν εἴκοσιν.

ΟΓΔΟΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη ὀγδόη σύνοδος τῶν τριακοσίων ὀγδοήκοντα ἁγίων πατέρων γέγονεν ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος (2), καθ' ἣν σύνοδον γέγονεν εἰρήνη μεταξὺ

---

(1) Ὁ ἀριθμὸς τῶν ἐτῶν οὐκ ἀναγινώσκεται οὔτε ἐν τῇ ἐκδόσει τοῦ Νομοκάνονος τοῦ Φωτίου ὑπὸ τοῦ Χριστοφόρου Ἰουστέλλου τοῦ ἔτους 1615 ἐν Παρισίοις, οὔτε ἐν τῇ τῆς Βιβλιοθήκης τοῦ ἀρχαίου κανονικοῦ δικαίου ὑπὸ Οὐϊλέλμου Βοέλλου καὶ Ἐρρίκου Ἰουστέλλου τοῦ ἔτους 1661. Ἐν δὲ τῷ περισελίδῳ τῆς τελευταίας ἐκδόσεως παρατηρεῖ ὁ ἐκδότης ὅτι κατὰ τὸν τρόπον τοῦ ὑπολογίζειν τοῦ συγγραφέως τῆς παρούσης περὶ τῶν οἰκουμενικῶν συνόδων πραγματείας σημειωτέος ἐστὶν ἐνταῦθα ὁ ἀριθμὸς ,σπή. ἀλλ' ὅτι αὐτός τε ὁ ἀριθμὸς καὶ οἱ ἀνωτέρω σημειωθέντες στεροῦνται ἀκριβείας.

(2) Κατὰ τὸ ἀπὸ Χριστοῦ 879 ἔτος, καὶ οὐχὶ κατὰ τὸ 869 ὡς ἐσφαλμένως σημειοῦται ἐν τῷ περισελίδῳ τῆς βιβλιοθ. τοῦ Ἰουστέλλου καὶ Βοέλλου. Τῷ ὄντι ὁ

τῆς δυτικῆς ἐκκλησίας καὶ τῶν ἄλλων πατριαρχείων, φανερῶς ὁμολογησάντων τῶν δυτικῶν, ὅτι οὕτως ἀναγινώσκομεν καὶ πιστεύομεν, ὡς καὶ ὑμεῖς, χωρὶς προσθήκης τινὸς τὸ σύμβολον τὸ ἅγιον, ὡς οὕτως ἔχον ὄντως σύμβολον εἶναι τῆς ἀληθοῦς πίστεως, ἀλλὰ καὶ τοὺς προστιθέντας, ἢ ἐλλείποντας ἀναθεματίζομεν· ὄντος τηνικαῦτα Ἰωάννου πάπα Ῥώμης, Φωτίου πατριάρχου Κωνσταντινουπόλεως, καὶ τοποτηρητῶν τῆς Ῥωμαίων ἐκκλησίας, Παύλου καὶ Εὐγενίου ἐπισκόπων, καὶ Πέτρου πρεσβυτέρου καὶ καρδιναλίου, καὶ τῶν ἄλλων πατριαρχῶν διὰ τοποτηρητῶν. Ὧν συνελθόντων ὑπὲρ τῆς κοινῆς ὁμονοίας τῶν ἐκκλησιῶν, οἱ μὲν τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης ἐβόησαν, πρέπον ἐστὶ μὴ ἕτερον καινουργηθῆναι, ἀλλ' αὐτὸν τὸν ἀρχαῖον ὅρον, καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην κρατούμενόν τε καὶ δοξαζόμενον ἀναγνωσθῆναί τε καὶ ἐπιβεβαιωθῆναι· καὶ τοῦ ἱεροῦ συμβόλου ἀναγνωσθέντος ἄνευ προσθήκης, ὡς ἔχει, ἡ ἁγία σύνοδος ἐξεβόησεν· Ἡμεῖς κατὰ τὴν τοῦ Σωτῆρος διδασκαλίαν, καὶ τὴν τῶν Ἀποστόλων παράδοσιν, ἔτι δὲ καὶ τοὺς κανονικοὺς τύπους τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων, τὸν ἄνωθεν ἐκ πατέρων καὶ μέχρις ἡμῶν κατεληλυθότα τῆς ἀκραιφνεστάτης τῶν Χριστιανῶν πίστεως ὅρον, καὶ ἐπινοίᾳ, καὶ γλώττῃ, στέργομέν τε καὶ πᾶσι περιαγγέλλομεν διαπρυσίως, οὐδὲν ἀφαιροῦντες, οὐδὲν προστιθέντες κατὰ διάνοιαν, ἢ λέξιν, οὐδὲν ἀμείβοντες, οὐδὲν κιβδηλεύοντες. Καὶ μετὰ τοῦτο οἵτε τοποτηρηταὶ Ῥώμης καὶ ἡ σύνοδος ἅπασα ἐξεβόησαν, ἕτερον ἐκθέσθαι σύμβολον, καὶ ὅρον ἀνακινῆσαι, ἢ προσθήκην, ἢ ὑφαίρεσιν ποιῆσαι ἐν τῷ ἀναγνωσθέντι ἱερῷ καὶ ἁγίῳ συμβόλῳ, ἀνάθεμα ἔστω. Ταῦτα καὶ ἐν τοῖς Ῥωμαϊκοῖς κανόσι τοῖς ἐκ τῆς πράξεως τῆς συνόδου ταύτης εὑρίσκεται ἀπὸ τῆς ἐπιστολῆς Ἰωάννου πάπα Ῥώμης πρὸς Φώτιον πατριάρχην Κωνσταντινουπόλεως· καὶ ἡ σὴ ἀδελφότης ἐπίσταται, ὡς ὅτε πρὸς ἡμᾶς παρεγένετο ὁ μικρὸν ἔμπροσθεν ἀποσταλεὶς παρ' αὐτῆς περὶ τοῦ ἁγίου συμβόλου καὶ ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπαρά-

---

Νεῖλος ἱστορεῖ ἐνταῦθα τὴν ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας σύνοδον ἥτις, συγκειμένη ἐκ 383 Πατέρων, ἐπεκύρωσε μὲν τὴν Ζ΄. Οἰκουμενικὴν σύνοδον, ἀνεκήρυξε δὲ τὸν πατριάρχην Φώτιον ὡς ἔννομον καὶ κανονικὸν Πατριάρχην, τὴν δὲ κατ' αὐτοῦ ἐν Κωνσταντινουπόλει κατὰ τὸ ἔτος 869 συνελθοῦσαν σύνοδον ἀπεκήρυξε.

τρωτον, καθὼς ἀρχῆθεν παρεδόθη ἡμῖν, διατηροῦντας, καὶ μήτε προστιθέντας τι, ἢ ἀφαιροῦντας, ἀκριβῶς εἰδότας, ὡς τὰ τοιαῦτα τολμῶσι βαρεῖα καταδίκη ἀναμένουσα ἀπόκειται. Καὶ πάλιν οὖν παραδηλοῦμεν τῇ αἰδεσιμότητί σου, ἵνα περὶ τοῦ ἄρθρου τούτου, δι' ὃ συνέβη τὰ σκάνδαλα μέσον τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ἔχῃ πληροφορίαν εἰς ἡμᾶς, ὅτι οὐ μόνον λέγομεν τοῦτο, ἀλλὰ καὶ τοὺς πρῶτον θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ τοῦτο ποιῆσαι, παραβάτας τῶν θείων λόγων κρίνομεν, καὶ μεταποιητὰς τῆς θεολογίας τοῦ Δεσπότου Χριστοῦ, καὶ τῶν ἁγίων πατέρων, οἳ συνοδικῶς παρέλαβον τὸ ἅγιον σύμβολον, καὶ μετὰ τοῦ Ἰούδα αὐτοὺς τάττομεν, ὅτι καὶ ταυτὸν ἐκείνῳ τετολμήκασιν, οὐ παραδόντες εἰς θάνατον τὸ κυριακὸν σῶμα, ἀλλὰ τοὺς πιστοὺς, οἵ τινές εἰσι μέρη τοῦ σώματος αὐτοῦ, διασχίσαντές τε, καὶ διατέμνοντες ἀλλήλων.

ΕΝΝΑΤΗ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη ἐννάτη σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως, κυρίου Ἀνδρονίκου τοῦ Παλαιολόγου, καὶ Ἰωάννου τοῦ υἱοῦ αὐτοῦ, κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου. Ἐδογμάτισαν γὰρ οὗτοι νῦν μὲν οὐδεμίαν διάκρισιν εἶναι ἐπὶ τῆς θείας φύσεως, οὐσίας, καὶ ἐνεργείας, ἀλλὰ ταυτὸν εἶναι καὶ ἀδιάφορον· νῦν δὲ διάκρισιν μὲν εἶναι ἔλεγον· πλὴν τὴν μὲν οὐσίαν ἄκτιστον, τὰς δὲ αὐτῆς οὐσιώδεις ἐνεργείας καὶ φυσικὰς συγχωροῦντες ἑτέρας εἶναι, πλὴν οὐκ ἀκτίστους, ἀλλὰ κτιστάς· καὶ ἔτι τὸ ἐν τῷ Θαβωρίῳ ἐκλάμψαν θεῖον ἐκεῖνο φῶς φάσμα ἁπλῶς καὶ κτίσμα, γινόμενον καὶ ἀπογινόμενον, ἀλλ' οὔτε θείας φύσεως φυσικὴν αἴγλην, καὶ θεότητα, καὶ φῶς ἀπρόσιτον, καὶ καῖον λεγόμενον. Κατὰ τούτων οὖν οὕτω λεγόντων συνήχθη ἡ ἁγία σύνοδος αὕτη ἐλέγξασα τούτους ἀνοηταίνοντας καὶ ψευδομένους κατὰ πᾶν εἶδος λόγου, καὶ ἀσεβοῦντας μᾶλλον τῶν ἄλλων αἱρετικῶν. Παρῆσαν δὲ τῇ συνόδῳ ταύτῃ Ἰσίδωρος Κωνσταντινουπόλεως, Λάζαρος Ἱεροσολύμων, ὁ Ἀλεξανδρείας, καὶ ὁ Ἀντιοχείας διὰ τοποτηρητῶν, Γρηγόριος ὁ Παλαμᾶς, Φιλόθεος ὁ Κόκκινος, καὶ ἕτεροι μοναχοὶ πολλοὶ ἐνάρετοι καὶ λογάδες, οἳ καὶ αὐτοὺς ἀνεθεμάτισαν. Παρελάβομεν, ὅτι Θεὸν,

ἐνεργοῦντα δηλοῖ, θεότητος δὲ ἐνέργειαν· οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια· παρελάβομεν ὅτι τὸ μηδεμίαν δύναμιν ἢ ἐνέργειαν ἔχον οὔτε ἔστιν, οὔτε τι ἐστίν· οὐδέ ἐστιν αὐτοῦ θέσις, ἢ ἀφαίρεσις· τὸ δὲ ἔχον ἕτερόν ἐστι πάντως οὗ ἔχει.

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΦΙΛΟΜΟΥΣΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ.

ΑΘΗΝΩΝ.

	Σώμ.
Ὁ Σεβασμιώτατος Μητροπολίτης Ἀθηνῶν Κύριος Νεόφυτος, πρόεδρος τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.	» 1
Ὁ Σεβασμιώτατος Μητροπολίτης Κυκλάδων Κύριος Δανιὴλ, μέλος τῆς Ἱερᾶς Συνόδου.	» 1
Ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Κορίνθου, Κύριος Ἰωνᾶς, μέλος τῆς Ἱερᾶς Συνόδου.	» 1
Ὁ Σεβασμιώτατος Ἐπίσκοπος Καλαβρύτων, Κύριος Βαρθολομαῖος, μέλος τῆς Ἱερᾶς Συνόδου.	» 1
Ὁ Σεβασμιώτατος Ἐπίσκοπος Αἰγίνης, Κύριος Σαμουὴλ.	» 1
Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης, Κύριος Μισαὴλ Ἀποστολίδης, Γραμματεὺς τῆς Ἱερᾶς Συνόδου	» 1
Ὁ Κύριος Θεοφάνης Σιατιστεὺς, β'. γραμματεὺς τῆς Ἱερᾶς Συνόδου.	» 1
Ὁ Πανοσ. Κύριος Ἀμφιλόχιος Σαρδέλης. . . .	» 1
Ὁ Πανοσ. Κύριος Προκόπιος Παπᾶ Νικολάου . .	» 1
Οἱ Κύριοι Ἀνδρέας Κορομηλᾶς.	» 1
Κωνσταντῖνος Ἀξελός	» 1

ΧΑΛΚΙΔΟΣ.

Ὁ Πανοσιώτατος ἅγιος Ἀρχιμανδρίτης, Κύριος Καλλίνικος Καμπάνης, Ἐπισκοπικὸς Ἐπίτροπος Εὐβοίας. .	» 1
Ὁ Πανοσ. Κ. Γρηγόριος Ἱερομόναχος Κριμίρης, ἡγούμενος τῆς ἐν τῷ δήμῳ Χαλκιδέων Ἱερᾶς Μονῆς Μακρυμάλης.	» 1

Ὁ Πανοσ. Κ. Γρηγόριος, ἱερομόναχος Μαραθέγιας, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Βάθειας. Σώμ. 1

» » Θεοδόσιος μοναχὸς, ἡγούμενος τῆς ἐν τῷ δήμῳ Αιλαντίων Ἱερᾶς Μονῆς τοῦ ἁγίου Δημητρίου. . . . . » 1

» » Ἰωακειμ. Σταματίου, ἡγούμενος τῆς ἐν τῷ δήμῳ Αἰγαίων Ἱερᾶς Μονῆς τοῦ Γέροντος. . . . . » 1

» » Ἀθανάσιος Ῥοῦσσας, ἡγούμενος τῆς ἐν τῷ δήμῳ Αἰγαίων Ἱερᾶς Μονῆς Γαλατάκη. . . . . » 1

» » Ἀρσένιος Κωνσταντίνου ἡγούμενος τῆς κατὰ τὸ Ξηροχώριον Ἱερᾶς Μονῆς Ἤλια . . . . . » 1

» » Ἰάκωβος Βρυσιέδας, ἡγούμενος τῆς κατὰ τὴν Καρυστίαν Ἱερᾶς Μονῆς τοῦ Σωτῆρος. . . . . » 1

» » Παρθένιος Ῥούπακας, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Μάντζαρας . . . . » 1

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ὁ Παναγιώτατος Οἰκουμενικὸς Πατριάρχης Κωνσταντινουπόλεως, Κύριος Ἄνθιμος, μετὰ τῆς περὶ αὐτὸν Ἱερᾶς Συνόδου διὰ τοὺς εἰς τὸν Οἰκουμενικὸν Θρόνον ὑπαγομένους σεβασμιωτάτους Ἀρχιερεῖς. . . . . » 100

Ὁ Παναγιώτατος πρώην Πατριάρχης Κωνσταντινουπόλεως, Κύριος Κωνστάντιος. . . . . » 2

Ὁ Παναγιώτατος πρώην Πατριάρχης Κωνσταντινουπόλεως, Κύριος Ἄνθιμος ὁ ἀπὸ Ἐφέσου . . . . . » 2

Ὁ Παναγιώτατος πρώην Πατριάρχης Κωνσταντινουπόλεως, Κύριος Γρηγόριος. . . . . » 1

Ὁ Παναγιώτατος πρώην Πατριάρχης Κωνσταντινουπόλεως, Κύριος Γερμανός. . . . . » 1

Ὁ μακαριώτατος Πατριάρχης Ἱεροσολύμων, Κύριος

Κύριλλος . . . . . Σώμ. 10

Ὁ Σεβασμιώτατος γέρων ἅγιος Καισαρείας, Κύριος Παΐσιος. . . . . » 1

Ὁ Σεβασμιώτατος γέρων ἅγιος Διδυμοτοίχου, Κύριος Μελέτιος . . . . . » 1

Ὁ Σεβασμιώτατος γέρων ἅγιος Δέρκων, Κύριος Νεόφυτος . . . . . » 1

Ὁ Σεβασμιώτατος γέρων ἅγιος Νικομηδείας, Κύριος Διονύσιος . . . . . » 1

Ὁ Σεβασμιώτατος γέρων ἅγιος Βιδίνης, Κύριος Παΐσιος. . . . . » 1

Ὁ Σεβασμιώτατος γέρων ἅγιος Σερρῶν, Κύριος Ἰάκωβος. . . . . » 1

Ὁ Σεβασμιώτατος ἅγιος Δρύστης, Κύριος Γρηγόριος. » 1

Ὁ Πανιερώτατος ἅγιος Σωζοαγαθουπόλεως, Κύριος Προκόπιος. . . . . » 1

Ὁ Πανιερώτατος ἅγιος Πελαγωνίας, Κ. Γεράσιμος. » 1

Ὁ Πανοσ. Ἀρχιμανδρίτης, Κύριος Ἄνθιμος Μαζαράκης, Διευθυντὴς τῆς ἐν Χάλκῃ Ἑλληνικῆς Σχολῆς. . » 1

Ὁ Ὑψηλότατος Πρίγκιψ, Κύριος Βογορίδης . . . » 1

Ὁ Ἐκλαμπρότατος μέγας Λογοθέτης, Κ. Ἀρισάρχης. » 5

Ὁ Εὐγενέστατος Κύριος Ἰωάννης Φωτιάδης, Μέγας Ποστέλνικος . . . . . » 1

Οἱ ΚΚ. Θεόδωρος Μπαλτατζῆς . . . . . » 1

Στέφανος Καραθεοδωρῆς. . . . . » 1

Γ. Ζαρίφης . . . . . » 1

Ζαχαρίας Ζαχάρωφ . . . . . » 1

Μελέτιος Μουσοῦρος . . . . . » 1

Εὐστράτιος Κλεόβουλος . . . . . » 1

Λάμπρος Τρωϊανός . . . . . » 1

Ἠλίας Ν. Ἀντύππας. . . . . » 1

Νικόλαος Κούρτελης. . . . . » 1

Παντιᾶς Τζιτζίνιας . . . . . » 1

Δημήτριος Ταπεινός . . . . . » 1

ΒΑΡΝΗΣ.

Ὁ Πανιερώτ. ἅγιος Μητροπολίτης, Κ. Πορφύριος. Σώμ. 1

ΒΟΥΚΟΥΡΕΣΤΙΟΥ.

Ἡ Αὐτοῦ Ὑψηλότης ὁ Ἡγεμὼν τῆς Βλαχίας, Κύριος Κ. Βάρβος Δημ. Στίρβεης. . . . . » 14

Ὁ Σεβασμιώτατος ἅγιος Μητροπολίτης Οὐγγρο-Βλαχίας, Κύριος Νήφων . . . . . » 10

Ἡ ἐπὶ τῆς Δημοσίας Παιδείας Ἐπιτροπή. . . . » 12

Ὁ Πανιερώτατος ἅγιος Ἐπίσκοπος Λιβύης, Κύριος Καλλίστρατος . . . . . » 4

Ὁ Πανιερώτατος ἅγιος Ἐπίσκοπος Ἀγαθονικείας, Κύριος Γρηγόριος . . . . . » 1

Ὁ Πανοσιώτατος ἅγιος Ἀρχιμανδρίτης Κύριος Ἰωβ, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Βακαρεστίου. . . . . » 10

Ὁ Πανοσιώτατος ἅγιος Ἀρχιμανδρίτης Κύριος Μελέτιος, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Κοτροτζανίου . . » 1

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Ἀβέρκιος, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς τῶν ἁγίων Ἀποστόλων. . » 1

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Ῥάδου-Βόδα. . . . . » 2

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Ἀγάπιος Σοῦτσος, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Σαρανταρίου. . » 1

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Χρύσανθος Πενέτης, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Χορεζίου. . . » 10

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Μακάριος Σιναΐτης, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Μαρτσινένι. . » 2

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Διονύσιος Π. Ἀγιαννίτης. . . . . » 1

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Λεόντιος Κωτάκης, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Σταυρουπόλεως. » 1

Ὁ Πανοσ. Κύριος Ἰωαννίκιος, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Βάλιας . . . . . » 1

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Νικηφόρος. Σώμ. 1
Ὁ Ἐξοχώτατος ἄρχων Ποστέλνικος, Κύριος Ἰωάννης Μάνος, Ὑπουργὸς τῶν Ἐξωτερικῶν . . . . . » 5
Ὁ Ἐξοχώτ. Κύριος Κόμης Σκαρλάτος Ῥωσσέτος. . » 15
Ὁ Πανευγενέστατος Κύριος Σ. Καλλιάδης, Μέγας Ποστέλνικος . . . . . » 4
Ὁ Εὐγενέστατος ἄρχων Κλοτζιάρης, Κύριος Ἀθανάσιος Ξενοκράτης. . . . . » 2
Ὁ Σοφολογιώτατος Κύριος Κ. Γ. Σταυρίδης, Καθηγητής . . . . . » 1
Ὁ Εὐγενέστατος Κύριος Γεώργιος Στεφάνου Τσινός. » 1

ΙΑΣΙΟΥ.

Ἡ Αὐτοῦ Ὑψηλότης ὁ Ἡγεμὼν τῆς Μολδαυΐας, Κύριος Κύριος Γρηγόριος ὁ Γκίκας. . . . . » 100
Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Ἀθανάσιος, Ἔξαρχος τοῦ Παναγίου Τάφου . . . . . » 2
Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης, Κύριος Ἱερόθεος, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Παπαουτζίου . . . . » 1
Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης Κύριος Διονύσιος, ἡγούμενος τῆς Ἱερᾶς Μονῆς Τζατζαουτζίας. . . . » 1
Ὁ Πανοσιολογιώτατος ἅγιος Δευτερεύων τοῦ Μακαριωτάτου Ἱεροσολύμων Κ. Ἱερόθεος . . . . . » 1
Ὁ παρὰ τῷ Σ Ἐξάρχῳ τοῦ Παναγίου Τάφου πανοσιολογιώτατος Ἱεροδιάκονος, Κ. Κύριλλος . . . . » 1
Ὁ Εὐγενέστ. Κ. Ἰωάννης Κυριακός . . . . . » 1

ΓΑΛΑΖΙΟΥ.

Ὁ Πανοσ. ἅγιος Ἀρχιμανδρίτης, Κ. Πολύκαρπος. . » 1
Ὁ Κ. Γ. Ζήσης. . . . . » 1
Ὁ Κ. Ν. Ι. Σικιάρης . . . . . » 1
Ὁ Κ. Π. Ξένος. . . . . » 1
Ὁ Κ. Ν. Κουκούλης. . . . . » 1

Ὁ Κ. Α. Βοσκόφ. . . . . Σώμ. 1
Ὁ Κ. Ν. Ἐλευθεριάδης. . . . . » 1
Ὁ Κ. Κ. Σακουμάνος . . . . . » 1

ΚΕΡΚΥΡΑΣ.

Ὁ Πανιερώτατος ἅγιος Μητροπολίτης Κερκύρας, Κύριος Ἀθανάσιος. . . . . » 1
Ὁ Πανοσιώτ. Κύριος Φώτιος Κάντας. . . . . » 1
Ὁ Πανοσ. Κ. Γρηγόριος Βάλμης. . . . . » 1
Ὁ Πανοσιολογιώτατος ἀρχιδιάκων Κύριος Ἀρσένιος Παντῆς. . . . . » 1
Ὁ Ἐκλαμπρότατος Κύριος Γ. Κανδιάνος Ῥώμας, Πρόεδρος τῆς Γερουσίας . . . . . » 1
Ὁ Ἐκλαμπρότ. Κύριος Π. Βράϊλας Ἀρμένης, Πρόεδρος τῆς Ἰονείου Βουλῆς. . . . . » 1
Οἱ Εὐγενέστ. ΚΚ. Κωνς. Μεταξᾶς, Γερουσιαστής. » 1
Ἀλέξ. Δαμασκηνὸς » » 1
Δ. Φραγγόπουλος » » 1
Σπυρίδων Βαλαορίτης » » 1
Βίκτωρ Ζαβός » » 1
Α. Λ. Δούσμανης, Γραμματεὺς τῆς Γερουσίας . . . . . » 1
Περικλῆς Φλαμπουριάρης. . . . . » 1
Δ. Κουρκουμέλης, Βουλευτής. . . . » 1
Ἀνας. Τυπάλδος Ξυδιᾶς, μέλος τοῦ ἀνωτάτου Δικαστηρίου. . » 1
Γεώργιος Μαρκορᾶς. . » . . . . » 1
Νικόλαος Χαριτάτος. . . . . » 1
Π. Λαζαράτης . . . . . » 1
Ἕκτωρ Ῥίκκης, Ἔφορος τῆς Δημοσίας Παιδείας. . . . . » 1
Λ. Ἰόσς, Καθηγητὴς τοῦ Πανεπιστημείου. » 1
Σπυρίδων Ἀλ. Κατσαΐτης . . . . . » 1
Στ.λιανὸς Πασχάλης. . . . . » 1

Οἱ ΚΚ. Α. Τρύφωνας. . . . . Σώμ. 1
Ἀνδρέας Μαυρομμάτης, Καθηγητὴς τοῦ Πανεπιστημίου. . . . . » 1
Χριστόφορος Φιλητᾶς . . » . . . » 1
Ἀ. Ἀναγνώστης Πιέρης . . . . . » 1
Π. Λάμπρος . . . . . » 1

* Τὰ ὀνόματα τῶν ἐν τοῖς μὴ ἐπιστραφεῖσιν εἰσέτι καταλόγοις ΚΚ. Συνδρομητῶν θέλουσιν ἐκδοθῆ ἐν τῷ Γ'. Τόμῳ.



Τίμᾶται δραχμῶν. : : : : : : : : : 7.